ΙΩΑΝΝΟΥ Μ. ΦΟΥΝΤΟΥΛΗ
ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

# ΚΕΙΜΕΝΑ ΛΕΙΤΟΥΡΓΙΚΗΣ

## ΤΕΥΧΟΣ Β΄

# ΘΕΜΑΤΑ ΕΥΧΟΛΟΓΙΟΥ




ΘΕΣΣΑΛΟΝΙΚΗ

# ΧΕΙΡΟΤΟΝΙΑ ΠΡΕΣΒΥΤΕΡΟΥ

# ΕΙΣΑΓΩΓΗ

Τέσσαρα παλαιότατα κείμενα περισῴζουν τὴν τάξιν τῆς χειροτονίας εἰς τὸν βαθμὸν τοῦ πρεσβυτέρου, ὡς αὕτη ἐτελεῖτο κατὰ τοὺς πρώτους αἰῶνας τῆς ζωῆς τῆς Ἐκκλησίας· ἡ «Ἀποστολικὴ Παράδοσις» τοῦ Ἱππολύτου (Γ' αἰών), τὸ Εὐχολόγιον τοῦ Σεραπίωνος ἐπισκόπου Θμούεως (Δ' αἰών), αἱ «Ἀποστολικαὶ Διαταγαὶ» (τέλος Δ' αἰῶνος) καὶ ἡ «Διαθήκη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» (Ε' αἰών). Οὕτως ἔχομεν πληροφορίας περὶ αὐτῆς ἐκ τῶν τριῶν σημείων τῆς χριστιανικῆς οἰκουμένης, ἤτοι ἀντιστοίχως ἐκ τῆς Ρώμης, τῆς Αἰγύπτου καὶ τῆς Συρίας.

Κατὰ τὴν Ἀποστολικὴν Παράδοσιν ὁ ἐπίσκοπος ἐπέθετε τὰς χεῖρας αὐτοῦ ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονουμένου, ἐνῷ οἱ παρόντες πρεσβύτεροι ἥπτοντο καὶ οὗτοι τῆς κεφαλῆς αὐτοῦ, ἀνεγίνωσκε δ' ἐπ' αὐτὸν σύντομον χειροτονητήριον εὐχὴν (§7). Ἡ εὐχὴ αὕτη εἶναι διάφορος τῆς τοῦ ἐπισκόπου, ἐνῷ κατὰ τοὺς Κανόνας τοῦ Ἱππολύτου ἀνεγινώσκετο ἡ αὐτὴ εὐχὴ καὶ εἰς τὴν χειροτονίαν τοῦ πρεσβυτέρου, ἀντικαθισταμένης μόνον τῆς φράσεως «εἰς ἐπισκοπὴν» διὰ τῆς «εἰς πρεσβυτέριον» (*B. Botte,* La Tradition Apostolique de Saint Hyppolyte, Münster 1963, σελ. 20-23. *Π. Τρεμπέλα*, Μικρὸν Εὐχολόγιον, τ. Α', Ἀθῆναι 1950, σελ. 249-250).

Ἐν τῷ Εὐχολογίῳ τοῦ Σεραπίωνος εὕρηται εὐχὴ ὑπὸ τὸν τίτλον «Χειροθεσία καταστάσεως πρεσβυτέρων» (13). Ταύτην δημοσιεύομεν ἐν τῷ παραρτήματι (ὑπ' ἀριθμ. 1) κατὰ τὴν ἔκδοσιν ***Π. Ροδοπούλου,*** The Sacramentary of Serapion, Thessaloniki 1967, σελ. 133.

Ἡ χειροτονία τοῦ πρεσβυτέρου κατὰ τὰς Ἀποστολικὰς Διαταγὰς (Η', 16) ἐγίνετο ὑπὸ τοῦ ἐπισκόπου «παρεστῶτος» αὐτῷ τοῦ «πρεσβυτερίου...καὶ τῶν διακόνων». Τὴν ἐπίθεσιν τῆς χειρὸς συνώδευε χειροτονητήριος εὐχὴ

παρατιθεμένη ἐν τῷ παραρτήματι (ὑπ' ἀριθμ. 2) κατὰ τὴν ἔκδοσιν *F. X. Funk* (Βιβλιοθήκη Ἑλλήνων Πατέρων καὶ Ἐκκλησιαστικῶν Συγγραφέων, ἔκδ. Ἀποστ. Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, τ. Β', σελ. 159-160).

Εἰς τὴν Διαθήκην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (Α', 30) εὕρηται ὁμοίως «εὐχὴ ἐπιθέσεως χειρὸς ὑπὲρ πρεσβύτερον» μετὰ συντόμου τυπικῆς διατάξεως, καθ' ἣν «ἅπαν τὸ ἱερατικὸν σῶμα» ὡδήγει τὸν πρὸς χειροτονίαν εἰς τὸν ἀρχιερέα, ὁ ὁποῖος ἐπιθέτων τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ «καὶ κρατούντων αὐτὸν τῶν πρεσβυτέρων» ἀνεγίνωσκε τὴν ρηθεῖσαν εὐχὴν (*Π. Τρεμπέλα*, ἔνθ' ἀνωτ., σελ. 248).

Τὸ εἰς τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην ἀποδιδόμενον ἔργον Περὶ Ἐκκλησιαστικῆς Ἱεραρχίας (Ϛ' αἰὼν) ἀποτελεῖ τὸν ἐνδιάμεσον σταθμὸν μεταξὺ τῶν ἀνωτέρω ἀρχαϊκῶν λειτουργικῶν κειμένων καὶ τῆς ἀπὸ τοῦ Η' αἰῶνος μαρτυρουμένης ὑπὸ τῶν λειτουργικῶν χειρογράφων βυζαντινῆς λειτουργικῆς πράξεως. Καὶ δὲν παρατίθενται μὲν ἐνταῦθα εὐχαί, κατὰ τὴν συνήθειαν τοῦ ψευδο-Διονυσίου, οὔτε καὶ τυπικαὶ διατάξεις ὑπὸ τὴν στενὴν λειτουργικὴν ἔννοιαν, ἀλλ' ἡ ὑπ' αὐτοῦ παρεχομένη περιγραφὴ καὶ ἡ συναπτομένη «θεωρία» παρέχουν εἰς ἡμᾶς πολύτιμα στοιχεῖα. Οὕτως ἡ χειροτονία τοῦ πρεσβυτέρου, πλὴν τῶν «ἱεροποιῶν ἐπικλήσεων» τοῦ ἱεράρχου, περιελάμβανε· α') Τὴν «ἐπὶ τὸ θεῖον θυσιαστήριον προσαγωγὴν καὶ ὑπόπτωσιν», δηλοῦσαν τὴν ἀφιέρωσιν τῆς «οἰκείας ζωῆς», πανάγνου, καθιερωμένης καὶ κατὰ τὸ δυνατὸν ἀξίας διὰ τὸ ἀναλαμβανόμενον ἱερὸν ἔργον. β') Τὴν κλίσιν ἀμφοτέρων τῶν γονάτων «ἐπίπροσθεν τοῦ θείου θυσιαστηρίου», «ὡς τῶν ὑπ' αὐτῶν ἱερῶς προσαγομένων οὐ μόνον κεκαθαρμένων, ἀλλὰ καὶ ταῖς φανοτάταις αὐτῶν ἱερουργίαις ἀναγωγικῶς ἀποκεκαθαρμένης ζωῆς εἰς θεωρητικὴν ἕξιν καὶ δύναμιν ἱερουργικῶς ἀποτελεσθέντων». γ') Τὴν ἐπίθεσιν τῆς ἱεραρχικῆς χειρός, ἐμφαίνουσαν «τὴν τελεταρχικὴν σκέπην, ὑφ' ἧς ὡς παῖδες

ἱεροὶ περιέπονται πατρικῶς, αὐτοῖς μὲν ἕξιν καὶ δύναμιν ἱερατικὴν δωρουμένης, τὰς ἐναντίας δὲ αὐτῶν δυνάμεις ἀπορραπιζούσης...καὶ πάσας τελεῖν τὰς ἱερατικὰς ἐνεργείας, ὡς ὑπὸ Θεῷ πράττοντας τοὺς τελεσθέντας καὶ τῶν οἰκείων ἐνεργειῶν αὐτῶν ἔχοντας ἐν παντὶ καθηγεμόνα». δ') Τὴν «σταυροειδῆ σφραγῖδα», σημαίνουσαν «τὴν ἁπασῶν ὁμοῦ τῶν σαρκικῶν ὀρέξεων ἀνενεργησίαν καὶ τὴν θεομίμητον ζωήν, ἀφορῶσαν ἀκλινῶς εἰς τὴν ἀνδρικὴν Ἰησοῦ θειοτάτην ζωήν, ἄχρι σταυροῦ καὶ θανάτου μετὰ θεαρχικῆς ἀναμαρτησίας ἐληλυθότος καὶ τοὺς οὕτω ζῶντας ὡς ὁμοειδεῖς...τῇ σταυροειδεῖ τῆς οἰκείας ἀναμαρτησίας εἰκόνι». Καὶ τέλος ε') τὴν «καθ' ἕκαστον ἀνάρρησιν ἱερὰν» καὶ τὸν «τελειωτικὸν ἀσπασμόν, ἀσπαζομένου παντὸς ἱερατικοῦ παρόντος ἀνδρὸς καὶ τοῦ τελέσαντος ἱεράρχου», ὑποδηλοῦντα «τὴν τῶν ὁμοειδῶν νοῶν ἱερὰν κοινωνίαν...καὶ τὴν ἐπ' ἀλλήλους ἐραστὴν εὐφροσύνην, ὡς ὁλοκλήρως ἀποσῴζουσαν ἱερατικῇ μορφώσει τὸ θεοειδέστατον κάλλος» (2, 2-8 *Migne* PG 3, 509-516).

Ἡ παλαιοτέρα περιγραφὴ τῆς τάξεως «ἐπὶ χειροτονίᾳ πρεσβυτέρου» κατὰ τὸν βυζαντινὸν λειτουργικὸν τύπον εὕρηται εἰς τὸν Βαρβερινὸν κώδικα 336 τοῦ Η'-Θ' αἰῶνος, φ. 162v-165v. Κατὰ τὸ χειρόγραφον τοῦτο τὰ τῆς χειροτονίας ταύτης καθορίζονται ὡς ἀκολούθως·

«Μετὰ τὸ εἰσενεχθῆναι τὰ ἅγια δῶρα καὶ ἀποτεθῆναι ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ πληρωθῆναι τὸν μυστικὸν ὕμνον, τὸ 'Οἱ τὰ χερουβίμ', ἐπιδίδοται τῷ ἀρχιεπισκόπῳ ὁ πρὸς συνήθειαν χάρτης, ἐν ᾧ γέγραπται "Η θεία χάρις'. Καὶ ἀναγινωσκομένου αὐτοῦ εἰς ἐπήκοον πάντων, προσάγεται ὁ μέλλων χειροτονεῖσθαι καὶ τούτου γόνυ κλίνοντος, ποιῶν σταυροὺς τρεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἔχων ἐπικειμένην τὴν χεῖρα ἐπεύχεται ταῦτα· "Ο Θεὸς ὁ ἄναρχος...'Οτι σὸν τὸ κράτος...'. Καὶ ποιεῖ εἰς τῶν πρεσβυτέρων εὐχὴν διακόνου οὕτως· "Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν...'. Καὶ ἐν τῷ γίνεσθαι τὴν εὐχὴν ταύτην ὑπὸ τοῦ πρεσβυτέρου, ἔχων ὁμοίως τὴν χεῖρα ὁ ἀρχιεπίσκοπος ἐπὶ τὴν κεφαλὴν τοῦ χειροτο-

νουμένου ἐπεύχεται οὕτως· ''Ὁ Θεὸς ὁ μέγας ἐν δυνάμει...'. Ἐκφώνως· ''Ὅτι ηὐλόγηται...'. Καὶ μετὰ τὸ ''Ἀμὴν' φέρει τὸ ὄπισθεν τοῦ ὀραρίου αὐτοῦ ἐπὶ τὰ ἔμπροσθεν καὶ ἐνδύει αὐτὸν τὸ φελόνην αὐτοῦ καὶ διδοὺς αὐτῷ ἀγάπην ἱστᾷ αὐτὸν μετὰ τῶν λοιπῶν πρεσβυτέρων καὶ τότε ὁ διάκονος· 'Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ'. Καὶ ὅτε ἐπαρθῇ τὸ καταπέτασμα τῶν ἁγίων δώρων καὶ εἴπῃ ὁ λαὸς τὸ ''Ἄξιον καὶ δίκαιον' τότε ὁ ἀρχιεπίσκοπος ἐπιδίδωσιν τῷ χειροτονηθέντι πρεσβυτέρῳ ἕνα ἄρτον ἐκ τοῦ δίσκου εἰς τὰς χεῖρας αὐτοῦ καὶ κλίνει αὐτὸν ἐπάνω τῆς ἁγίας τραπέζης κρατοῦντα τὸν ἐπιδοθέντα αὐτῷ ἄρτον ἐν ταῖς χερσὶν καὶ ἐπιτιθέντα τὴν κεφαλὴν ἐπάνω αὐτοῦ καὶ μένοντα οὕτως μέχρι τοῦ ῥηθῆναι 'Τὰ ἅγια τοῖς ἁγίοις' καὶ τότε ἀποδίδωσιν τὸν ἄρτον ὁ χειροτονηθεὶς τῷ ἀρχιεπισκόπῳ καὶ κοινωνεῖ πρῶτος τῶν λοιπῶν πρεσβυτέρων, μεταλαμβάνων καὶ τοῦ ἁγίου αἵματος παρ' αὐτοῦ τοῦ χειροτονήσαντος αὐτόν».

Οὕτω κατὰ τὸ τέλος τοῦ Η΄ αἰῶνος ἡ χειροτονία τοῦ πρεσβυτέρου ἔχει προσλάβει τὰ βασικὰ στοιχεῖα τὰ συνιστῶντα αὐτήν. Τὴν ἀπὸ τῆς ἐποχῆς ἐκείνης μέχρι σήμερον ἐξέλιξιν δυνάμεθα νὰ παρακολουθήσωμεν εἰς τὰ σχετικὰ λειτουργικὰ χειρόγραφα καὶ ἔντυπα Εὐχολόγια ἢ Ἀρχιερατικά. Ἐκ τῶν χειρογράφων, τὰ μὲν ἀρχαιότερα βαθμηδὸν ἐμπλουτίζουν ἢ τροποποιοῦν ἔν τισι σημείοις τὴν ὑπὸ τοῦ Βαρβερινοῦ καὶ ἄλλων ἀρχαίων Εὐχολογίων μαρτυρουμένην τάξιν, τὰ δὲ νεώτερα συμφωνοῦν σχεδὸν κατὰ λέξιν πρὸς τὰ ἔντυπα. Μεταξὺ πάλιν τῶν ἐντύπων καὶ τῆς συγχρόνου πράξεως ὑφίστανται σημαντικαὶ διαφοραί. Τὸ ὑφ' ἡμῶν παρατιθέμενον κείμενον βασίζεται κατ' ἀρχὴν μὲν εἰς τὰ ἔντυπα Εὐχολόγια, προσαρμόζονται ὅμως αἱ διατάξεις αὐτῶν πρὸς τὴν παρ' ἡμῖν σήμερον κρατοῦσαν τάξιν. Τὰ κατωτέρω σημειούμενα ἀποσκοποῦν εἰς τὸ νὰ παραστήσουν ἀκριβῶς τὴν πορείαν τῆς ἐν προκειμένῳ λειτουργικῆς πράξεως ἀπὸ τοῦ Η΄ αἰῶνος μέχρι σήμερον, ὡς αὕτη διεσώθη εἰς τὰ βυζαντινὰ λειτουργικὰ χειρόγραφα. Ταῦτα χρησιμοποιοῦμεν ἀπ' εὐθείας ἢ κατὰ τὰς ἐκδόσεις *J. Coar* (Εὐχο-

λόγιον, sive Rituale Graecorum, Venetiis 1730², σελ. 242-249), *Α. Dmitrievskij* (Opisanie liturgitseskich rukopisej, τ. II, Εὐχολόγια, Kiev 1901) καὶ *Π. Τρεμπέλα* (Μικρὸν Εὐχολόγιον, τ. Α', Ἀθῆναι 1950, σελ. 192-256).

Ἐκ τῶν πατέρων τὴν χειροτονίαν τοῦ πρεσβυτέρου ὑπεμνημάτισεν, ἐκτὸς τοῦ ψευδο - Διονυσίου, ὁ Συμεὼν Θεσσαλονίκης εἰς τὸν Διάλογον αὐτοῦ (Διάλογος κατὰ πασῶν τῶν αἱρέσεων καὶ περὶ...τῶν ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς Ἐκκλησίας, κεφ. ΡΟΖ'-ΡΠϛ' *Migne* PG 155, 385-396).

Ἡ χειροτονία τοῦ πρεσβυτέρου ἐτελεῖτο πάντοτε ἐν ἀδιασπάστῳ πρὸς τὴν θείαν λειτουργίαν συνδέσμῳ, οὐδέποτε δὲ ἐκτὸς αὐτῆς ἢ ἐν τῇ λειτουργίᾳ τῶν Προηγιασμένων. Ἡ αἰτία εἶναι προφανής· ὁ ἱερεὺς δέον ὅπως μετὰ τὴν χειροτονίαν αὐτοῦ μετάσχῃ τῆς λειτουργίας συνιερουργῶν μετὰ τοῦ χειροτονήσαντος αὐτὸν ἀρχιερέως καὶ τῶν συμπρεσβυτέρων, οἱονεὶ ἐπισήμως καθιστάμενος εἰς τὸ κύριον αὐτοῦ ἔργον, τοῦ λειτουργοῦ τῶν μυστηρίων. Ἀκριβῶς δὲ διὰ τὸν λόγον τοῦτον καὶ ὁ χρόνος τῆς τελέσεως τῆς χειροτονίας καθορίζεται ὑπὸ πάντων τῶν χειρογράφων «μετὰ τὸ πληρωθῆναι τὸ χερουβικὸν» (κώδ. Ἐθνικῆς Βιβλιοθήκης Ἀθηνῶν 750, 754, 771, 813, 836, 877, S. 438), ἤ, λεπτομερέστερον, «μετὰ τὸ εἰσενεχθῆναι τὰ ἅγια καὶ βληθῆναι τὸ καταπέτασμα» (κῶδ. Κοισλιανὸς 213), ἢ «μετὰ τὸ εἰσενεχθῆναι καὶ ἀποτεθῆναι τὰ θεῖα δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ, πληρωθῆναί τε τὸν μυστικὸν ὕμνον» (Ἀθηνῶν 759, 781, Ξενοφῶντος 163, Διονυσίου 489).

Μέχρι τοῦ σημείου τούτου τῆς θείας λειτουργίας ὁ πρὸς χειροτονίαν ὑποψήφιος κατέχει τὰ πρωτεῖα μεταξὺ τῶν ὁμοιοβάθμων αὐτοῦ διακόνων «τελῶν τὰ τοῦ ἀρχιδιακόνου...ὡς τὰ τῆς διακονίας ἀποδιδούς», κατὰ τὸν Συμεών, διὸ «καὶ τὸ εὐαγγέλιον λέγει, εὐλογίαν δεχόμενος, καὶ τὸν θεῖον ἄρτον ἐπὶ κεφαλῆς ἐν τῇ μεγάλῃ φέρει εἰσόδῳ» (Διάλογος..., κεφ. ΡΟΘ'). Τούτων λαμβανομένων ὑπ' ὄψιν, δύνανται νὰ ἑρμηνευθοῦν δυσχερεῖς τινες διατάξεις τῆς τά-

ξεως «ἀκολουθίας ἐν τῇ χειροτονίᾳ πρεσβυτέρου, τοῦ πληροῦντος ἀρχιδιακόνου», ἢ «εἰς τὸν πληροῦντα τὸ ἀρχιδιακονικὸν τῆς Μεγάλης Ἐκκλησίας», ἢ ἁπλούστερον «τὸ πληροῦν ἀρχιδιάκονον» ἐνίων κωδίκων. Εἰς τὰς περιπτώσεις ταύτας παρίστανται συλλειτουργοῦντες μετὰ τοῦ πατριάρχου δύο ἀρχιδιάκονοι, ὁ ἔχων τὸν τίτλον τοῦ ἀρχιδιακόνου καὶ ὁ ἐπέχων πρὸ τῆς χειροτονίας αὐτοῦ θέσιν ἀρχιδιακόνου, ὁ «πληρῶν» θέσιν ἀρχιδιακόνου, ἤτοι ὁ πρὸς χειροτονίαν πρεσβυτέρου προβαλλόμενος διάκονος (κῶδ. Κοισλιανὸς 213, φ. 29r ἑξ.).

Τῆς χειροτονίας προηγεῖτο, κατὰ τὴν μαρτυρίαν τοῦ Συμεών, φωταψία, δηλοῦσα «τὴν λάμψιν...καὶ τὴν φωτοδοσίαν τῆς χάριτος» (Διάλογος..., ἔνθ' ἀνωτ.). Τοῦτο δὲν μαρτυρεῖται ὑπὸ τῶν κωδίκων.

Ἡ προσαγωγὴ τοῦ ὑποψηφίου ἱερέως κατ' ἀρχὰς φαίνεται ὅτι ἐγίνετο ἄνευ ἰδιαιτέρας τινὸς πομπῆς, ὡς τοὐλάχιστον δύναται νὰ συναχθῇ ἐκ τῆς ὡς πρὸς τὸ σημεῖον τοῦτο σιγῆς τῶν χειρογράφων. Ταῦτα ὁμιλοῦν ἁπλῶς περὶ «προσαγωγῆς» («προσάγεται») ἢ «εἰσαγωγῆς» («εἰσάγεται») τοῦ πρὸς χειροτονίαν κληρικοῦ. Εἶναι ὅμως αὐτονόητον ὅτι αὕτη ἢ εἶχεν ἤδη ἢ συντόμως θὰ προσελάμβανε πανηγυρικὸν χαρακτῆρα. Ὁ μέλλων νὰ χειροτονηθῇ ἐξήρχετο εἰς τὸν σολέα καὶ «παρακρατούμενος» ὑπὸ «δύο διακόνων», τοῦ ἀρχιδιακόνου καὶ ἑνὸς ἑτέρου, οἱονεὶ προπεμπόμενος ὑπ' αὐτῶν ἐφέρετο μέχρι τῶν ἁγίων θυρῶν (κώδ. Ἀθηνῶν 750, 754, 771, 813, 836, 877, S. 438, Βατοπεδίου 134. 745, Συμεών). Ἡ ἀδελφικὴ ἀγάπη τῶν διακόνων πρὸς τὸν μέχρι τῆς στιγμῆς ἐκείνης ὁμοιόβαθμον αὐτῶν ἐδηλοῦτο καὶ διὰ τοῦ τρόπου καθ' ὃν «παρεκράτουν» οὗτοι τοῦτον (Συμεών), «λαμβάνοντες αὐτὸν ἀπὸ τῶν χειρῶν» (Βατοπ. 134) ἢ καὶ ἐναγκαλιζόμενοι αὐτόν, «θέτοντες ἕκαστος αὐτῶν τὴν χεῖρα ἐπὶ τοῦ ὤμου του καὶ κρατοῦντες τὴν χεῖρά του διὰ τῆς ἄλλης χειρός των» (Σλαβωνικὸν Εὐχολόγιον). Ὅτι διὰ τοῦ τρόπου τούτου ἐδηλοῦτο ἐμμέσως καὶ ἡ πλήρης συγκατάθεσις τῶν «ὁμοταγῶν» καὶ ἡ σιωπηρὰ συμμαρτυρία τοῦ λαοῦ

ὑπονοεῖ καὶ ὁ Συμεὼν λέγων, ὅτι «ὁ χειροτονεῖσθαι μέλλων» ταῦτα πράττει «μαρτυρῶν πᾶσι πιστοῖς ἑαυτόν... ὡς καθαρὸς ὢν ἐπὶ μάρτυσι πᾶσι καὶ μάλιστα Θεῷ» (Διάλογος..., κεφ. ΡΞΘ΄) καὶ ὅτι προσαγόμενος ὑπὸ τῶν διακόνων «δείκνυται τοῖς πᾶσι» (Διάλογος..., κεφ. ΡΟΘ΄).

Πρὸ τῶν ἁγίων θυρῶν ἀνέμενον τὸν μέλλοντα νὰ χειροτονηθῇ δύο πρεσβύτεροι «ὁ πρῶτος καὶ ὁ δεύτερος» ἢ «ὁ πρωτοπαπᾶς καὶ ὁ δευτερεύων» ἢ «τῶν πρεσβυτέρων οἱ ἔγκριτοι», οἱ ὁποῖοι παραλαμβάνοντες αὐτὸν ἐκ τῶν διακόνων καὶ προηγουμένου «τοῦ ἀρχιδιακόνου καὶ λοιπῶν ἄλλων ἱερέων» (Συμεών), εἰσῆγον εἰς τὸ θυσιαστήριον, ὅπου ἀνέμενεν ὁ ἐπίσκοπος. Κατά τινα χειρόγραφα ἡ προσαγωγὴ ἐλάμβανεν ἔτι ἐπισημότερον χαρακτῆρα. Ἡ ἔξοδος ἐγίνετο ἐκ τῆς βορείας πύλης τοῦ ἱεροῦ, «ἐκ τῆς προθέσεως», ψαλλομένου τοῦ «Βασιλεῦ οὐράνιε» ἢ «ὅ,τι ἂν ὁρίσῃ ὁ ἀρχιερεύς». Ἡ πομπὴ ἵστατο εἰς τὸ μέσον τοῦ ναοῦ, ὅπου «ὁ εὔγλωττος τῶν ἱερέων» ἔλεγεν «μεγαλοφώνως», ἀπευθυνόμενος προφανῶς εἰς τὸν ἐπίσκοπον, ἀλλὰ καὶ πρὸς πάντας τοὺς παρεστῶτας· «Προσφέρεται ὁ εὐλαβέστατος διάκονος ὁ δεῖνα ἀδελφὸς ἡμῶν τοῦ χειροτονηθῆναι εἰς ἱερέα τῆς ἁγιωτάτης ἐκκλησίας δεῖνα». Οὗτος ἐποίει μετανοίας καὶ ἐπανελαμβάνετο καθ' ὅμοιον τρόπον καὶ ἡ «δευτέρα πρόσφερσις» (Διονυσίου 489).

Τὸ σήμερον ὑπὸ τῶν προσαγόντων τὸν πρὸς χειροτονίαν κληρικὸν τρὶς ὑπὸ τρεῖς μορφὰς ἐπαναλαμβανόμενον «Κέλευσον» («Κέλευσον», «Κελεύσατε», «Κέλευσον, δέσποτα ἅγιε, τὸν νῦν προσφερόμενόν σοι») ὑπ' οὐδενὸς χειρογράφου ἢ ἐντύπου μαρτυρεῖται. Ὑπαινιγμόν τινα ἴσως δύναται νὰ διακρίνῃ τις εἰς τὰ περὶ χειροτονίας διακόνου ὑπὸ τοῦ Συμεὼν λεγόμενα· ὁ ὑποψήφιος διάκονος εἰσήγετο εἰς τὸ βῆμα ὑπὸ δύο διακόνων «κελεύσει τοῦ ἀρχιερέως» (Διάλογος..., κεφ. ΡΞΘ΄). Ὡς τοιαύτη ἡ προτροπὴ αὕτη ἐνέχει τὴν ἔννοιαν τῆς αἰτήσεως ἀδείας διὰ τὴν εἰσαγωγὴν τοῦ μέλλοντος νὰ χειροτονηθῇ εἰς τὸ βῆμα ἢ καὶ πρὸς ἔναρξιν αὐτῆς ταύτης τῆς χειροτονητηρίου τελετῆς. Κατὰ ταῦτα αὕτη

εἶναι παράλληλος πρὸς ἀναλόγους παρακελεύσεις λεγομένας ἐξ ἔθους ἢ καὶ εἰσελθούσας εἰς τὰ λειτουργικὰ ἡμῶν κείμενα, διὰ τῶν ὁποίων συχνάκις ἐπιζητεῖται ἡ συγκατάθεσις τοῦ προεξάρχοντος πρὸς ἔναρξιν ἀκολουθίας τινὸς ἢ εἰδικώτερον στοιχείου τινὸς αὐτῆς. Ἡ εἰς πληθυντικὸν δευτέρα ἐκφώνησις «Κελεύσατε» φαίνεται ὅτι μᾶλλον ἀπευθύνεται πρὸς τὸ ὅλον ἐκκλησίασμα, προκαλούμενον οὕτω νὰ ἐκδηλώσῃ τὴν συγκατάθεσιν αὐτοῦ (*Π. Τρεμπέλα,* ἔνθ' ἀνωτ., σελ. 197). Εἰς τὸ Σλαβωνικὸν Εὐχολόγιον καὶ αὕτη κεῖται εἰς ἑνικὸν ἀριθμόν.

Κατὰ τὴν σημερινὴν τάξιν εἰς τὸ σημεῖον τοῦτο παρεμβαίνει ὁ πρὸ τῆς ὡραίας πύλης ἱστάμενος ἀρχιερεύς, ὁ ὁποῖος, ὑποδεχόμενος τὸν πρὸς χειροτονίαν προβληθέντα, σφραγίζει σταυροειδῶς τρὶς τὴν κεφαλὴν αὐτοῦ, ἐπιλέγων εἰς ἑκάστην σφράγισιν τὸ «Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος» καὶ εἰσάγει εἰς τὸ βῆμα. Τοῦτο ὑπ' οὐδενὸς τῶν κωδίκων καὶ τῶν ἐντύπων μαρτυρεῖται. Οἱ παρακρατοῦντες τὸν ὑποψήφιον ἱερεῖς εἰσῆγον αὐτὸν ἀμέσως εἰς τὸ βῆμα, ἡ δὲ σφράγισις ἐγίνετο ἀμέσως μετὰ τὸν ἱερὸν χορὸν καὶ πρὸ τοῦ «Ἡ θεία χάρις...» (Ἀθηνῶν 750, 754, 813, 836, S. 438), ἢ ἀμέσως μετ' αὐτὸ μετὰ τὴν γονυκλισίαν καὶ πρὸ τῆς πρώτης εὐχῆς (Κοισλ. 213, Βατοπ. 134, Ξενοφῶντος 163, Ἀθηνῶν 781, Σινᾶ 956, Βησσαρίωνος - Κρυπτοφέρρης), ἢ πρὸ τῆς εὐχῆς καὶ πρὸ τῆς γονυκλισίας (ἔντυπα), ἢ τέλος δίς, πρὸ τοῦ «Ἡ θεία χάρις» καὶ ἀμέσως μετ' αὐτὸ (Ἀθηνῶν S. 473). Ἡ ἀρχικὴ θέσις τῆς σφραγίσεως φαίνεται νὰ εἶναι ἡ ἀμέσως μετὰ τὸ «Ἡ θεία χάρις». Ἡ πρὸ αὐτοῦ σφραγὶς εἰσήχθη μεταγενεστέρως πρὸς δήλωσιν προφανῶς τῆς συμφωνίας τοῦ χειροτονοῦντος ἀρχιερέως. Κατὰ τὸν Συμεὼν ὁ ἀρχιερεὺς ἐσφράγιζε τρὶς ἐκ τρίτου τὸν χειροτονούμενον «πρῶτον εὐθὺς προσαχθέντα... δεύτερον πάλιν...μετὰ τὴν ἐπίκλησιν τῆς θείας χάριτος... καὶ τρίτον...μετὰ τὰς εὐχάς», ἤτοι «ἐν τῇ ἀρχῇ τοῦ ἔργου καὶ τῇ μεσότητι καὶ τῷ τέλει». Τοῦτο προφανῶς προῆλθε τὸ μὲν ἐκ τῆς ἀσταθείας τῆς σχετικῆς παραδόσεως ὡς πρὸς

τὸ χρονικὸν σημεῖον καθ' ὃ ἔδει νὰ γίνεται ἡ σφράγισις, πρᾶγμα τὸ ὁποῖον εἶχεν ὡς ἀποτέλεσμα ἐν τῷ συγκερασμῷ τῶν παραδόσεων νὰ πολλαπλασιασθοῦν αἱ σφραγίσεις, τὸ δὲ ἐκ τῆς συναφοῦς προσπαθείας πρὸς ἀπαρτισμὸν τριῶν σφραγίσεων εἰς τιμὴν τῆς ἁγίας Τριάδος. Οὕτω, κατὰ τὸν Συμεών, διὰ τῆς τρὶς γινομένης τριπλῆς σφραγίσεως παρουσιάζεται «ἡ Τριὰς ὑμνουμένη καὶ ἐνεργοῦσα τῇ σφραγῖδι ἐν τῇ ἀρχῇ τε τοῦ ἔργου καὶ τῇ μεσότητι καὶ τῷ τέλει, ὅτι καὶ τοῦ ἄρξασθαι εἶναι καὶ τοῦ προκόπτειν καὶ τοῦ εἰς τέλος ἐλθεῖν αὕτη μόνη αἰτία ἡ τῶν ὅλων αἰτία, ὁ Θεὸς ἡ Τριάς ἐστιν». Τοῦτο ἐπὶ πλέον ἐθεωρήθη ὡς εἰκὼν τῆς συμμετοχῆς τοῦ ἱερατείου εἰς τὸ λειτουργικὸν ἔργον τῶν ἐννέα ἀγγελικῶν ταγμάτων, «ὃς (ἀριθμὸς ἐννέα) τρισσῶς τὴν Τριάδα ἐν ἑαυτῷ περιφέρει τε καὶ κηρύττει, διὰ τῶν τρὶς τρισσῶν σταυρικῶν σφραγίδων ἐν αὐτοῖς χειροτονουμένοις ἐκτυποῦται καὶ δείκνυται» (Διάλογος..., κεφ. ΡΟΑ΄).

Ἡ κατὰ τὴν σταυροειδῆ σφράγισιν ἐπίκλησις τῆς ἁγίας Τριάδος («Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος»), μὴ μαρτυρουμένη ὑπὸ τῶν κωδίκων καὶ τῶν ἐντύπων, ἐγίνετο τοὐλάχιστον κατὰ τὴν ἐποχὴν τοῦ Συμεών, ὡς ρητῶς οὗτος μαρτυρεῖ περὶ τῆς πρώτης σφραγῖδος κατὰ τὴν χειροτονίαν τοῦ διακόνου· «καὶ σφραγίζει τρίτον τὴν κεφαλὴν τῆς χειροτονίας εἰς ἀπαρχήν, τῆς τριττῆς θείας ὑποστάσεως ἐπιβοωμένης αὐτῷ, ὅτι πᾶν δώρημα ἐξ αὐτῆς διὰ τοῦ ἑνὸς αὐτῆς ἐνανθρωπήσαντος Λόγου καὶ σαρκὶ σταυρωθέντος» (Διάλογος..., κεφ. ΡΞΘ΄).

Ὁ περὶ τὴν ἁγίαν τράπεζαν ἱερὸς χορός, ἢ ἡ περὶ τὴν ἁγίαν τράπεζαν «χορεία», ἢ ἡ «κύκλωσις» τῆς ἁγίας τραπέζης, ὡς ὑπὸ τῶν πηγῶν χαρακτηρίζεται, δὲν μαρτυρεῖται ὑπὸ τοῦ Βαρβερινοῦ καὶ ἄλλων ἀρχαίων χειρογράφων (Ἀθηνῶν 781, Κοισλ. 213, Διονυσίου 489, Ξενοφ. 163, Σινᾶ 956). Εἰς μεταγενεστέρους κώδικας ἐμφανίζεται ὑπὸ διαρκῶς ἐξελισσομένην μορφήν. Κατ' ἀρχὰς φαίνεται ὅτι ἐκυκλοῦτο ἅπαξ ἡ ἁγία τράπεζα ἄνευ ἑτέρου τινός, ψαλλομένου τοῦ

τροπαρίου «Ἅγιοι μάρτυρες...» «ἕως τέλους» (κῶδ. Ἀθηνῶν 759). Βαθμηδὸν εἰσήχθησαν, προφανῶς διὰ τὸ ἱερὸν τοῦ ἀριθμοῦ, τρεῖς περὶ τὴν ἁγίαν τράπεζαν περιφοραὶ (Ἀθηνῶν 750, 754, 771, 813, 836, 877, S. 438). Ὡς τροπάριον ἐψάλλετο καὶ πάλιν τὸ «Ἅγιοι μάρτυρες...». Τοῦτο ἤρχισε διὰ τοὺς αὐτοὺς λόγους νὰ ἐπαναλαμβάνεται τρὶς (Ἀθηνῶν 750, 754, 771). Εἰς αὐτὸ εἰς νεωτέρους χρόνους προσετέθη τὸ τροπάριον «Δόξα σοι, Χριστὲ ὁ Θεός...», μαρτυρούμενον μόνον ὑπὸ τοῦ Συμεὼν (Διάλογος..., κεφ. ΡΞΘ΄, ΡΟΘ΄, ΣΕ΄). Οὗτος μάλιστα παρέχει τὴν πληροφορίαν, ὅτι εἰς τὴν Κωνσταντινούπολιν δὲν ἐψάλλετο κατὰ τὰς χειροτονίας ἄλλο τι εἰ μὴ μόνον τὸ «Ἅγιοι μάρτυρες...», προφανῶς τρίς. Εἰς τὴν Θεσσαλονίκην ὅμως ἡ πρᾶξις ἦτο διάφορος· ἐν αὐτῇ «εὗρεν» ὁ Συμεὼν ψαλλόμενον καὶ τὸ «Δόξα σοι Χριστέ...» μετὰ τὴν δὶς ἐπανάληψιν τοῦ «Ἅγιοι μάρτυρες...». Τὸ ἔθος τοῦτο ἐπεδοκίμαζε καὶ αὐτὸς (Διάλογος..., κεφ. ΣΕ΄). Κατὰ μίμησιν τῆς ἀντιστοίχου πράξεως ἐν τῇ ἀκολουθίᾳ τοῦ γάμου εἰσήχθη τελευταῖον καὶ τὸ τροπάριον «Ἡσαΐα χόρευε...». Ἡ σειρὰ ὅμως τῶν τροπαρίων παρέμεινε διάφορος τῆς τοῦ γάμου, προφανῶς ἀρχαϊκωτέρα ἐκείνης. Τὰ τρία τροπάρια εἰς οὐδὲν χειρόγραφον ἢ ἔντυπον ἀπαντοῦν πλὴν τοῦ Σλαβωνικοῦ Εὐχολογίου, κατὰ τὴν διάταξιν τοῦ ὁποίου ψάλλονται μάλιστα ταῦτα δίς, ἅπαξ ὑπὸ τῶν ἱερέων καὶ ἅπαξ ὑπὸ τοῦ χοροῦ.

Εἰς τὸν ἱερὸν χορὸν ἐλάμβανον ἀρχικῶς μέρος μόνον οἱ παρακρατοῦντες τὸν ὑποψήφιον δύο πρεσβύτεροι (Ἀθηνῶν 750, 754, 771, 813, 836, S. 438, S. 473), ἀργότερον ὅμως καὶ ἄλλοι κληρικοὶ καὶ δὴ ὁ ἱερομνήμων καὶ ὁ δευτερεύων τῶν διακόνων (Ἀθηνῶν 877, Βατοπ. 134). Ὁ κατὰ τὴν περιφορὰν ἀσπασμὸς τῶν κεράτων τῆς ἁγίας τραπέζης δὲν μαρτυρεῖται ὑπὸ τῶν κωδίκων οὔτε ὑπὸ τῶν ἐντύπων, εἰ μὴ μόνον ὑπὸ τοῦ Σλαβωνικοῦ Εὐχολογίου. Ἐνδιάμεσον διάταξιν παρουσιάζει ὁ κῶδιξ Βατοπεδίου 134, κατὰ τὸν ὁποῖον, μετὰ τὴν τριττὴν περὶ τὴν ἁγίαν τράπεζαν χορείαν, προσήγετο ὁ μέλλων νὰ χειροτονηθῇ καὶ ἠσπάζετο τρὶς αὐτήν. Ἡ

πρὸς τὸν ἀρχιερέα μετάνοια καὶ ὁ ἀσπασμὸς τοῦ γόνατος αὐτοῦ «ἐπάνω τοῦ ὠμοφορίου» (Ἀθηνῶν 813, 836, S. 438), ἢ τῆς χειρὸς καὶ τοῦ ἐπιγονατίου (Σλαβωνικὸν) δὲν σημειοῦνται ὑπὸ τῶν παλαιοτέρων χειρογράφων οὔτε ὑπὸ τοῦ Συμεών.

Ἡ «κλίσις» ἢ ἡ «κάμψις» ἀμφοτέρων τῶν γονάτων πρὸ τῆς ἁγίας τραπέζης ἢ ἐπὶ τῆς κρηπῖδος αὐτῆς κατὰ τοὺς παλαιοτέρους κώδικας ἐγίνετο μετὰ τὴν ἐκφώνησιν «Ἡ θεία χάρις...» (Ἀθηνῶν 781, S. 473, Διονυσίου 489, Ξενοφ. 163, Σινᾶ 956, Κρυπτ. - Βησσ.) καὶ πρὸ τῆς πρώτης χειροτονητηρίου εὐχῆς, παρετείνετο δὲ μέχρι τῆς ἐκφωνήσεως καὶ τῆς δευτέρας εὐχῆς. Τὸ «Ἡ θεία χάρις...» ἀπηγγέλλετο ἐνῷ ὁ πρὸς χειροτονίαν ἵστατο ἀκόμη πρὸ τοῦ ἀρχιερέως καὶ πρὶν ἢ ἐπιθέσῃ οὗτος τὴν χεῖρα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. Κατὰ τὰ νεώτερα χειρόγραφα (Ἀθηνῶν 750, 754, 771, 813, 836, 877, S. 438, S. 473, Βατοπ. 134) καὶ κατὰ τὸν Συμεών, ὡς καὶ κατὰ τὴν σημερινὴν πρᾶξιν, ἡ γονυκλισία γίνεται ἅμα τῇ προσαγωγῇ τοῦ χειροτονηθησομένου, εὐθὺς μετὰ τὸν ἱερὸν χορὸν καὶ πρὸ τῆς ἐκφωνήσεως «Ἡ θεία χάρις...». Τοῦτο πιθανὸν προῆλθεν ἐκ θεολογικῶν λόγων· τὸ «Ἡ θεία χάρις...» ἐθεωρήθη ὡς αὐτὸ τὸ κεντρικὸν σημεῖον τῆς χειροτονητηρίου ἀκολουθίας, διὰ τοῦ ὁποίου «ἀπὸ διακόνου εἰς πρεσβύτερον καθίστατο ὁ τελούμενος» καὶ «ἅμα τῷ λόγῳ καὶ τὸ χάρισμα» ἐδίδετο εἰς αὐτόν. Ὡς ἐκ τούτου ἁρμοδιωτέρα θὰ ἦτο ἡ κατὰ τὴν ὥραν τῆς ἀπαγγελίας αὐτοῦ γονυκλισία καὶ ἡ κατ᾽ αὐτὴν ἐπίθεσις τῆς χειρὸς τοῦ χειροτονοῦντος.

Ὁ πρὸς χειροτονίαν κλίνων τὰ γόνατα ἐρείδει καὶ τὸ μέτωπον ἐπὶ τῆς ἁγίας τραπέζης, κατὰ τὰ χειρόγραφα, ἢ «θέτει τὰς χεῖρας αὐτοῦ ἐπὶ τῆς ἁγίας τραπέζης σταυροειδῶς καὶ στηρίζει τὸ μέτωπον μεταξὺ τῶν χειρῶν αὐτοῦ» κατὰ τὸ Σλαβωνικὸν Εὐχολόγιον καὶ τὴν σύγχρονον πρᾶξιν, προφανῶς πρὸς καθαγιασμὸν αὐτῶν «ὅτι αὕτη (ἡ ἁγία τράπεζα) τὸν Χριστὸν σημαίνει τὴν τῶν ἁπάντων κεφαλὴν καὶ ἐν αὐτῇ τὸ μύρον, ἡ χάρις τοῦ Πνεύματος καὶ τὰ μυστήρια...καὶ τὰ λόγια τούτου ἐν τῇ τραπέζῃ, τῷ

αὐτοῦ μνήματι καὶ ὑποκάτω ταύτης τὰ λείψανα τῶν μαρτύρων» (Διάλογος..., κεφ. ΡΞΘ΄).

Ὡς πρὸς τὴν ἐκφώνησιν «Ἡ θεία χάρις...», ἀξιοσημείωτος τυγχάνει ἡ ἐπισημότης μετὰ τῆς ὁποίας εἰσήγετο καὶ ὁ πανηγυρικὸς τρόπος τῆς ἐκφωνήσεως αὐτῆς. Οὕτω τὰ πλεῖστα τῶν χειρογράφων προτάσσουσι ταύτης τὴν παρακέλευσιν «Πρόσχωμεν» («δεῖ γὰρ τοῖς μεγίστοις οὕτω πάντας προσέχειν τε καὶ συστέλλεσθαι» κατὰ τὸν Συμεών, Διάλογος..., κεφ. ΡΞΘ΄), ὁ «χαρτοφύλαξ» ἐπέδιδεν εἰς τὸν ἀρχιερέα «χάρτην ἔγγραφον» (Ἀθηνῶν 781, Βατοπ. 134), ἢ «τὸ κιτατώριον» (Κοισλ. 213), ἢ «τὸν πρὸς συνήθειαν χάρτην» (Βαρβερ. 336, Ξενοφ. 163), ἐπὶ τοῦ ὁποίου ἦτο γεγραμμένη ἡ ἐκφώνησις, καὶ ὁ ἀρχιερεὺς λαμβάνων αὐτὸν ἀνεγίνωσκε («ὑπανεγίνωσκε» ἢ «ἐξεφώνει») «εἰς ἐπήκοον πάντων τῶν περισταμένων» τὰ ἐν τῷ χάρτῃ «γράμματα» ἢ «τὰ γεγραμμένα», δηλαδὴ τὸ «Ἡ θεία χάρις...». Ἂν ληφθῇ ὑπ' ὄψιν ὅτι κατὰ τὴν μαρτυρίαν τοῦ κώδικος Ἀθηνῶν S. 473 τοῦ «Ἡ θεία χάρις...» προετάσσετο ἡ φράσις «Ψήφῳ καὶ δοκιμασίᾳ τῶν μαρτυρησάντων», ὡς καὶ ὁ παράλληλος χάρτης τῆς εἰς ἐπίσκοπον χειροτονίας, ὁ καλούμενος «πτερόν», εἰς τὸν ὁποῖον περιελαμβάνετο καὶ ἡ φράσις «Ψήφῳ καὶ δοκιμασίᾳ τῶν ἱερωτάτων μητροπολιτῶν, θεοφιλεστάτων ἀρχιεπισκόπων τε καὶ ἐπισκόπων», ὡς καὶ ἡ ὑπὸ τοῦ χαρτοφύλακος ἐπίδοσις τοῦ χάρτου, δύναται νὰ κατανοηθῇ ἡ ἀρχικὴ σημασία τῆς ἐκφωνήσεως ταύτης, ὡς καὶ ἡ ἰδιαιτέρα σπουδαιότης ἡ ἀποδιδομένη εἰς αὐτήν. Ἐπρόκειτο οἱονεὶ περὶ τῆς ἀναγνώσεως τοῦ πρακτικοῦ ἐκλογῆς τοῦ προβληθέντος πρὸς χειροτονίαν, ἐν τῷ ὁποίῳ περιείχετο καὶ τὸ ὄνομα τοῦ ἐκλεγέντος καὶ ἡ ἐμμέσως ἐκφερομένη αἴτησις πρὸς ἔκφρασιν τῆς συμφωνίας τοῦ παρισταμένου κλήρου καὶ λαοῦ διὰ τῆς συμμετοχῆς αὐτῶν εἰς τὴν εὐχὴν («Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ...»), ὡς χαρακτηριστικῶς παρατηρεῖ καὶ ὁ Συμεὼν (Διάλογος.., κεφ. ΡΞΘ΄).

Κατὰ τὸ Σλαβωνικὸν Εὐχολόγιον καὶ τὴν παρ' ἡμῖν σήμερον ἰσχύουσαν πρᾶξιν ὁ ἀρχιερεὺς καλύπτει τὴν

κεφαλὴν τοῦ χειροτονουμένου διὰ τοῦ ἄκρου τοῦ ὠμοφορίου αὐτοῦ καὶ ἐπιθέτει ἐπ' αὐτοῦ τὴν δεξιὰν χεῖρα. Ἡ κάλυψις αὕτη τῆς κεφαλῆς διὰ τοῦ ὠμοφορίου ὑπ' οὐδενὸς χειρογράφου μαρτυρεῖται. Ἀντιθέτως μάλιστα κατὰ τὸν Κυισλιακὸν κώδικα ὑπ' ἀριθμ. 213 τὸ ὠμοφόριον κατὰ τὴν χειροτονίαν τοῦ πρεσβυτέρου ἔκειτο ἐπὶ τῆς ἁγίας τραπέζης «ἐπάνω τοῦ καταπετάσματος ἐν τῷ δεξιῷ μέρει αὐτοῦ». Ἐτέλει δηλαδὴ τὴν χειροτονίαν ὁ ἐπίσκοπος, ὡς καὶ τὸν καθαγιασμὸν τῶν τιμίων δώρων, ἄνευ ὠμοφορίου.

Αἱ τελεστικαὶ εὐχαὶ τῆς χειροτονίας εἶναι δύο, κατὰ τὸ ἔθος τῆς βυζαντινῆς λειτουργικῆς πράξεως. Κατὰ τὸν Συμεὼν ἡ δίπλωσις αὕτη τῶν τελεστικῶν εὐχῶν σημαίνει τὴν διπλῆν φύσιν τοῦ Κυρίου καὶ τὴν διφυᾶ φύσιν τοῦ ἀνθρώπου, τὴν ὁποίαν αὗται ἁγιάζουν (Διάλογος..., κεφ. ΣΠΘ΄). Ἡ πρώτη πιθανῶς εἶναι ἡ παλαιοτέρα. Ἐν αὐτῇ γενικῶς ἐπιζητεῖται ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐπὶ τὸν χειροτονούμενον, ἐνῷ ἐν τῇ δευτέρᾳ εἰδικῶς μνημονεύονται τὰ εἰς τὸν βαθμὸν τοῦ πρεσβυτέρου προσιδιάζοντα πνευματικὰ χαρίσματα. Εἶναι δὲ κατὰ πάντας τοὺς κώδικας αἱ αὐταί, μετά τινων μικρῶν παραλλαγῶν, τῶν ὁποίων αἱ σπουδαιότεραι εἶναι αἱ καὶ ὑπὸ τοῦ Βαρβερινοῦ κώδικος μαρτυρούμεναι· «ἐδοκίμασας» ἀντὶ «εὐδόκησας», «ἀμωμήτῳ» ἀντὶ «ἀμέμπτῳ» ἐν τῇ πρώτῃ εὐχῇ καὶ «πρεσβυτερίου» ἀντὶ «πρεσβυτέρου», «παραστῆναι» ἀντὶ «παρεστάναι», «σωτηρίας» ἀντὶ «βασιλείας» καὶ «τοῦ λουτροῦ τῆς παλιγγενεσίας» ἀντὶ «τῆς τοῦ λουτροῦ παλιγγενεσίας» ἐν τῇ δευτέρᾳ.

Ἀμφότεραι αἱ εὐχαὶ ἐλέγοντο, ὡς φαίνεται, χαμηλῇ τῇ φωνῇ, ἐκφώνως δὲ αἱ καταλήξεις αὐτῶν («Ὅτι σὸν τὸ κράτος...», «Ὅτι ηὐλόγηται...»), ὡς τοῦτο δηλοῦται ἢ ὑπονοεῖται ὑπό τινων χειρογράφων καὶ ὑπὸ τοῦ Συμεών. Ἐν τῷ Βαρβερινῷ κώδικι μόνον ἡ κατάληξις τῆς δευτέρας εὐχῆς χαρακτηρίζεται ὡς ἐκφώνησις. Ἡ δευτέρα εὐχὴ ἐλέγετο, κατὰ τὴν διάκρισιν τοῦ χειροτονοῦντος, εἴτε καθ' ἣν ὥραν ἐλέ-

γοντο τὰ εἰρηνικά, εἴτε μετὰ τὸ πέρας αὐτῶν («τούτων ῥηθέντων ἢ λεγομένων ἔτι»).

Τὰ ἀκολουθοῦντα τὴν πρώτην εὐχὴν διακονικά, ἢ ἡ «συναπτή», ἡ «διακονικὴ εὐχὴ» ἢ ἡ «εὐχὴ διακόνου», ἐλέγοντο ὑπὸ τοῦ «πρωτοπαπᾶ» ἢ τοῦ «πρωτοπρεσβυτέρου» ἢ τοῦ «πρωτοϊερέως» ἢ τοῦ «πρώτου τῶν πρεσβυτέρων» ἢ καὶ «ἑτέρου πρεσβυτέρου», «λεπτῇ τῇ φωνῇ ὅσον ἀκούειν τοὺς συμπαρόντας πρεσβυτέρους καὶ ἀποκρίνεσθαι». Οὕτω τὸ πρεσβυτέριον καλεῖται νὰ συνευχηθῇ μετὰ τοῦ ἀρχιερέως ὑπὲρ τοῦ χειροτονουμένου. Τοῦτο δύναται νὰ θεωρηθῇ παράλληλον πρὸς τὴν ἐν τῷ ρωμαϊκῷ λειτουργικῷ τύπῳ ἤδη ὑπὸ τῆς Ἀποστολικῆς Παραδόσεως τοῦ Ἱππολύτου μαρτυρουμένην συνιερουργίαν ἐπισκόπου καὶ πρεσβυτέρων, ἐκδηλουμένην διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν καὶ τῶν πρεσβυτέρων ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονουμένου.

Αἱ αἰτήσεις παραλλάσσουν ἐνίοτε ἀπὸ κώδικος εἰς κώδικα. Οὕτως εἴς τινας παραλείπεται ἡ «ὑπὲρ τῆς εἰρήνης» τοῦ κόσμου αἴτησις (Ἀθηνῶν 813) ἢ ἡ «ὑπὲρ τοῦ ῥυσθῆναι» (Ἀθηνῶν 754) ἢ προστίθενται ἡ ὑπὲρ τῶν βασιλέων (Ἀθηνῶν 750, S. 759, Διονυσίου 489, Ξενοφ. 163, Συμεὼν) καὶ «ὑπὲρ τοῦ συμπολεμῆσαι» (Διονυσίου 489) ἢ «ὑπὲρ πάντων τῶν χρῃζόντων...» (Διονυσίου 489, Ξενοφῶντος 163) αἰτήσεις. Εἴς τινας πάλιν, ὡς καὶ εἴς τινα ἔντυπα, ἡ ὑπὲρ τοῦ ἀρχιερέως αἴτησις δὲν παρουσιάζει τὴν πληρότητα τῶν λοιπῶν κωδίκων καὶ τῶν ἐντύπων, κατά τινας δέ, ἴσως ἐκ παρεξηγήσεως, ἡ δευτέρα εἰδικὴ ὑπὲρ τοῦ χειροτονουμένου αἴτησις «Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν...» προτάσσεται τῆς πρώτης, ἀναφερομένη οὕτως οὐχὶ εἰς τὸν χειροτονούμενον, ἀλλ' εἰς τὸν ἀρχιερέα (Ἀθηνῶν 813, 836, S. 438).

Μετὰ τὸ «Ἀμὴν» τῆς τελευταίας εὐχῆς ὁ ἐπίσκοπος ἤγειρε τὸν χειροτονηθέντα καὶ περιέβαλλεν αὐτὸν διὰ τῶν ἀμφίων τοῦ βαθμοῦ αὐτοῦ. Καὶ πρῶτον μετέτρεπε τὸ ὀράριον αὐτοῦ εἰς ἐπιτραχήλιον φέρων «τὸ ὄπισθεν αὐτοῦ ἐπὶ τὸ ἔμπροσθεν τοῦ δεξιοῦ μέρους» (κῶδ. Ἁγ. Σάβα 362. 607). Τὸ ἀρχαϊκὸν ἐπιτραχήλιον ἀπετελεῖτο, ὡς καὶ τὸ ὀράριον,

ἐκ στενῆς λωρίδος ὑφάσματος, τοῦ ὁποίου τὰ δύο ἄκρα ἔπιπτον ἀσυνδέτως ἔμπροσθεν κρεμάμενα ἐκ τοῦ τραχήλου (ἐπιτραχήλιον ἢ περιτραχήλιον). Ὅτε μεταγενεστέρως τὸ ἐπιτραχήλιον διεμορφώθη εἰς ἴδιον ἄμφιον, ἡ διετηρήθη ἡ παλαιὰ πρᾶξις κατ' ἐξαίρεσιν κατὰ τὴν χειροτονίαν ἢ ἀφαιρουμένου τοῦ ὀραρίου «περιετίθετο» ἐπιτραχήλιον. Εἰς μεταγενέστερα χειρόγραφα καὶ εἰς τὰ ἔντυπα εὕρηνται καὶ αἱ δύο διατάξεις «φέρει τὸ ὄπισθεν τοῦ ὀραρίου αὐτοῦ ἐπὶ τὸ ἔμπροσθεν τοῦ δεξιοῦ μέρους...ἢ περιτίθησιν αὐτῷ ἐπιτραχήλιον» (Ἀθηνῶν 750, 754, 771, 877, Ἁγ. Σάβα 362). Δεύτερον ἄμφιον ἀναφέρεται εἰς τὰ χειρόγραφα τὸ φελόνιον. Τοῦτο παραλείπεται μόνον, ἴσως ἐκ παραδρομῆς, ὑπὸ τοῦ κώδικος Ἀθηνῶν 813. Ἡ ζώνη μνημονεύεται μόνον ὑπὸ τοῦ κώδικος Διονυσίου 489 καὶ ὑπὸ τοῦ Συμεών. Ὁ Διονυσίου 489 προσθέτει καὶ τὰ ἐπιμάνικα.

Κατὰ τὴν ἔνδυσιν, κατὰ τὰς μαρτυρίας τῶν παλαιοτέρων χειρογράφων, οὐδὲν ἐλέγετο (Βαρβερινὸς 336, Κοισλ. 213, Διονυσίου 489, Σινᾶ 956, 1006). Κατὰ τὸν κώδικα Διονυσίου 489 ὁ ἀρχιερεὺς ἐνδύων τὸν νέον πρεσβύτερον ἔλεγεν εἰς ἕκαστον τῶν ἀμφίων ψαλμικὰς ἢ ἄλλας φράσεις, ἀναλόγους πρὸς τὰς λεγομένας σήμερον ὑπὸ τῶν ἱερέων κατὰ τὴν περιβολὴν τῶν ἀμφίων αὐτῶν, κατεκλείετο δὲ ἡ ἔνδυσις διὰ τῆς φράσεως «Ἐνεδύθη ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα τὴν στολὴν τῆς ἱερωσύνης εἰς τὸ ὄνομα τοῦ Πατρός...». Οὕτω, κατὰ τὸ χειρόγραφον τοῦτο, ἡ περιβολὴ τοῦ νεοχειροτονήτου ὑπὸ τῶν ἀμφίων αὐτοῦ προσελάμβανε πανηγυρικὸν χαρακτῆρα. Κατὰ τὸν αὐτὸν κώδικα τὴν ἔνδυσιν ἐπηκολούθει καὶ «σφράγισις» τοῦ μετώπου τοῦ νεοχειροτονήτου ὑπὸ τοῦ ἐπισκόπου, λέγοντος «Σφραγίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἀπὸ διακόνων εἰς πρεσβύτερον τῆς ἁγίας αὐτοῦ ἐκκλησίας [illegible] εἰς τὸ ὄνομα τοῦ Πατρός...».

Ἡ ἀναφώνησις τοῦ λαοῦ «Ἄξιος» ἀπαντᾷ ἤδη εἰς τὴν Διαθήκην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εὐθὺς μετὰ τὴν χειροτονητήριον εὐχὴν ἐν τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου ([illegible] 21). Κατ' ἀναλογίαν δύναται νὰ συναχθῇ ὅτι τὸ αὐτὸ

ἐλέγετο καὶ μετὰ τὴν χειροτονίαν τοῦ πρεσβυτέρου. Ὁμοίως καὶ κατὰ τὸν Βίον Δανιὴλ τοῦ Στυλίτου μετὰ τὴν χειροτονίαν αὐτοῦ εἰς πρεσβύτερον «ἅμα τὸ πλῆθος 'ἄξιος' ἐπεβόων». Καὶ εἰς τὰς εὐχὰς τῆς χειροτονίας ἐπανειλημμένως ἀπαντᾷ ἡ λέξις «ἄξιος» εἴτε ἐξ ἐπιδράσεως τῆς ἐπιφωνήσεως τοῦ λαοῦ, εἴτε καὶ ἀντιστρόφως, διότι αἱ εὐχαὶ ἐπέδρασαν ἐπὶ τοῦ τύπου τούτου τῆς ἐπευφημίας. Κατὰ παλαιοτέρας μαρτυρίας ἡ ἐπιφώνησις «Ἄξιος» ἐγίνετο κατὰ τὴν ἐκλογὴν τῶν κληρικῶν καὶ δὴ τῶν ἐπισκόπων. Παραλλήλως ὅμως φαίνεται, ὅτι συνεδέθη καὶ πρὸς τὴν ἐγκατάστασιν αὐτῶν. Κατὰ τοὺς κώδικας μάλιστα Διονυσίου 489 καὶ Σινᾶ 1006 τῆς ἐπιφωνήσεως προηγεῖτο ἡ κατακλείουσα τὴν χειροτονίαν φράσις «Εὐλογητὸς Κύριος, ἰδοὺ γέγονεν ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα πρεσβύτερος τῆς ἁγιωτάτης ἐκκλησίας τῆσδε εἰς τὸ ὄνομα τοῦ Πατρός...» καὶ ὁ λαὸς ἀπήντα διὰ τῆς τριπλῆς ἀναφωνήσεως «Ἄξιος». Κατὰ τὰ μεταγενέστερα χειρόγραφα τὸ «Ἄξιος» ἐλέγετο ὑπὸ τοῦ ἀρχιερέως καὶ μετ' αὐτὸν ἔψαλλον τρὶς αὐτὸ «οἱ τοῦ βήματος καὶ οἱ ψάλται» εἰς ἓν ἕκαστον τῶν ἀμφίων, εἴτε ἀπὸ κοινοῦ, εἴτε πανηγυρικώτερον «πρότερον οἱ τοῦ βήματος τρὶς καὶ οἱ ψάλται τρὶς» (Ἀθηνῶν 754). Τοῦτο μαρτυρεῖται καὶ ὑπὸ τοῦ Συμεὼν (Διάλογος..., κεφ. ΡΠΑ'). Ἡ ἔννοια τῆς ἐκφωνήσεως εἶναι κατὰ τὸν Συμεὼν διπλῆ, ἤτοι εὐχῆς «εἶναι αὐτὸν ἄξιον» καὶ διαπιστώσεως «ὅτι ὡς ἄξιος ἔλαβεν» (Διάλογος..., ἔνθ' ἀνωτ.).

Κατὰ τοὺς κώδικας ὁ ἐπίσκοπος ἠ σ π ά ζ ε τ ο τὸν νεοχειροτόνητον («δίδωσιν αὐτῷ ἀγάπην» κώδ. Ἀθηνῶν 781, Βαρβερ. 336, Βατοπεδ. 134, Κοισλ. 213, Σινᾶ 956). Τοῦτον ἠσπάζοντο καὶ οἱ λοιποὶ πρεσβύτεροι (Βατοπ. 134). Βραδύτερον τὰ πράγματα ἀντιστρέφονται· ὁ νεοχειροτόνητος ἀσπάζεται τὸν ἐπίσκοπον καὶ τοὺς πρεσβυτέρους. Κατὰ τὸν Συμεὼν μάλιστα ὁ ἀσπασμὸς παρουσιάζεται συνθετώτερος· «προτρέπεται (ὁ χειροτονηθεὶς) τὴν ἱερὰν ἀσπάσασθαι τράπεζαν ὡς πλήρη χάριτος καὶ ὡς ἐν αὐτῇ καθαγιασθείς, εἶτα τὴν ἀρχιερατικὴν δεξιάν, ὡς δι' αὐτῆς χειροτονηθείς, καὶ ἔτι τὴν παρειὰν διὰ τὴν θείαν ἀγάπην τε καὶ εἰρήνην καὶ

ὅτι ὄργανον ἡ παρειὰ τῶν εὐχῶν καὶ ὅτι ἀγαπῶν καὶ ἀγαπητὸς καὶ ὁ τελῶν καὶ ὁ τελούμενος. Διὰ τοῦτο καὶ πάντες πρεσβύτεροι χαίροντες ἀσπάζονται τοῦτον ὡς ὁμοταγῆ γεγονότα» (Διάλογος..., κεφ. ΡΠΑ΄).

Ἡ παράδοσις τῆς «π α ρ α κ α τ α θ ή κ η ς» κατὰ τὰ παλαιότερα χειρόγραφα ἐγίνετο πρὸ τοῦ καθαγιασμοῦ τῶν τιμίων δώρων, «ὅτε ἐπαρθῇ τὸ καταπέτασμα τῶν ἁγίων δώρων καὶ εἴπῃ ὁ λαὸς τὸ "Ἄξιον καὶ δίκαιον"» (Βαρβερ. 336, Ἀθηνῶν 781, Κοισλ. 213, Σινᾶ 956). Ἑπομένως ὁ καθαγιασμὸς τοῦ ἁγίου ἄρτου ἐγίνετο ἐπὶ τῆς χειρὸς τοῦ νεοχειροτονήτου, ὡς ἀκριβῶς κατὰ τὰς Ἀποστολικὰς Διαταγὰς (Η΄, 5) ἡ θυσία ἀνεφέρετο «ἐπὶ τῶν χειρῶν τοῦ χειροτονηθέντος ἐπισκόπου». Εἰς μεταγενεστέρους χρόνους ἡ παράδοσις τῆς παρακαταθήκης ἐγίνετο μετὰ τὸν καθαγιασμὸν εὐθὺς ἀμέσως μετὰ τὴν ἐπίκλησιν καὶ πρὸ τοῦ «Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν...», ὡς ὑπὸ πάντων τῶν νεωτέρων χειρογράφων καὶ τῶν ἐντύπων ἐκδόσεων μαρτυρεῖται. Παρ' ἡμῖν σήμερον ἡ παράδοσις γίνεται ὀλίγον βραδύτερον, μετὰ τὸ «Ἄξιόν ἐστιν...» καὶ πρὸ τῆς ἐκφωνήσεως «Ἐν πρώτοις μνήσθητι, Κύριε...».

Εἰς τὸν νεοχειροτόνητον παρεδίδετο «ἡ παρακαταθήκη» ἢ «ὁ ἅγιος ἄρτος» (Βατοπ. 134) ἢ «μερὶς ἐκ τῶν θείων ἄρτων» (Ἀθηνῶν 781, Βησσ. - Κρυπτ.), «εἷς ἄρτος» (Βαρβερ. 336, Σινᾶ 956) ἢ ἁπλῶς «ἄρτος» (Κοισλ. 213). Αἱ διατάξεις τῶν χειρογράφων δὲν εἶναι ἀπολύτως σαφεῖς. Εἰς μεταγενεστέρους πάντως χρόνους προκειμένου νὰ τελεσθῇ χειροτονία πρεσβυτέρου ἐξήγοντο κατὰ τὴν πρόθεσιν δύο ἀμνοὶ καὶ τὸν δεύτερον τούτων ἐλάμβανεν εἰς τὰς χεῖρας ὁ χειροτονηθείς. Τοῦτο ρητῶς μαρτυρεῖ ὁ Συμεών· «καὶ προηγουμένως ἐν τῇ προθέσει ἄρτος δεύτερος ἐν τῇ προσκομιδῇ προσκομίζεται, ὡς ἂν τοῦτον δέξηται ταῖς χερσὶ χειροτονηθείς... καὶ λαβὼν τὸν δεύτερον ἡγιασμένον τέλειον ἄρτον τῇ δεξιᾷ ὁ ἀρχιερεὺς δίδωσι...» (Διάλογος..., κεφ. ΡΟΘ΄. ΡΠΒ΄). Ἀνάλογόν τι ἀναγράφεται καὶ εἰς τὸν κώδικα Βατοπεδίου 134 («...τὸν ἅγιον ἄρτον, ὃν ὡς παρακαταθήκην προσεκόμισεν

ἐν τῇ προθέσει ὁ ἱερεὺς καὶ δίδωσι...»), ὑπονοεῖται δὲ καὶ ὑπὸ τῶν διατάξεων ἐνίων κωδίκων, κατὰ τὰς ἐνδείξεις τῶν ὁποίων ὑπῆρχον πλείονες τοῦ ἑνὸς ἄρτοι ἐν τῷ δισκαρίῳ («λαβὼν ἕνα ἄρτον»). Κατὰ τὸ Σλαβικὸν Εὐχολόγιον ὁ ἀρχιερεὺς ἀποσπᾷ καὶ ἐπιδίδει εἰς τὸν νεοχειροτόνητον τὸ τμῆμα ΙΣ τοῦ ἁγίου ἄρτου. Ἴσως τοιοῦτόν τι ὑπονοεῖται καὶ ὑπὸ τοῦ κώδικος Ἀθηνῶν 781 («μερίδα ἐκ τῶν θείων ἄρτων»).

Ἡ ἐπίδοσις ἐγίνετο, ὡς φαίνεται, κατ' ἀρχὰς ἐν σιγῇ (Ἀθηνῶν 781, Βαρβερ. 336, Κοισλ. 213, Βησσ. - Κρυπτ.). Βαθμηδὸν ὅμως εἰσήχθη προσφώνησίς τις ἐλευθέρως γινομένη, ὑπογραμμίζουσα τὴν σημασίαν τῆς πράξεως. Οἱ πλεῖστοι νεώτεροι κώδικες περιέχουν τὴν γνωστὴν («Λάβε τὴν παρακαταθήκην...») μέ τινας παραλλαγάς. Εἰς τὸν κώδικα Διονυσίου 489 παρουσιάζεται ὑπὸ ἱκανῶς διάφορον μορφήν· «Πρόσεχε τὴν παρακαταθήκην ταύτην, ἣν μέλλεις ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ παρουσίᾳ, μὴ ἐπιδώσῃς ταύτην αἱρετικοῦ ἢ νεκροῦ ἢ διὰ δώρων ἢ διὰ φόβου ἢ δι' ἀπειλῶν, ἀλλ' οὖν ὡς τὰς κόρας τῶν ἀδολεύτων σου ὀφθαλμῶν οὕτως πρόσεξαι».

Ὁ ἱερεύς, λαβὼν τὸν ἄρτον ἐπὶ τῶν σταυροειδῶς τεθειμένων παλαμῶν «εἰς τὴν τοῦ θείου πάθους ἔνδειξιν» (Διάλογος..., κεφ. ΡΠΒ'), ἀπεσύρετο καί, θέτων τὰς χεῖρας ἐπὶ τῆς ἁγίας τραπέζης, ἐκλίνετο ἔχων τὸ μέτωπον καὶ τοὺς ὀφθαλμοὺς ἢ τὴν κεφαλὴν ἐπ' αὐτοῦ, εὐχόμενος καθ' ἑαυτὸν καὶ λέγων τὸ «Κύριε, ἐλέησον» ἢ τὸ «Ἐλέησόν με, ὁ Θεός», πιθανῶς ὁλόκληρον τὸν ν' ψαλμόν, ὡς ρητῶς τὸ Σλαβωνικὸν Εὐχολόγιον διαγορεύει. Τὸν ἅγιον ἄρτον ἐπέστρεφε κατὰ τὴν ὕψωσιν.

Τὴν ἔννοιαν τῆς παραδόσεως τῆς παρακαταθήκης διατυποῖ ἄριστα ὁ Συμεών· «τοῦτο φρίκης ἁπάσης μεστόν· δείκνυσι γάρ, ὡς οἰκονόμος τῶν τοῦ Θεοῦ μυστηρίων γίνεται καὶ οὐκ ἄλλον, ἀλλὰ τὸν Ἰησοῦν τὸν ζῶντα ἄρτον λαμβάνει ἱερουργεῖν καὶ τὴν ἱερωσύνην αὐτοῦ καὶ αὐτὸν ὡς παρακαταθήκην πιστεύεται καὶ ὀφείλει τηρεῖν ταῦτα, τὴν ἱερωσύνην

τε καὶ ἑαυτόν, ἀμώμητα, ὅτι παρ' αὐτοῦ ἀπαιτηθήσονται τοῦ Κυρίου» (Διάλογος..., ἔνθ' ἀνωτ.).

Ὡς πρὸ τῆς χειροτονίας ὁ ὑποψήφιος πρεσβύτερος κατεῖχε τὰ πρωτεῖα μεταξὺ τῶν ὁμοιοβάθμων αὐτῷ διακόνων, οὕτω μετὰ τὴν χειροτονίαν κατέχει καὶ πάλιν τιμητικῶς τὰ πρωτεῖα μεταξὺ τῶν συμπρεσβυτέρων αὐτοῦ. Διὰ τοῦτο πρὸ μὲν τῆς παραδόσεως τῆς παρακαταθήκης ἵσταται κατὰ τὸ δεξιὸν μέρος τῆς ἁγίας τραπέζης ἀναγινώσκων τὸ εἰλητάριον τῆς θείας λειτουργίας, μετὰ δὲ τὴν παράδοσιν τοῦ ἁγίου ἄρτου πρῶτος αὐτὸς ἐκοινώνει τῶν μυστηρίων ἐκ τῆς χειρὸς τοῦ χειροτονήσαντος, μετέδιδε τοῦ τιμίου αἵματος, «λάμβάνων τὸ ποτήριον ἐκ τοῦ πατριάρχου», καὶ εἰς τοὺς κοινωνοῦντας «ἐν τῷ ἱερατείῳ» (Ἀθηνῶν 781, Κοισλ. 213, Βησσ. - Κρυπτ.), μετέδιδε τὴν θείαν κοινωνίαν εἰς τὸν λαὸν (Διονυσ. 489) καὶ τέλος ἔλεγε καὶ τὴν ὀπισθάμβωνον εὐχήν. Κατὰ τὸν Κοισλιανὸν κώδικα 213 μετελάμβανε καὶ πρὸ τῶν ἐπισκόπων «εἰ συμβῇ ἐπισκόπους παρεῖναι».

Τέλος κατὰ τὸν κώδικα Διονυσίου 489 ὁ ἀρχιερεὺς «μετὰ τὴν ὕψωσιν καὶ τὸ κοινωνικὸν» ἤρχετο πρὸ τῶν ἁγίων Θυρῶν καὶ ἀπηύθυνε παραίνεσιν πρὸς τὸν πρὸ αὐτοῦ μετὰ τρικηρίου ἱστάμενον νεοχειροτόνητον. Ἡ προσφώνησις εἶναι κατὰ τὸ πλεῖστον εἰλημμένη ἐκ τοῦ εἰς τὸν Μέγαν Βασίλειον ἀποδιδομένου «Παραγγέλματος πρὸς ἱερέα», εὕρηται δὲ καὶ εἰς τὸν κώδικα Τιμίου Σταυροῦ 134 (593) ὑπὸ τὸν τίτλον «Διδασκαλία περὶ καταστήσεως ἱερέων καὶ περὶ τοῦ μὴ καταφρονεῖν τῆς ἱερᾶς λειτουργίας». Ἐν αὐτῇ συνοπτικῶς ἐκτίθενται τὰ καθήκοντα τοῦ ἱερέως καὶ ἰδίᾳ αἱ ἔναντι τῆς θείας λατρείας καὶ μάλιστα τοῦ μυστηρίου τῆς θείας εὐχαριστίας ὑποχρεώσεις αὐτοῦ. Ταύτην παραθέτομεν ἐν τῷ παραρτήματι (ὑπ' ἀριθμ. 3).

Κατά τινας κώδικας (Ἀθηνῶν 781, 877, S. 473) καὶ κατὰ τὸν Συμεὼν ὁ νέος ἱερεὺς ἐλειτούργει συνεχῶς ἐπὶ ἑπτὰ ἡμέρας «ἵνα καὶ πρὸς τὸ ἔργον εἰς ἔθος ἔλθῃ» καὶ «διὰ τὴν τιμὴν τῶν χαρισμάτων τοῦ Πνεύματος» καὶ ἵνα μὴ διακοπή τις τοῦ θείου ἔργου γένηται τῇ ἑβδομά-

δι τῶν ἡμερῶν, ἥτις δηλοῖ τὴν παροῦσαν ἑβδοματικῶς διερχομένην ἡμῶν ζωήν, ἐν ᾗ πάσῃ τὸ ἔργον τοῦ Θεοῦ ἀδιαλείπτως ποιεῖν ὀφείλομεν· ἐν γὰρ τῷ μέλλοντι μία ἔσται καὶ ἀδιάδοχος ἡ ἡμέρα καὶ τοῦ θείου ἔργου τελετὴ μία καὶ ἀκατάπαυστος» (Διάλογος..., κεφ. ΡΟϚʹ. ΡΠΔʹ).

*Π.* = *Πρεσβύτεροι*
*Πρ.* = *Πρωτοπαπᾶς*
* = *Ἀλλαγὴ στίχου (ἐπὶ ἐμμέτρου κειμένου)*

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙᾼ ΠΡΕΣΒΥΤΕΡΟΥ

### ΠΡΟΣΑΓΩΓΗ

**Μετὰ τὸ πληρωθῆναι τὸν χερουβικὸν ὕμνον, ἵσταται ἐν τῷ σολέᾳ ὁ μέλλων χειροτονεῖσθαι πρεσβύτερος καὶ ἐξερχόμενοι δύο διάκονοι λαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου μέρους καὶ φέρουσιν αὐτὸν ἄχρι τῶν ἁγίων θυρῶν· ἐκεῖ δὲ ἀπολύουσιν αὐτὸν οἱ διάκονοι καὶ λαμβάνουσιν αὐτὸν δύο πρεσβύτεροι, ὁ πρῶτος καὶ ὁ δεύτερος.**

**Καὶ τοῦ ἀρχιερέως ἱσταμένου πρὸ τῆς ὡραίας πύλης, ἐκφωνεῖ ὁ πρῶτος τῶν ἱερέων·**

Κέλευσον.

**Καὶ ὁ δεύτερος·**

Κελεύσατε.

**Καὶ πάλιν ὁ πρῶτος·**

Κέλευσον, δέσποτα ἅγιε, τὸν νῦν προσφερόμενόν σοι.

**Καὶ ὁ ἀρχιερεὺς ὑποδέχεται αὐτὸν καὶ σφραγίζων τρὶς τὴν κεφαλὴν αὐτοῦ, λέγει·**

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος (γ').

### ΙΕΡΟΣ ΧΟΡΟΣ

**Καὶ εἰσάγουσιν αὐτὸν οἱ πρεσβύτεροι εἰς τὸ θυσιαστήριον καὶ κυκλοῦσι τὴν ἁγίαν τράπεζαν ἀπὸ τῶν δεξιῶν πρὸς τὰ ἀριστερά, ψάλλοντες εἰς ἕκαστον γύρον ἓν τῶν κάτωθι τροπαρίων·**

**Ἦχος βαρὺς**

Ἅγιοι μάρτυρες* οἱ καλῶς ἀθλήσαντες* καὶ

στεφανωθέντες,* πρεσβεύσατε πρὸς Κύριον* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἕτερον. Ἦχος ὁ αὐτὸς**

Δόξα σοι, Χριστὲ ὁ Θεός,* ἀποστόλων καύχημα,* μαρτύρων ἀγαλλίαμα,* ὧν τὸ κήρυγμα* Τριὰς ἡ ὁμοούσιος.

**Ἕτερον. Ἦχος πλ. α'**

Ἡσαΐα, χόρευε,* ἡ παρθένος* ἔσχεν ἐν γαστρὶ* καὶ ἔτεκεν υἱὸν* τὸν Ἐμμανουήλ,* Θεόν τε καὶ ἄνθρωπον,* Ἀνατολὴ ὄνομα αὐτῷ·* ὃν μεγαλύνοντες,* τὴν παρθένον μακαρίζομεν.

**Ἰστέον ὅτι, ὅταν ψάλλωσι τὰ τροπάρια κάθηται ἔμπροσθεν τῆς ἁγίας τραπέζης ὁ ἀρχιερεὺς εἰς θρονίον μικρὸν καὶ ἐκεῖ ὅπου κυκλοῦσι γύρωθεν, ἀσπάζεται ὁ χειροτονούμενος τὰ τέσσαρα κέρατα τῆς ἁγίας τραπέζης· καὶ ὅταν ἔρχωνται πρὸ τοῦ ἀρχιερέως ποιοῦσι μετάνοιαν καὶ ἀσπάζεται ὁ χειροτονούμενος τὴν χεῖρα καὶ τὸ ἐπιγονάτιον αὐτοῦ· μετὰ δὲ τὴν τρίτην περιφορὰν ἐξέρχονται τοῦ βήματος καὶ ἀσπάζεται ὁ χειροτονούμενος τὰς ἁγίας εἰκόνας κατὰ τάξιν.**

## ΧΕΙΡΟΤΟΝΙΑ

**Εἶτα ἀνιστάμενος ὁ ἀρχιερεύς, ἵσταται ἐπὶ τῆς κρηπῖδος καὶ προσέρχεται ὁ χειροτονούμενος καὶ ἵσταται κατὰ τὸ δεξιὸν τοῦ ἀρχιερέως μέρος καὶ θέτει τὰς χεῖρας ἐπὶ τῆς ἁγίας τραπέζης σταυροειδῶς καὶ ἐρείσας τὸ μέτωπον τῇ ἁγίᾳ τραπέζῃ κλίνει ἀμφότερα τὰ γόνατα ἐπὶ τῆς κρηπῖδος· καὶ ἐκφωνεῖ ὁ ἀρχιδιάκονος·**

Πρόσχωμεν.

**Ὁ δὲ ἀρχιερεὺς θέτει τὸ ἄκρον τοῦ ὠμοφορίου καὶ τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονουμένου καὶ ἐκφωνεῖ εἰς ἐπήκοον πάντων·**

Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται (τὸν δεῖνα) τὸν εὐλαβέστατον διάκονον εἰς πρεσβύτερον. Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.

**Καὶ λέγουσι τὸ** Κύριε, ἐλέησον **τρὶς οἱ ἐντὸς τοῦ βήματος, ὁμοίως καὶ οἱ ψάλται.**

**Πάλιν οὖν ὁ ἀρχιερεὺς τὴν χεῖρα ἔχων ἐπικειμένην, τοῦ διακόνου εἰπόντος** Τοῦ Κυρίου δεηθῶμεν **καὶ πάντων ἀποκριθέντων τὸ** Κύριε, ἐλέησον, **ἐπεύχεται οὕτως·**

Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀτελεύτητος, ὁ πάσης κτίσεως πρεσβύτατος ὑπάρχων, ὁ τῇ προσηγορίᾳ τοῦ πρεσβυτέρου τιμήσας τοὺς ἐν τῷ βαθμῷ τούτῳ ἀξιωθέντας ἱερουργεῖν τὸν λόγον τῆς σῆς ἀληθείας· αὐτός, δέσποτα τῶν ἁπάντων, καὶ τοῦτον, ὃν εὐδόκησας προχειρισθῆναι παρ' ἐμοῦ, ἐν ἀμέμπτῳ πολιτείᾳ καὶ ἀκλινεῖ τῇ πίστει εὐδόκησον ὑποδέξασθαι τὴν μεγάλην ταύτην χάριν τοῦ ἁγίου σου Πνεύματος καὶ τέλειον ἀνάδειξον δοῦλόν σου, ἐν πᾶσιν εὐαρεστοῦντά σοι καὶ ἀξίως πολιτευόμενον τῆς δωρηθείσης αὐτῷ ὑπὸ τῆς σῆς προγνωστικῆς δυνάμεως μεγάλης ταύτης ἱερατικῆς τιμῆς. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Καὶ λέγουσι πάντες·** Ἀμήν.

**Εἶθ' οὕτω λέγει ὁ πρωτοπαπᾶς λεπτῇ τῇ φωνῇ, ὅσον ἀκούειν τοὺς συμπαρόντας πρεσβυτέρους καὶ ἀποκρίνεσθαι, τὰ διακονικὰ ταῦτα·**

Πρ. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Π. Κύριε, ἐλέησον.

Πρ. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Π. Κύριε, ἐλέησον.

Πρ. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν **(τοῦ δεῖνος)**, ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτοῦ καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Π. Κύριε, ἐλέησον.

Πρ. Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ **(τοῦ δεῖνος)**, τοῦ νυνὶ προχειριζομένου πρεσβυτέρου καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Π. Κύριε, ἐλέησον.

Πρ. Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν ἱερωσύνην χαρίσηται τοῦ Κυρίου δεηθῶμεν.

Π. Κύριε, ἐλέησον.

Πρ. Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Π. Κύριε, ἐλέησον.

Πρ. Ὑπὲρ τοῦ ῥυθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Π. Κύριε, ἐλέησον.

Πρ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Π. Κύριε, ἐλέησον.

Πρ. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Π. Σοί, Κύριε.

**Τούτων ῥηθέντων, ὁ ἀρχιερεὺς ἔχων ἔτι ἐπικειμένην τὴν χεῖρα τῇ τοῦ χειροτονουμένου κεφαλῇ, καὶ τοῦ διακόνου εἰπόντος** Τοῦ Κυρίου δεηθῶμεν **καὶ πάντων ἀποκριθέντων τὸ** Κύριε, ἐλέησον, **ἐπεύχεται καὶ αὖθις οὕτως·**

Ὁ Θεός, ὁ μέγας ἐν δυνάμει καὶ ἀνεξιχνίαστος ἐν συνέσει, ὁ θαυμαστὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων· αὐτός, Κύριε, καὶ τοῦτον, ὃν εὐδόκησας τὸν τοῦ πρεσβυτέρου ὑπεισελθεῖν βαθμόν, πλήρωσον τῆς τοῦ ἁγίου σου Πνεύματος δωρεᾶς, ἵνα γένηται ἄξιος παρεστάναι ἀμέμπτως τῷ θυσιαστηρίῳ σου, κηρύσσειν τὸ εὐαγγέλιον τῆς βασιλείας σου, ἱερουργεῖν τὸν λόγον τῆς ἀληθείας σου, προσφέρειν σοι δῶρα καὶ θυσίας πνευματικάς, ἀνακαινίζειν τὸν λαόν σου διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας· ὅπως καὶ αὐτὸς ὑπαντήσας ἐν τῇ δευτέρᾳ ἐπιδημίᾳ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, δέξηται τὸν μισθὸν τῆς ἀγαθῆς οἰκονομίας τοῦ οἰκείου τάγματος ἐν τῷ πλήθει τῆς ἀγαθότητός σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν

αἰώνων.

**Καὶ πάντες λέγουσιν·** Ἀμήν.

ΕΝΔΥΣΙΣ

**Καὶ μετὰ τὸ Ἀμὴν ἀνίστησιν αὐτὸν ὁ ἀρχιερεὺς καὶ φέρει τὸ ὄπισθεν τοῦ ὀραρίου αὐτοῦ ἐπὶ τὸ ἔμπροσθεν τοῦ δεξιοῦ μέρους (ἢ περιτίθησιν αὐτῷ ἐπιτραχήλιον) λέγων·**

Ἄξιος.

**Καὶ ψάλλουσι τοῦτο οἱ τοῦ βήματος τρὶς καὶ οἱ ψάλται τρίς.**

**Εἶτα περιτίθησιν αὐτῷ τὴν ζώνην λέγων·**

Ἄξιος.

**Καὶ ψάλλουσιν αὐτὸ τρὶς οἱ τοῦ βήματος καὶ οἱ ψάλται.**

**Εἶτα ἐνδύων αὐτὸν τὸ φελόνιον ἐκφωνεῖ καὶ αὖθις·**

Ἄξιος.

**Καὶ ψάλλουσιν αὐτὸ ὁμοίως οἱ τοῦ βήματος καὶ οἱ ψάλται.**

ΑΣΠΑΣΜΟΣ - ΕΓΚΑΘΙΔΡΥΣΙΣ

**Καὶ οὕτως ἀσπάζεται ὁ χειροτονηθεὶς τὸν ἀρχιερέα καὶ τοὺς πρεσβυτέρους· καὶ ἀπερχόμενος ἵσταται εἰς τὸ δεξιὸν μέρος τῆς ἁγίας τραπέζης μετὰ τῶν λοιπῶν πρεσβυτέρων, ἀναγινώσκων τὸ κοντάκιον τῆς θείας λειτουργίας.**

**Καὶ ὁ διάκονος ἵσταται εἰς τὸν συνήθη τόπον λέγων τὸ** Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ **καὶ τὰ λοιπά.**

**Ὅτε δὲ τελειωθῶσι τὰ ἅγια καὶ μέλλει εἰπεῖν τὸ** Ἐν πρώτοις μνήσθητι, Κύριε, **προσέρχεται ὁ χειροτονηθεὶς πρεσβύτερος καὶ ἐπιδίδωσιν αὐτῷ ὁ ἀρχιερεὺς τὸν ἅγιον ἄρτον, λέγων πρὸς αὐτὸν οὕτως·**

Λάβε τὴν παρακαταθήκην ταύτην καὶ φύλαξον

αὐτὴν ἕως τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτε παρ' αὐτοῦ μέλλεις ἀπαιτεῖσθαι αὐτήν.

**Ὁ δὲ λαβὼν καὶ ἀσπασάμενος τὴν χεῖρα τοῦ ἀρχιερέως, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, τὰς μὲν χεῖρας θεὶς ἐπάνω τῆς ἁγίας τραπέζης τὴν δὲ κεφαλὴν ἔχων ἐπικειμένην ταῖς χερσὶν καὶ εὐχόμενος καθ' ἑαυτὸν καὶ λέγων τὸ** Ἐλέησόν με, ὁ Θεός.

**Ὅτε δὲ μέλλει εἰπεῖν ὁ ἀρχιερεὺς** Τὰ ἅγια τοῖς ἁγίοις, **ὁ χειροτονηθεὶς πρεσβύτερος ἀποδίδωσι τῷ ἀρχιερεῖ τὸν ἅγιον ἄρτον καὶ παρ' αὐτοῦ μεταλαμβάνει τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ πρὸ τῶν λοιπῶν πρεσβυτέρων. Λέγει δὲ αὐτὸς καὶ τὴν ὀπισθάμβωνον εὐχήν.**

# ΠΑΡΑΡΤΗΜΑ

## 1. ΕΥΧΟΛΟΓΙΟΝ ΣΕΡΑΠΙΩΝΟΣ ΘΜΟΥΕΩΣ

### Χειροθεσία καταστάσεως πρεσβυτέρων (εὐχὴ ΙΓ´)

Τὴν χεῖρα ἐκτείνομεν, δέσποτα Θεὲ τῶν οὐρανῶν, Πάτερ τοῦ μονογενοῦς σου, ἐπὶ τὸν ἄνθρωπον τοῦτον καὶ δεόμεθα, ἵνα τὸ Πνεῦμα τῆς ἀληθείας ἐπιδημήσῃ αὐτῷ· φρόνησιν αὐτῷ χάρισαι καὶ γνῶσιν καὶ καρδίαν ἀγαθήν· γενέσθω ἐν αὐτῷ πνεῦμα θεῖον πρὸς τὸ δύνασθαι αὐτὸν οἰκονομῆσαι τὸν λαόν σου καὶ πρεσβεύειν τὰ θεῖά σου λόγια καὶ καταλλάξαι τὸν λαόν σου σοὶ τῷ ἀγενήτῳ Θεῷ· ὁ χαρισάμενος ἀπὸ τοῦ πνεύματος τοῦ Μωσέως ἐπὶ τοὺς ἐκλελεγμένους πνεῦμα ἅγιον, μέρισον καὶ τῷδε Πνεῦμα ἅγιον ἐκ τοῦ πνεύματος τοῦ μονογενοῦς εἰς χάριν σοφίας καὶ γνώσεως καὶ πίστεως ὀρθῆς, ἵνα δυνηθῇ σοι ὑπηρετῆσαι ἐν καθαρᾷ συνειδήσει διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

## 2. ΑΠΟΣΤΟΛΙΚΑΙ ΔΙΑΤΑΓΑΙ

### Περὶ χειροτονίας πρεσβυτέρων διάταξις ( Η´, 16)

Πρεσβύτερον χειροτονῶν, ὦ ἐπίσκοπε, τὴν χεῖρα ἐπὶ τῆς κεφαλῆς ἐπιτίθει αὐτός, τοῦ πρεσβυτερίου παρεστῶτός σοι καὶ τῶν διακόνων, καὶ εὐχόμενος λέγε·

Κύριε παντοκράτορ ὁ Θεὸς ἡμῶν, ὁ διὰ Χριστοῦ τὰ πάντα δημιουργήσας καὶ δι' αὐτοῦ τῶν ὅλων προνοῶν καταλλήλως· ᾧ γὰρ δύναμις διάφορα ποιῆσαι, τούτῳ δύναμις καὶ διαφόρως προνοῆσαι· διὰ γὰρ αὐτοῦ, ὁ Θεός,

προνοεῖς, τῶν μὲν ἀθανάτων φυλακῇ μόνῃ, τῶν δὲ θνητῶν διαδοχῇ, τῆς ψυχῆς φροντίδι νόμων, τοῦ σώματος ἀναπληρώσει τῆς ἐνδείας· αὐτὸς οὖν καὶ νῦν ἐπίβλεψον ἐπὶ τὴν ἁγίαν σου Ἐκκλησίαν καὶ αὔξησον αὐτὴν καὶ πλήθυνον τοὺς ἐν αὐτῇ προεστῶτας καὶ δὸς δύναμιν πρὸς τό κοπιᾶν αὐτοὺς λόγῳ καὶ ἔργῳ εἰς οἰκοδομὴν τοῦ λαοῦ σου. Αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τοῦτον, τὸν ψήφῳ καὶ κρίσει τοῦ κλήρου παντὸς εἰς πρεσβυτέριον ἐπιδοθέντα, καὶ ἔμπλησον αὐτὸν πνεῦμα χάριτος καὶ συμβουλίας, τοῦ ἀντιλαμβάνεσθαι καὶ κυβερνᾶν τὸν λαόν σου ἐν καθαρᾷ καρδίᾳ, ὃν τρόπον ἐπεῖδες ἐπὶ λαὸν ἐκλογῆς σου καὶ προσέταξας Μωυσεῖ αἱρήσασθαι πρεσβυτέρους, οὓς ἐνέπλησας πνεύματος. Καὶ νῦν, Κύριε, παράσχου, ἀνελλιπὲς τηρῶν ἐν ἡμῖν τὸ πνεῦμα τῆς χάριτός σου, ὅπως πλησθεὶς ἐνεργημάτων ἰατικῶν καὶ λόγου διδακτικοῦ ἐν πρᾳότητι παιδεύῃ σου τὸν λαὸν καὶ δουλεύῃ σοι εἰλικρινῶς ἐν καθαρᾷ διανοίᾳ καὶ ψυχῇ θελούσῃ καὶ τὰς ὑπὲρ τοῦ λαοῦ ἱερουργίας ἀμώμους ἐκτελῇ διὰ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

## 3. ΚΩΔΙΞ Μ. ΔΙΟΝΥΣΙΟΥ 489

### **Παραίνεσις χειροτονήσαντος ἐπισκόπου πρὸς νεοχειροτόνητον πρεσβύτερον**

Πρόσεχε σεαυτόν, ὦ πρεσβύτερε, καὶ βλέπε τὴν διακονίαν ἣν παρέλαβες, ἣν ἀρτίως ἐδέξω, ἵνα αὐτὴν πληροῖς. Βλέπε, ὦ ἱερεῦ· οὐ γὰρ ἐπίγειον διακονίαν ἐνεχειρίσθης, ἀλλ' οὐράνιον· οὐκ ἀνθρώπων, ἀλλ' ἀγγέλων. «Σπούδασον σεαυτὸν παραστῆσαι ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας». Μηδέποτε στῇς εἰς σύναξιν ἔχων ἔχθραν κατά τινος, ἵνα μὴ φυγαδεύσῃς τὸν Παράκλητον. Ἐν ἡμέρᾳ συνάξεως μὴ δικάζου, μηδὲ φιλονείκει τὸ σύνολον, ἀλλὰ κρυπτόμενος· ἐν τῇ ἐκκλησίᾳ

προσεύχου καὶ ἀναγίνωσκε μέχρι τῆς ὥρας ἐν ᾗ δεῖ σε τελέσαι τὴν θείαν μυσταγωγίαν καὶ οὕτω παράστηθι ἐν κατανύξει καὶ καθαρᾷ καρδίᾳ τῷ ἁγίῳ θυσιαστηρίῳ, μὴ περιβλέπων ὧδε κἀκεῖσε, ἀλλὰ φόβῳ φρικτῷ παριστάμενος τῷ ἐπουρανίῳ βασιλεῖ. Μηδὲ πρὸς θεραπείαν ἀνθρωπίνην ἐπισπεύσῃς τὰς εὐχὰς ἢ συντάμῃς, μηδὲ λάβῃς πρόσωπον ἀνθρώπου, ἀλλ' ὅρα πρὸς μόνον τὸν προκείμενον βασιλέα καὶ τὰς παρεστώσας δυνάμεις κύκλοθεν. Ἄξιον σεαυτὸν ποίησον τῶν ἱερῶν κανόνων καὶ μὴ συλλειτούργει οἷς ἐκεῖνοι ἀπαγορεύουσιν. Βλέπε τίνι παρέστηκας· πῶς ἱερουργεῖς καὶ τίσι μεταδίδως. Πρόσεχε μὴ ἐπιλάθῃς τῆς δεσποτικῆς φωνῆς καὶ τῆς τῶν ἁγίων ἀποστόλων παραδόσεως· «Μὴ δότε» γάρ φησι «τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας μὴ βάλετε ἔμπροσθεν τῶν χοίρων». «Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας». Ὅρα μὴ πτοηθῇς ἄνθρωπον εἰς πτῶσίν σου, μηδὲ ἐντραπῇς τινα τῶν ἐνδόξων τῆς γῆς, μηδὲ αὐτὸν τὸν τὸ διάδημα περικείμενον ἐν τῇ ὥρᾳ ἐκείνῃ. Τοῖς δὲ τῆς μεταλήψεως ἀξίοις μεταδίδου δωρεάν, ὡς καὶ αὐτὸς ἔλαβες. Οἷς δὲ οἱ θεῖοι κανόνες οὐκ ἐπιτρέπουσι, μὴ μεταδίδου, ὅτι ὡς ἐθνικοὶ ἐλογίσθησαν· καὶ ἐὰν μὴ ἐπιστρέψωσι, καὶ αὐτοῖς οὐαὶ καὶ τοῖς μεταδίδουσιν αὐτοῖς. Ὅρα, ἐγὼ πρᾶγμα οὐκ ἔχω· σὺ ὄψῃ. Μὴ ἐξ ἀμελείας τῆς σῆς μῦς ἢ ἄλλο τι ἅψητε τῶν θείων μυστηρίων, μηδὲ νοτισθῶσιν ἢ καπνισθῶσιν ἢ χειρισθῶσιν ὑπὸ ἀνιέρων καὶ ἀναξίων. Ταῦτα καὶ τὰ τούτοις ὅμοια φυλάσσων «σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου» καὶ τῆς μακαρίας καὶ ἀνολέθρου χαρᾶς ἀπολαύσῃ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

# ΤΑΞΙϹ
# ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΘΕΜΕΛΙΩ,
# ΕΚΚΛΗϹΙΑϹ

# ΕΙΣΑΓΩΓΗ

Τὸ παρὸν τεῦχος ἀποβλέπει εἰς τὴν ἀποκατάστασιν τῆς εἰς ἀχρησίαν παρ' ἡμῖν περιπεσούσης παλαιᾶς εἰδικῆς ἀκολουθίας «ἐπὶ θεμελίῳ ἐκκλησίας», ἡ ὁποία εἰς τὰς νεωτέρας ἐκδόσεις τῶν λειτουργικῶν βιβλίων ὑποκατεστάθη διὰ τῆς ἀκολουθίας τοῦ μικροῦ ἁγιασμοῦ (βλ. Μικρὸν Εὐχολόγιον, ἔκδ. Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ἀθῆναι 1956, σελ. 323-328: «Ἀκολουθία ἐπὶ θεμελιώσει ἐκκλησίας»). Ἡ εἰδικὴ αὕτη ἀκολουθία, παντελῶς ἄσχετος πρὸς τὴν ἀκολουθίαν τοῦ ἁγιασμοῦ, εὕρηται εἰς τὰ χειρόγραφα καὶ εἰς αὐτὰ τὰ ἔντυπα Εὐχολόγια ὑπὸ διπλῆν μορφήν, ἤτοι ὡς «Τάξις γινομένη ἐπὶ θεμελίῳ ἐκκλησίας» καὶ ὡς «Εὐχὴ λεγομένη ἐπὶ θεμελίου ἐκκλησίας, ὅπερ καὶ σταυροπήγιόν τινες ὠνόμασαν» ἢ ἁπλούστερον «καὶ σταυροπηγίου». Καὶ αἱ δύο αὗται ἀκολουθίαι, παρὰ τὴν ἐν τῇ ἐκκλησιαστικῇ πράξει μεταγενεστέραν διαφοροποίησιν αὐτῶν, οὐ μόνον ἐξειλίχθησαν ἐκ κοινοῦ λειτουργικοῦ προτύπου, ἀλλὰ καὶ μέχρι τινὸς ἀπέβλεπον εἰς τὸν αὐτὸν λειτουργικὸν σκοπόν, τὴν εὐλογίαν δηλαδὴ τοῦ θεμελίου τοῦ ναοῦ ἐπὶ τῇ ἐνάρξει τῆς οἰκοδομῆς αὐτοῦ. Ἡ πῆξις δὲ εἰς τὰ θεμέλια τοῦ ναοῦ σταυροῦ («σταυροπήγιον»), εἰσελθοῦσα κατ' ἀρχὰς ὡς στοιχεῖον κοινὸν πρὸς ἔνδειξιν καθιερώσεως τοῦ χώρου τοῦ μέλλοντος νὰ ἀνεγερθῇ ναοῦ, παρέμεινεν ὡς πρᾶξις προσιδιάζουσα εἰς τὴν θεμελίωσιν πατριαρχικῶν ναῶν καὶ μονῶν. Οὕτως ὁ Θεόδωρος Βαλσαμὼν καὶ ὁ Ματθαῖος Βλάσταρις ὁμιλοῦν περὶ τῆς θεμελιώσεως ναοῦ γινομένης δι' εὐχῆς καὶ πήξεως σταυροῦ εἰς τὰ θεμέλια: «Ἡ μὲν πῆξις τοῦ θεμελίου δι' εὐχῆς μόνης τοῦ κατὰ χώραν ἐπισκόπου καὶ σταυροπηγίου γίνεται» (*Θεοδώρου Βαλσαμῶνος*, Ὑπόμνημα εἰς τὸν ζ' κανόνα τῆς Ζ' Οἰκουμ. Συνόδου, *Ράλλη καὶ Ποτλῆ*, Σύνταγμα θείων καὶ ἱερῶν κανόνων, τ. 2, Ἀθῆναι 1852, σελ. 582) καὶ «Πρῶτον μὲν δι' εὐχῆς καὶ σταυροπηγίου τοῦ κατὰ χώ-

ραν ἐπισκόπου ὁ τούτου (τοῦ ναοῦ) θεμέλιος πήγνυται» (*Ματθαίου Βλαστάρεως*, Στοιχεῖον Ε, κεφ. ΙΒ', ἔνθ' ἀνωτ., τ. 6, Ἀθῆναι 1859, σελ. 262). Ἀλλὰ καὶ εἰς ὅσα χειρόγραφα ἀπαντᾷ ἡ ἀκολουθία εἰς σταυροπήγιον δὲν γίνεται διάκρισις αὐτῆς καὶ τῆς ἐπὶ θεμελίῳ ἐκκλησίας εὐχῆς ἢ τοὐλάχιστον οὐδαμοῦ γίνεται λόγος περὶ τῆς πήξεως τοῦ σταυροῦ ὡς προσιδιαζούσης εἰς πατριαρχικοὺς μόνον ναοὺς (πρβλ. κώδ. Βατοπεδίου 133 (744), Καρακάλλου 151, Κωνσταμονίτου 19 (20), Μ. Λαύρας Ι 21, Παρισίων Coisl. 213, Σινᾶ 968. 980). Ἐν πάσῃ ὅμως περιπτώσει εἰς τὰ ἔντυπα Εὐχολόγια σαφῶς διακρίνονται αἱ δύο ἀκολουθίαι, ἡ δευτέρα δὲ διαμορφωθεῖσα εἰς ἴδιον τύπον ἐπιφυλάσσεται εἰς τὴν θεμελίωσιν τῶν πατριαρχικῶν ναῶν καὶ μονῶν, τελουμένη κατ' ἐξουσιοδότησιν τοῦ πατριάρχου ὑπὸ τοῦ ἐξάρχου αὐτοῦ ἢ τοῦ κατὰ τόπον ἀρχιερέως (*J. Goar*, Εὐχολόγιον sive Rituale Graecorum, Venetiis 1730², σελ. 487-488).

Ἡ ἀκολουθία εἰς θεμελίωσιν ναοῦ ἀπαντᾷ εἰς ἱκανὸν ἀριθμὸν χειρογράφων, ἤδη ἀπὸ τοῦ Η' αἰῶνος (κῶδ. Βαρβερινὸς 336), μέχρι καὶ τῶν ἐντύπων. Πλήρης περιγραφὴ αὐτῆς παρέχεται ὑπὸ τοῦ *Συμεὼν Θεσσαλονίκης*, ἐν τῷ «Διαλόγῳ» αὐτοῦ, κεφ. ΡΑ' (*J. Migne* PG 155, 305-309).

Φέρεται ὑπὸ διαφόρους παραπλησίους τίτλους, ἤτοι ὡς «Εὐχὴ ἐπὶ θεμελίου (ἢ θεμελίῳ) ἐκκλησίας» (Πάτμου 105, Σινᾶ 956, 960, 984 κ.ἄ.), «Εὐχὴ εἰς οἰκοδομίαν ἐκκλησίας» (Σινᾶ 961), «Εὐχὴ ἐπὶ θεμελίου τιθεμένης ἐκκλησίας» (Σινᾶ 973), «Εὐχὴ εἰς θεμέλιον ναοῦ» (Σινᾶ 972, 988), «Εὐχὴ ἐπὶ θεμελίων ἐκκλησίας» (Μ. Λαύρας 21 (91)), «Εὐχὴ ἐν τῷ μέλλειν κτίζεσθαι σεβάσμιον οἶκον» (Σινᾶ 971), «Εὐχὴ ἐν τῷ μέλλειν κτίζεσθαι σεβάσμιον οἶκον τοῦ θεμελίου ἀποτιθεμένου» (Σινᾶ 981), «Τάξις ἐπὶ θεμελιώσεως ἐκκλησίας» (Διονυσίου 489) ἢ «Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας καὶ (ἐπὶ) σταυροπηγίου» (Βατοπ. 133 (744), Καρακάλ. 151, Κωνσταμ. 19 (20), Σινᾶ 986) κ.τ.τ.

Κατὰ τὴν ἱστορικὴν αὐτῆς ἐξέλιξιν ἡ ἀκολουθία εἰς

θεμέλιον ναοῦ, ὡς ἐκ τῶν χειρογράφων καὶ τῶν ἐντύπων δυνάμεθα νὰ συναγάγωμεν, διῆλθε τρία βασικὰ στάδια.

α΄. Ἡ ἀκολουθία ἀπετελεῖτο ἐκ μιᾶς καὶ μόνης εὐχῆς. Οὐδεμία τυπικὴ διάταξις προτάσσεται αὐτῆς. Ὁ προορισμὸς αὐτῆς προσδιορίζεται ὑπὸ τοῦ ἐπιτιθεμένου τίτλου, ὁ ὁποῖος ἐνίοτε ἀναπτυσσόμενος καθορίζει ἐν μέρει καὶ τὰ τελεστέα (πρβλ. «Εὐχὴ ἐπὶ θεμελίου τιθεμένης ἐκκλησίας», «Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας καὶ σταυροπηγίου», «Εὐχὴ ἐν τῷ μέλλειν κτίζεσθαι σεβάσμιον οἶκον τοῦ θεμελίου ἀποτιθεμένου»). Κατά τι ἀνεπτυγμένη παρουσιάζεται ἡ ἀκολουθία εἰς δύο κώδικας, τὸν Σινᾶ 973 καὶ Μ. Λαύρας 189. Κατὰ τὸν πρῶτον ὁ ἱερεὺς πρὸ τῆς ἀναγνώσεως τῆς εὐχῆς «θυμιᾷ τὰς δ΄ γωνίας τοῦ κτίσματος». Κατὰ τὸν δεύτερον ὁ ἱερεὺς «φοραίνει καὶ θυμιᾷ σταυροειδῶς καὶ λέγει τὴν συναπτήν, εἶτα ἐκφώνησις· Ὅτι πρέπει. Τοῦ Κυρίου δεηθῶμεν» καὶ ἕπεται ἡ εὐχή. Οἱ δύο οὗτοι κώδικες μαρτυροῦν μεταβατικόν τι στάδιον μεταξὺ τῆς ἀρχικῆς μορφῆς καὶ τῆς δευτέρας φάσεως τῆς ἀκολουθίας.

Ὡς εὐχὴ συνηθέστερον ἀπαντᾷ ἡ «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ...» (Βαρβερινὸς 336, Ἀρχ. Ἀντωνίνου 1, Βατοπ. 133 (744), Κωνσταμ. 19 (20), Μ. Λαύρας 189, Παρισίων Coisl. 213, τ. Σταυροῦ Κ/λεως 8 (182), Σινᾶ 956, 958, 960, 961, 971, 973, 981 κ.ἄ.). Σπανίως ἡ εὐχὴ «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλόμενος...» (Ἀρχ. Ἀντωνίνου 2, Βατοπ. 133 (744), 134 (745), Μ. Λαύρας Ι 21, Παρισ. Coisl. 213, Σινᾶ 968). Ἔτι δὲ σπανιώτερον ἡ εὐχὴ «Ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν Ζακχαίου εἰσελθεῖν...» (Μ. Λαύρας Ι 21, Σινᾶ 968). Εἴς τινας κώδικας ἀπαντοῦν δύο εὐχαί, τῆς δευτέρας χαρακτηριζομένης ὡς «εὐχῆς ἑτέρας» ἢ τῆς μιᾶς ἐξ αὐτῶν τιτλοφορουμένης ὡς εὐχῆς «ἐπὶ θεμελίῳ ἐκκλησίας καὶ σταυροπηγίῳ» (Βατοπ. 133 (744), Μ. Λαύρας Ι 21, Παρισ. Coisl. 213, Σινᾶ 968). Ἡ διάκρισις μεταξὺ θεμελίου ναοῦ καὶ σταυροπηγίου δὲν εἶναι σαφής.

β΄. Ὑπὸ ἐξειλιγμένην μορφὴν παρουσιάζεται ἡ ἀκο-

λουθία εἰς τὰ νεώτερα χειρόγραφα καὶ τὰ ἔντυπα. Αὕτη περιλαμβάνει σύντομον τυπικὴν διάταξιν, τὴν εὐλογίαν τῆς ἐνάρξεως, τρισάγιον κλπ., θυμίασιν, ἀπολυτίκιον τοῦ ἁγίου τοῦ ἀνεγειρομένου ναοῦ καὶ ἕτερα τροπάρια «οἷα βούλεται ὁ προεστώς», τὴν εὐχὴν «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς...», τὴν ἀπόλυσιν καὶ τὴν εὐλογίαν καὶ κατάθεσιν τοῦ θεμελίου λίθου, ἐπιλεγομένου τοῦ στίχου «Ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος...» (*J. Goar*, Εὐχολόγιον, σελ. 485. Εὐχολόγιον τὸ Μέγα, ἔκδ. *Μ. Σαλιβέρου - Ν. Παπαδοπούλου*, Ἀθῆναι 1927, σελ. 247-248).

Εἰς τὸ Ἀλλατιανὸν Εὐχολόγιον εὕρηται παρομοία ἀκολουθία, φέρουσα τὸν τίτλον «Εὐχὴ λεγομένη ἐπὶ θεμελίῳ ἐκκλησίας, ὅπερ καὶ σταυροπήγιόν τινες ὠνόμασαν» (*J. Goar*, Εὐχολόγιον, σελ. 485-486). Αὕτη συνδυάζει τὴν ἀνωτέρω περιγραφεῖσαν ἀκολουθίαν πρὸς τὴν τοῦ σταυροπηγίου. Μετὰ τὸ «Εὐλογητὸς ὁ Θεός...», τὸ τρισάγιον καὶ τὸ ἀπολυτίκιον τοῦ ἁγίου, ἕπεται τὸ «Εἰρήνη πᾶσι» καὶ ἡ εὐχὴ «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθείς...». Ρίπτονται ὑπὸ τοῦ ἱερέως τρεῖς λίθοι εἰς τὰ θεμέλια «εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος», ἐπακολουθεῖ δευτέρα εὐχή, «Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας...», καὶ ἡ ἀπόλυσις. Ἀκολούθως ὁ ἀρχιερεὺς λαμβάνει ξύλινον σταυρὸν καὶ «πήγνυσιν αὐτὸν μέσον τοῦ κτιζομένου ναοῦ». Ἡ ἀκολουθία αὕτη ἀποτελεῖ τὴν μεταβατικὴν μορφὴν μεταξὺ τῆς ἀνωτέρω περιγραφείσης καὶ τῆς ἰδιαιτέρας ἀκολουθίας τοῦ σταυροπηγίου ἀφ' ἑνὸς καὶ τῆς ὑπὸ τοῦ Συμεὼν μαρτυρουμένης πλήρως ἀνεπτυγμένης μορφῆς ἀφ' ἑτέρου. Αἱ εὐχαὶ εἶναι πλέον δύο καὶ ἡ κατάθεσις τοῦ θεμελίου λίθου τάσσεται ἐντὸς τῶν πλαισίων τῆς ἀκολουθίας, ἀποτελοῦσα αὐτὸ τὸ κεντρικὸν αὐτῆς σημεῖον.

γ΄. Τὴν ἀκολουθίαν εἰς θεμέλιον ναοῦ εὑρίσκομεν εἰς τὴν πλήρη αὐτῆς διαμόρφωσιν παρὰ τῷ Συμεὼν Θεσσαλονίκης. Παρ' αὐτῷ αὕτη διακρίνεται πλέον σαφῶς τῆς τοῦ σταυροπηγίου, περιλαμβάνει πάντα τὰ συνιστῶντα τὸν τύπον τῶν βυζαντινῶν ἀκολουθιῶν στοιχεῖα, τὰ ὁποῖα σπορα-

δικῶς ἤδη συνηντήσαμεν εἰς τὰ χειρόγραφα, ἤτοι εὐλογίαν ἐνάρξεως, τρισάγιον κλπ., θυμίασιν, δύο εὐχὰς καὶ ἀπόλυσιν. Ἡ εὐλογία καὶ κατάθεσις τοῦ θεμελίου τίθεται εἰς τὸ κέντρον τῆς ἀκολουθίας μεταξὺ τῶν δύο εὐχῶν, ὡς εἰς τὸ Ἀλλατιανὸν Εὐχολόγιον, συνδυάζεται δὲ πρὸς τὴν ἀφὴν καὶ τοποθέτησιν ἐν τοῖς θεμελίοις καὶ λυχνίας, σημαινούσης «διὰ μὲν τοῦ ἐλαίου τὸν ἔλεον τοῦ Θεοῦ, ὃς ἔσται χορηγούμενος διὰ τοῦ ἀνεγειρομένου οἴκου, διὰ δὲ τοῦ φωτὸς τὸν ἄνωθεν φωτισμὸν παρὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ... καὶ ὅτι τὸ φῶς, ὁ Χριστός, μεθ' ἡμῶν ἔσται καὶ ἐν τῷ οἴκῳ κατοικῶν, ἡ ἐξ ὕψους ἀνατολή» (ἔνθ' ἀνωτ.).

Ἡ κατωτέρω ἐπιχειρουμένη ἀποκατάστασις στηρίζεται ἐπὶ τῆς τρίτης ταύτης φάσεως τῆς ἐξελίξεως τῆς ἀκολουθίας, βασιζομένη κατ' ἀρχὴν ἐπὶ τῆς περιγραφῆς τοῦ Συμεών, ἐκ τῆς ὁποίας καὶ σταχυολογοῦνται αἱ πλεῖσται τῶν τυπικῶν διατάξεων. Ἐκ τῶν χειρογράφων λαμβάνονται τὰ μὴ ρητῶς ὑπὸ τοῦ Συμεὼν μαρτυρούμενα στοιχεῖα, ἐκ τῶν ἐντύπων δὲ Εὐχολογίων αἱ εὐχαί. Ἐπεξηγήσεις τινὲς παρέχονται κατωτέρω, ἀφορῶσαι εἰς τὴν ἐκ τῆς χειρογράφου λειτουργικῆς παραδόσεως κατοχύρωσιν τῶν ἑκάστοτε προκρινομένων λύσεων, ὡς καὶ εἰς τὸν ὑπομνηματισμὸν τῶν τελουμένων.

«Π α ρ α γ ί ν ε τ α ι ὁ ἀ ρ χ ι ε ρ ε ύ ς...». Κατὰ τὸν Βαλσαμῶνα, τὸν Βλάσταριν, τὸν Συμεὼν Θεσσαλονίκης, τὸ Ἀλλατιανὸν Εὐχολόγιον καὶ τὰ ἔντυπα, τὴν ἀκολουθίαν εἰς θεμέλιον ναοῦ τελεῖ ὁ ἀρχιερεύς· κατὰ τοὺς κώδικας Λαύρας 189 καὶ Σινᾶ 973, ὁ ἱερεύς.

«Β ά λ λ ε ι ἐ π ι τ ρ α χ ή λ ι ο ν κ α ὶ τ ὸ ὠ μ ο φ ό ρ ι ο ν α ὐ τ ο ῦ», κατὰ τὰ ἔντυπα. Κατὰ τὸν Συμεὼν ὁ ἀρχιερεὺς ἐνδύεται «ἱερὰν στολήν». Κατὰ τὸ Ἀλλατιανὸν «φοραίνει φελώνιον ἢ καὶ πολλάκις ἐπιτραχήλιον». Ὁ κῶδιξ Λαύρας 189 σημειοῖ ἁπλῶς «φοραίνει (ὁ ἱερεύς)». Τὰ λοιπὰ χειρόγραφα δὲν ἀναφέρουν τι περὶ αὐτοῦ.

Ἡ διὰ τοῦ «Ε ὐ λ ο γ η τ ὸ ς ὁ Θ ε ό ς...» κ α ὶ τ ο ῦ τ ρ ι σ α γ ί ο υ κλπ. ἔναρξις τῆς ἀκολουθίας μαρτυρεῖται

ὑπὸ τοῦ Συμεών, τοῦ Ἀλλατιανοῦ Εὐχολογίου καὶ τῶν ἐντύπων. Τὸ τρισάγιον κλπ. ἐλέγοντο, κατὰ τὸν Συμεών, ὑπὸ «τοῦ κλήρου».

Ἡ θυμίασις μαρτυρεῖται ὑπὸ τῶν ἐντύπων, τῶν κωδίκων Λαύρας 189 καὶ Σινᾶ 973 καὶ τοῦ Συμεών. Κατὰ τὸν Λαύρας 189 ὁ ἱερεὺς «θυμιᾷ σταυροειδῶς», κατὰ τὸν Σινᾶ 973 «θυμιᾷ τὰς δ' γωνίας τοῦ κτίσματος», κατὰ τὰ ἔντυπα ὁ ἀρχιερεὺς «θυμιᾷ τοὺς θεμελίους κύκλῳ». Παρὰ τῷ Συμεὼν ἡ θυμίασις παρουσιάζεται περισσότερον ἀνεπτυγμένη, ὡς εἰς τὰς εἰς τὸ κείμενον παρεμβαλλομένας διατάξεις προσδιορίζεται.

Μετὰ τὸ τρισάγιον καὶ κατὰ τὴν θυμίασιν ψάλλεται τὸ ἀπολυτίκιον τοῦ ἁγίου, ἐπ' ὀνόματι τοῦ ὁποίου τιμᾶται ὁ μέλλων νὰ ἀνεγερθῇ ναὸς (Ἀλλατιανὸν Εὐχολόγιον). Κατὰ τὰ ἔντυπα Εὐχολόγια ψάλλονται καὶ ἕτερα τροπάρια «οἷα βούλεται ὁ προεστώς». Εἰς τὴν κατωτέρω δημοσιευομένην τάξιν ἐγένετο ἐπιλογὴ τριῶν καταλλήλων τροπαρίων ἐκ τῆς ἀκολουθίας τῶν ἐγκαινίων, ἤτοι τοῦ «Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως...» τοῦ ψαλλομένου κατὰ τὴν δευτέραν περὶ τὸν ναὸν λιτανείαν, τοῦ «Ὁ ἐπὶ τῶν κόλπων...» τοῦ ψαλλομένου εἰς τὸ «Καὶ νῦν...» τῶν αἴνων μὲ ἐλαφρὰν διασκευὴν εἰς τὴν τελευταίαν λέξιν: «ἀνεγειρομένῳ» ἀντὶ «ἀνεγηγερμένῳ», καὶ τοῦ «Ἔθου πύργον ἰσχύος...» τοῦ ψαλλομένου ὡς τρίτου στιχηροῦ τοῦ ἑσπερινοῦ. Ταῦτα ἐτέθησαν κατὰ τὴν σειρὰν τῶν ἤχων, κατὰ τὸν τύπον τῶν ἰδιομέλων τῆς λιτῆς, καὶ κατεκλείσθησαν διὰ τοῦ ἀπολυτικίου τοῦ ἁγίου τοῦ νέου ναοῦ εἰς τὸ «Δόξα Πατρί...» καὶ τοῦ ἀπολυτικίου τῶν ἐγκαινίων εἰς τὸ «Καὶ νῦν...».

Συναπτή. Περὶ τῆς πρὸ τῆς πρώτης εὐχῆς συναπτῆς μαρτυρεῖ ὁ κῶδιξ Λαύρας 189. Ποῖα τὰ εἰδικὰ αἰτήματα τῆς συναπτῆς ταύτης δὲν γνωρίζομεν. Ἡ εἰς τὸ κείμενον παρεμβαλλομένη συνετάχθη ἐπὶ τῇ βάσει τῆς συναπτῆς τῶν ἐγκαινίων. Τὰ δύο πρῶτα αἰτήματα («Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης...» καὶ «Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου...») εἶναι τὰ κοινὰ αἰτήματα, τὰ ὁποῖα μόνα ἀπαντοῦν εἰς τὰς εἰδικὰς

συναπτὰς εἰς τὰς διαφόρους ἀκολουθίας κατὰ τὴν χειρόγραφον παράδοσιν. Αἱ ὑπὲρ τοῦ ἀρχιεπισκόπου καὶ τῶν συμπαρόντων αὐτῷ ἱερέων αἰτήσεις ἀποκατεστάθησαν κατὰ τὸν κώδικα Σινᾶ 959, διορθωθέντος τοῦ «διακοσύνης»(;) τοῦ κώδικος εἰς «διακονίας». Ἡ πέμπτη αἴτησις «Ὑπὲρ τοῦ ἁγιασθῆναι...» ἐλήφθη ἐκ τῆς ἀκολουθίας τῶν ἐγκαινίων, τροποποιηθέντος ἁρμοδίως τοῦ «ἁγιασθῆναι τὸν οἶκον τοῦτον καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον τῇ ἐπιφοιτήσει...» εἰς «ἁγιασθῆναι τὸν θεμέλιον τοῦ ἁγίου οἴκου τούτου τῇ ἐπιφοιτήσει...». Τὰ λοιπὰ εἶναι ἡ συνήθης κατακλεὶς τῶν συναπτῶν, προστεθέντος καὶ τοῦ μνημοσύνου τοῦ ἁγίου, πρὸς τιμὴν τοῦ ὁποίου κτίζεται ὁ ναός, κατὰ τὰς ὑπὸ τῶν κωδίκων Ἐθνικῆς Βιβλιοθήκης Ἀθηνῶν 662, 663, 754, 848, 2014 καὶ 2473 μαρτυρουμένας συναπτὰς τῶν ἐγκαινίων.

Ὡς π ρ ώ τ η ε ὐ χ ὴ ἐτέθη ἡ «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον αἷμα...» κατὰ τὴν ὑπὸ τοῦ Συμεὼν μαρτυρουμένην τάξιν. Ταύτην σαφῶς ὑπαινίσσεται ἡ φράσις αὐτοῦ: «... εὐχὴν ἱερὰν ποιεῖται, δεόμενος τοῦ Θεοῦ Λόγου Ἰησοῦ Χριστοῦ, τοῦ τὴν ἑαυτοῦ Ἐκκλησίαν τῷ ἰδίῳ θεμελιώσαντος αἵματι...» (πρβλ.: «ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλόμενος θεμέλιον τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ...»).

Ἡ τυπικὴ διάταξις π ε ρ ὶ τ ο π ο θ ε τ ή σ ε ω ς τ ῆ ς λ υ χ ν ί α ς καὶ τῆς κ α τ α θ έ σ ε ω ς τ ο ῦ θ ε μ ε λ ί ο υ κατηρτίσθη ἐπὶ τῇ βάσει τῆς περιγραφῆς τοῦ Συμεών.

Ο ἱ ψ α λ μ ι κ ο ὶ σ τ ί χ ο ι «Ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος» (Ψαλμ. πς´ 5β) καὶ «Ὁ Θεὸς ἐν μέσῳ... πρωΐ» (Ψαλμ. με´ 5) μαρτυροῦνται ὑπὸ τῶν ἐντύπων, ὑπαινίσσεται δὲ αὐτοὺς καὶ ὁ Συμεὼν («ὅτι τὸν Χριστόν, τὴν ἄσειστον πέτραν θεμέλιον τέθεικε»· πρβλ.: «ἐθεμελίωσεν... οὐ σαλευθήσεται»).

Ἡ εὐλογία «Ε ἰ ρ ή ν η π ᾶ σ ι», ἡ προτασσομένη τῆς δευτέρας εὐχῆς, ἀπαντᾷ εἰς τὸ Ἀλλατιανὸν Εὐχολόγιον πρὸ τῆς πρώτης εὐχῆς, ἥτις ὅμως ἐκεῖ εἶναι ἡ ὑπὸ τοῦ Συμεὼν μαρτυρουμένη ὡς δευτέρα. Οὕτως ἡ τάξις τῆς ἀκολουθίας ἐναρμονίζεται πρὸς τὸ σύνηθες σχῆμα τῶν βυζαντινῶν ἀκο-

λουθιῶν, αἱ ὁποῖαι, ὡς γνωστόν, ἀποτελοῦνται ἐκ δύο εὐχῶν, ἐκ τῶν ὁποίων ἡ δευτέρα εἶναι εὐχὴ κεφαλοκλισίας - ἀπολυτική. Οἱ ὑπαινιγμοὶ τοῦ Συμεὼν εἶναι ἐν προκειμένῳ σαφεῖς, ὅσον ἀφορᾷ εἰς τὴν εὐχὴν ταύτην· πρβλ.: «τοὺς θεμελίους αὐτοῦ καὶ αὐτὸν ἀσαλεύτους διὰ παντὸς διαμένειν, ἀνεπηρεάστους τε εἶναι τοὺς οἰκοδομοῦντας καὶ ἀβλαβεῖς ... τοὺς προσφέροντάς τε Θεῷ τὰ πρὸς οἰκοδομὴν τὸν μισθὸν πλουσίως παρ' αὐτοῦ λήψεσθαι» καὶ τῆς εὐχῆς: «καὶ τὰ θεμέλια αὐτοῦ ἀρραγῆ καὶ ἀσάλευτα διατήρησον ... καὶ τοὺς ὑπουργοῦντας ἐνίσχυσον ἀβλαβεῖς διαφυλάττων ... τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσκομίζοντας ἔπιδε ... ἐν πλήθει τῶν σῶν ἐπουρανίων ἀγαθῶν ἀντάμειψαι ...».

Εἰς τὸ Π α ρ ά ρ τ η μ α δημοσιεύονται τρεῖς συναφεῖς εὐχαὶ εἰς θεμέλιον ναοῦ ἢ σταυροπήγιον, ἐκ τῶν ὁποίων ἡ μὲν πρώτη ἀποτελεῖ διασκευὴν τῆς εἰς θεμέλιον οἴκου εὐχῆς, αἱ δὲ ἄλλαι δύο εἶναι ἐμφανῶς μεταγενέστεραι (*J. Goar*, Εὐχολόγιον, σελ. 485-488). Τέλος δημοσιεύεται καὶ ἡ ὑπὸ τοῦ Συμεὼν Θεσσαλονίκης παρεχομένη περιγραφὴ (*J. Migne* PG 115, 308).

*Α.* = *'Αρχιερεὺς*
*Δ.* = *Διάκονος*
*Λ.* = *Λαὸς*
* = *'Αλλαγὴ στίχου (ἐπὶ ἐμμέτρου κειμένου)*

## ΤΑΞΙΣ
## ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΘΕΜΕΛΙΩ
## ΕΚΚΛΗΣΙΑΣ

**Τῶν θεμελίων εὐτρεπισθέντων τοῦ μέλλοντος ἀνεγείρεσθαι ναοῦ, παραγίνεται ἐκεῖσε ὁ ἀρχιερεὺς καὶ βάλλει ἐπιτραχήλιον καὶ τὸ ὠμοφόριον αὐτοῦ.**

Δ. Εὐλόγησον, δέσποτα.

Α. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς (γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.* Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.* Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.* Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,* ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·* ἁγιασθήτω τὸ ὄνομά σου,* ἐλθέτω ἡ βασιλεία σου,* γενηθήτω τὸ θέλημά σου,* ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς

γῆς·* τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον* δὸς ἡμῖν σήμερον·* καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,* ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν* καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Α. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

### ΘΥΜΙΑΣΙΣ

**Α. Εὐλογήσας δὲ ὁ ἀρχιερεὺς τὸ θυμίαμα καὶ θυμιατήριον λαβών, θυμιᾷ τοὺς θεμελίους καὶ τὰ ὀρύγματα σταυροειδῶς καὶ πάσας τὰς ἐκεῖσε ὕλας καὶ τὰς τέσσαρας γωνίας τοῦ κτίσματος· εἶτα καὶ τοὺς παρατυχόντας θυμιάσας, ἔρχεται ἐπὶ τοῖς ἀνατολικοῖς θεμελίοις, ἔνθαπερ τὸ θυσιαστήριον πήγνυσθαι μέλλει, καὶ ἵσταται κατὰ μέσον τῶν τῆς ἀνατολῆς ὀρυγμάτων, ἔνθα τὸ τοῦ βήματος ἡμικύκλιον.**

**Λ. Ἐν τῷ θυμιᾶν τὸν ἀρχιερέα ψάλλει τὸ ἀπολυτίκιον τοῦ ἁγίου, εἰς οὗ τὸ ὄνομα ὁ ναὸς μέλλει ἀνεγείρεσθαι, ἐκ δὲ τῶν λοιπῶν τροπαρίων ὅσα βούλεται ὁ προεστώς.**

**Ἰδιόμελον. Ἦχος γ΄**

Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως* οἰκοδομήσας τὴν Ἐκκλησίαν σου,* Χριστὲ ὁ Θεός,* ἐν αὐτῇ κατεύθυνον τὰς ἱκεσίας ἡμῶν* καὶ πρόσδεξαι λαὸν ἐν πίστει βοῶντά σοι·* Σῶσον ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

**Ἕτερον. Ἦχος πλ. α΄**

Ὁ ἐπὶ τῶν κόλπων τῶν πατρικῶν* ἐπαναπαυόμενος, Λόγε,* τὸ Πνεῦμά σου τὸ ἅγιον* κατάπεμψον ἐν τῷ ναῷ* τῷ εἰς τὸ ὄνομά σου* ἀνεγειρομένῳ.

**Ἕτερον. Ἦχος πλ. β΄**

Ἔθου πύργον ἰσχύος* τὴν Ἐκκλησίαν σου, Χριστέ,* προαιώνιε Λόγε·* ἐθεμελίωσας γὰρ αὐτὴν* ἐπὶ πέτραν τῆς πίστεως,* διὸ ἀσάλευτος διαμένει εἰς τὸν αἰῶνα,* ἔχουσα σὲ τὸν δι' αὐτὴν ἐπ' ἐσχάτων* ἀτρέπτως γενόμενον ἄνθρωπον.* Εὐχαριστοῦντες οὖν,* ἀνυμνοῦμέν σε λέγοντες·* Σὺ εἶ ὁ πρὸ τῶν αἰώνων* καὶ ἐπ' αἰῶνα καὶ ἔτι* βασιλεὺς ἡμῶν. Δόξα σοι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**Τὸ ἀπολυτίκιον τοῦ ἁγίου τοῦ νέου ναοῦ**

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Ἦχος δ΄**

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν* καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα* τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου, Κύριε·* κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος* καὶ πρόσδεξαι ἡμῶν τὰς ἐν αὐτῷ ἀπαύστως* προσαγομένας σοι δεήσεις,* πρεσβείαις τῆς Θεοτόκου,* ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Δ. **Λέγει τὴν συναπτὴν**

'Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ 'Εκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν **(τοῦ δεῖνος)**, ἱερωσύνης, διακονίας, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῶν συμπαρόντων αὐτῷ ἱερέων, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν θεμέλιον τοῦ ἁγίου οἴκου τούτου τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. 'Αντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λ. Κύριε, ἐλέησον.

Δ. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρ-

θένου Μαρίας καὶ τοῦ ἁγίου **(τοῦ νέου ναοῦ)** μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λ. Σοί, Κύριε.

**Α. Ἐπεύχεται οὕτως·**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλόμενος θεμέλιον τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, δεόμεθά σου καὶ νῦν διὰ τῆς τεταπεινωμένης ἡμῶν δεήσεως ὑποβάλλειν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος τοῖς θεμελίοις τοῦ μέλλοντος ἀνοικοδομεῖσθαί σοι ἐν τούτῳ τῷ τόπῳ ναοῦ καὶ ἀπαρτίσαι καὶ τελειῶσαι καὶ σκήνωμα τοῦτον δεῖξαι τῆς δόξης σου· ὅπως οἱ ἐν αὐτῷ ψαλμοῖς καὶ ᾠδαῖς τὴν σὴν δοξολογοῦντες μεγαλωσύνην, ἀντιλαμβάνωσι τῆς παρὰ σοῦ χορηγίας τῶν ἀγαθῶν, τοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῦντος. Ἄμειψαι δὲ καὶ τοὺς τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσκομίζοντας ἔν τε τῇ οἰκοδομῇ αὐτοῦ καὶ τῇ λοιπῇ λατρείᾳ τῆς δόξης σου, καὶ τοὺς ἐν αὐτῷ ὑπηρετοῦντας τῇ ἐκπληρώσει τῶν κατὰ ψυχὴν καὶ σῶμα συμφερόντων αὐτῶν καὶ ἐν τῷ παρόντι ἀβλαβεῖς διατήρησον καὶ ἐν τῷ μέλλοντι τῆς σῆς καταξίωσον ἀπολαύσεως, ἵνα δοξάζηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Α. **Εἶθ' οὕτως λαμβάνει ὁ ἀρχιερεὺς ταῖς χερσὶ λίθους καὶ ἄσβεστον ἢ πηλὸν ὀργάνῳ τινί· καὶ κατελθὼν ἐν τοῖς θεμελίοις τίθησι τοὺς λίθους σταυροειδῶς, σφραγίσας αὐτούς. Κατὰ δὲ τὸ μέσον τῶν λίθων ἐν σμικρῷ τινι λάκκῳ, οἷον ἐν τάφῳ, κανδήλαν λαβὼν καὶ ἐμβαλὼν ἔλαιον καὶ ἀνάψας, εὐλογεῖ καὶ τίθησι, οἰκονομῶν τὴν φωταγωγὸν ἐκείνην ἀσφαλῶς μένειν.**

**Εἶτα λαβὼν ἕνα τῶν λίθων καὶ σταυρὸν ἐπ' αὐτοῦ χαράξας, αὐτὸς ταῖς ἰδίαις χερσὶ τίθησιν αὐτὸν ἐπάνω τῆς λυχνίας ἐν τῷ θεμελίῳ λέγων·**

Ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς
καὶ οὐ σαλευθήσεται.
Βοηθήσει αὐτῇ ὁ Θεὸς
τὸ πρὸς πρωῒ πρωΐ.

## ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Α. **Ἐξελθὼν τῶν θεμελίων λέγει·**

Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Δ. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Λ. Σοί, Κύριε.

Α. **Ἐπεύχεται τὴν εὐχὴν τῆς κεφαλοκλισίας·**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν, αὐτὸς τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσκομίζοντας ἔπιδε καὶ τοῦ πρὸς τὴν σὴν δοξολογίαν κτιζομένου οἴκου ἐν πλήθει τῶν σῶν ἐπουρανίων ἀγαθῶν ἀνταμει-

ψαι καὶ τοὺς ὑπουργοῦντας ἐνίσχυσον ἀβλαβεῖς διαφυλάττων· τὰ θεμέλια αὐτοῦ ἀρραγῆ καὶ ἀσάλευτα διατήρησον καὶ τέλειον ἀνάδειξον οἶκόν σου, ὡς ἂν καὶ ἐν αὐτῷ πανευφήμοις ᾠδαῖς καὶ δοξολογίαις ἀνυμνοῦμέν σε τὸν ἀληθινὸν Θεὸν ἡμῶν.

**(ἐκφώνως)** Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## ΑΠΟΛΥΣΙΣ

Α. Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Λ. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Κύριε, ἐλέησον (γ'). Εὐλόγησον.

Α. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης,

**(τοῦ ἁγίου τοῦ νέου ναοῦ)** καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Λ. Ἀμήν.

**Καὶ οὕτως οἱ τεχνῖται τῆς οἰκοδομῆς ἄρχονται.**

## ΠΑΡΑΡΤΗΜΑ

**1. Εὐχὴ λεγομένη ἐπὶ θεμελίῳ ἐκκλησίας, ὅπερ καὶ σταυροπήγιόν τινες ὠνόμασαν.**

Ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν Ζακχαίου εἰσελθεῖν καὶ σωτηρία αὐτῷ τε καὶ παντὶ τῷ οἴκῳ αὐτοῦ γενόμενος κατὰ τὴν σὴν ἄχραντον καὶ ἀθάνατον φωνήν, τὴν ὑπὸ τῶν εὐαγγελιστῶν τῇ οἰκουμένῃ ἀληθῶς κηρυχθεῖσαν· αὐτὸς καὶ νῦν τὸν παρόντα ἁγιαζόμενον οἶκον παρ' ἡμῶν τῶν ταπεινῶν καὶ ἁμαρτωλῶν τὰς δεήσεις προσαγόντων εὐλόγησον· ἀβλαβῆ καὶ ἀσινῆ αὐτὸν ποίησον διὰ τῶν σῶν ἀφθόνων δωρεῶν, ὅπως καὶ ἐν αὐτῷ δοξάζηται τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**2. Εὐχὴ ἐπὶ σταυροπηγίου.**

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ προτυπώσας τὴν ῥάβδον τοῦ Μωυσέως εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, αὐτὸς εὐλόγησον καὶ ἁγίασον τὸν τόπον τοῦτον τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ τιμίου καὶ ζωοποιοῦ καὶ ἀχράντου ξύλου τοῦ σταυροῦ, εἰς ἀποτροπὴν δαιμόνων καὶ παντὸς ἐναντίου, φυλάττων καὶ τὸν τόπον καὶ τὸν οἶκον τοῦτον καὶ τὰς ἐνοικούσας ψυχὰς τῶν ἐνταῦθα κατοικούντων, πρεσβείαις τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Ὅτι ηὐλόγηται καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**3. Εὐχὴ τοῦ σταυροπηγίου.**

Προσκυνοῦμέν σε Ἰησοῦ Χριστέ, ὁ τοῦ σταυροῦ τῇ δυ-

νάμει τὸν κόσμον καταφωτίσας καὶ τοὺς ἐν αὐτῷ πεπλανημένους διὰ τῆς δυνάμεως τοῦ σταυροῦ σου ἐπιστρέψας καὶ ἐξαγοράσας ἡμᾶς τῆς δουλείας τοῦ ὄφεως, ἧς κατεδούλωσε τὸν ἀρχέπλαστον ὁ μισόκαλος καὶ μισόθεος ἐχθρός· διὰ τοῦτο καὶ τῷ σῷ θελήματι σάρκα φορέσας, ἐκ τῆς παρθένου τεχθεὶς καὶ σταυρὸν ὑπομείνας καὶ πάντα τὰ ἔθνη ἀνακαλεσάμενος εἰς τὴν ἁγίαν σου Ἐκκλησίαν· ὁ διὰ σταυροῦ τὰς πύλας τοῦ Ἅδου ἀνοίξας καὶ τὸν ἐχθρὸν θανατώσας, ὁ διὰ τοῦ λουτροῦ παλιγγενεσίας πάντας ἡμᾶς ἀνακαινίσας τῇ δυνάμει τοῦ σταυροῦ σου. Διὸ καὶ τοῦτον εἰς τὸ ὄνομά σου πηχθέντα σταυρὸν εὐλόγησον, ἁγίασον, ὡς ἐπὶ τοῦ φοβεροῦ σου πάθους. Καὶ ὡς εἶπεν ὁ προφήτης, ὅτι ἡγίασται ξύλον, δι' οὗ γέγονε σωτηρία τῷ κόσμῳ καὶ βοήθεια τοῦ γένους τῶν ἀνθρώπων, καὶ πάντας τοὺς προστρέχοντας τῷ τύπῳ τοῦ σταυροῦ σου ὡς καρποὺς τελεσιουργήσας, φονοκτόνων δαιμόνων ἐφόδους ἀπόστρεψον, χηρῶν καὶ ὀρφανῶν βοηθὸς γενέσθαι εὐδόκησον· ὁ Θεὸς καὶ Πατὴρ καὶ φωστὴρ ἀδιάδοχος, ὁλοκλήρους εἰς τὴν ἁγίαν σου Ἐκκλησίαν καὶ εἰς τὴν δευτέραν σου παρουσίαν ἀνάδειξον αὐτούς, δυνάμει τοῦ τιμίου σου σταυροῦ. Ὅτι σοὶ τῷ Θεῷ ἡμῶν πρέπει δόξα σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**4. Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Διάλογος κατὰ πασῶν τῶν αἱρέσεων καὶ περὶ... τῶν ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς Ἐκκλησίας, κεφ. ΡΑ'. J. P. Migne, P.G. 155, 308.**

Καὶ τοῦ καιροῦ τοῦ οἰκοδομεῖν ἐπιστάντος, αὐτὸς τῷ τόπῳ ἐφίσταται ὁ ἀρχιερεύς. Καὶ ἱερὰν ἐνδυσάμενος στολήν, τοῦ κλήρου συμπαρόντος αὐτῷ, εὐλογεῖ τὸν Θεόν, εὐχαριστῶν τῷ θείῳ ἔργῳ. Καὶ προσευχῆς γινομένης τοῦ τρισαγίου παρὰ τοῦ κλήρου, αὐτὸς εὐλογήσας θυμίαμα, θυμιατήριόν τε λαβὼν τοὺς θεμελίους καὶ τὰ ὀρύγματα σταυροειδῶς εὐλογεῖ, πάντα τῷ θυμιάματι ἁγιάζων. Τὴν

χάριν γὰρ τυποῖ τοῦ Πνεύματος τὸ θυμίαμα καὶ ὁ σταυρὸς τὸν Χριστόν. Καὶ ἔτι πάσας θυμιᾷ τὰς ἐκεῖσε ὕλας, καθαγιάζων αὐτάς, ὡς εἰς ἅγιον οἶκον Θεοῦ εὐτρεπισθείσας. Εἶτα καὶ τοὺς παρατυχόντας θυμιάσας, καὶ πρὸς τὸ ἔργον εὐθύνας καὶ ἁγιάσας, ἔρχεται ἐν τοῖς ἀνατολικοῖς θεμελίοις, ἔνθαπερ τὸ θυσιαστήριον συστῆναι μέλλει. Καὶ κατὰ τὸ μέσον στὰς τῶν τῆς ἀνατολῆς ὀρυγμάτων, ἔνθα τὸ τοῦ βήματος ἡμικύκλιον, εὐχὴν ἱερὰν ποιεῖται, δεόμενος τοῦ Θεοῦ Λόγου Ἰησοῦ Χριστοῦ, τοῦ τὴν ἑαυτοῦ Ἐκκλησίαν τῷ ἰδίῳ θεμελιώσαντος αἵματι, καὶ τὸν οἰκοδομούμενον οἶκον αὐτῷ καλῶς ἐν αὐτῷ στηριχθῆναι καὶ διαμένειν. Εἶτα δοξολογήσας, αὐτὸς ταῖς χερσὶ λίθους λαμβάνει καὶ ἄσβεστον ἢ πηλὸν ὀργάνῳ τινί. Καὶ κατελθὼν ἐν τοῖς θεμελίοις, τίθησι τοὺς λίθους σταυροειδῶς, σφραγίσας αὐτούς, δεικνὺς ὅτι τὸν Χριστόν, τὴν ἄσειστον πέτραν, θεμέλιον τέθεικε. Κατὰ δὲ τὸ μέσον τῶν λίθων ἐν σμικρῷ τινι λάκκῳ, οἷον ἐν τάφῳ, κανδήλαν λαβών, καὶ ἐμβαλὼν ἔλαιον καὶ ἀνάψας, εὐλογῶν τε, τίθησι, δεικνὺς διὰ μὲν τοῦ ἐλαίου τὸν ἔλεον τοῦ Θεοῦ, ὃς ἔσται χορηγούμενος διὰ τοῦ ἀνεγειρομένου οἴκου, διὰ δὲ τοῦ φωτὸς τὸν ἄνωθεν φωτισμὸν παρὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ, καὶ αὐτὸ τὸ μόνον φῶς, τὸν Χριστόν, ἐν τάφῳ τεθέντα δι' ἡμᾶς καὶ ἐν ἐλαίῳ, ὅτι ἤλειψεν ἡμᾶς ἐλαίῳ τῆς χάριτος, καὶ ὅτι δι' ἐλαίου, ἤτοι τοῦ μύρου, ὁ οἶκος τελειωθήσεται· καὶ ὅτι τὸ φῶς, ὁ Χριστός, μεθ' ἡμῶν ἔσται, καὶ ἐν τῷ οἴκῳ κατοικῶν, ἡ ἐξ ὕψους ἀνατολή. Οἰκονομήσας δὲ καὶ τὴν φωταγωγὸν ἐκείνην ἀσφαλῶς μένειν διὰ τὸν ἱερὸν φωτισμόν, καὶ διὰ τὸ καλῶς εἰκονίζειν τὴν Ἐκκλησίαν, ὡς ὁ ἠγαπημένος ἐν τῇ Ἀποκαλύψει φησὶ μαθεῖν τὰς ἑπτὰ λυχνίας εἶναι τὰς Ἐκκλησίας, καὶ λίθον ἐπάνω ταύτης θέμενος, ὅτι Χριστὸς ἡ πέτρα ἐπικάθηται τῆς Ἐκκλησίας αὐτοῦ, ἐξέρχεται τῶν θεμελίων. Καὶ πάλιν ἑτέραν ποιεῖται εὐχήν, προνοίᾳ Θεοῦ καὶ σκέπῃ τὸν οἶκον ἐγείρεσθαι καὶ τελειωθῆναι καλῶς ἐξαιτούμενος, καὶ τοὺς θεμελίους αὐτοῦ καὶ αὐτὸν ἀσαλεύτους διαπαντὸς διαμένειν, ἀνεπηρεά-

στους τε εἶναι τοὺς οἰκοδομοῦντας καὶ ἀβλαβεῖς· τοῦτο δὲ λέγει, ὅτι φθονερὰ τὰ δαιμόνια καὶ ἐπὶ τούτοις τοῖς θείοις ἐπηρεαστικά· τοὺς προσφέροντάς τε Θεῷ τὰ πρὸς τὴν οἰκοδομὴν τὸν μισθὸν πλουσίως παρ' αὐτοῦ λήψεσθαι. Ταῦτα τελέσας καὶ σφραγίσας καὶ ἐπευξάμενος, ἀπέρχεται εὐχαριστῶν τῷ Κυρίῳ. Τὸ δὲ ἔργον ἤδη ἐνήρξατο γίνεσθαι.

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ
# ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ

# ΕΙΣΑΓΩΓΗ

Ἡ ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ εἶναι ἀπὸ τὰς συχνότερον χρησιμοποιουμένας ἀκολουθίας τοῦ βυζαντινοῦ Εὐχολογίου. Ἐκ τούτου ἐξηγεῖται ὁ μέγας ἀριθμὸς τῶν χειρογράφων, τὰ ὁποῖα τὴν περιέχουν. Ἐπειδὴ δὲ ἐτελεῖτο καὶ ἐντὸς τῶν ναῶν, ἀλλὰ καὶ ἐκτὸς αὐτῶν, εἰς ἀγρούς, οἰκίας, πλοῖα κλπ., δὲν περιέχεται μόνον εἰς τὰς ὀγκώδεις συλλογὰς εὐχῶν καὶ ἀκολουθιῶν, τὰ Εὐχολόγια, ἀλλὰ καὶ αὐτοτελῶς εἰς μικρὰ ἱερατικὰ ἐγκόλπια, τὰ ἐκ τῆς ἀκολουθίας αὐτῆς ὀνομασθέντα «Ἁγιασματάρια». Τὰ τελευταῖα ταῦτα βαθμηδὸν ἐπαυξανόμενα εἰς τὰ χειρόγραφα μὲ χρησίμους διὰ τοὺς ἱερεῖς εὐχάς, ἀναγινωσκομένας κατὰ περίστασιν μετὰ τῆς ἀκολουθίας τοῦ ἁγιασμοῦ, ἔφθασαν εἰς τὰ ἔντυπα νὰ ἀποτελέσουν μικρὰν συλλογὴν ἀκολουθιῶν, ἓν εἶδος ἐπιτομῆς τοῦ Εὐχολογίου. Οὕτω κατηρτίσθη τὸ «Μικρὸν Εὐχολόγιον», διατηρῆσαν παραλλήλως τὴν παλαιάν του ὀνομασίαν («Ἁγιασματάριον»), ἐν πολλοῖς δὲ προτάσσον τὴν ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ, ἐκ τῆς ὁποίας καὶ προῆλθε.

Εἶναι εὐνόητον ὅτι, λόγῳ τῶν πολλῶν ἀντιγραφῶν καὶ τῆς συχνῆς χρήσεως, ἡ ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ παρουσιάζει πλῆθος παραλλαγῶν καὶ ἀσυνήθως πολλὰς διαφόρους γραφὰς εἰς τὰ τροπάρια καὶ τὰς εὐχὰς ποὺ τὴν ἀπαρτίζουν.

Εἰς τὰ χειρόγραφα καὶ εἰς τὰ ἔντυπα Εὐχολόγια ἐπικρατεῖ ὁ χαρακτηρισμὸς αὐτῆς ὡς ἀκολουθίας «μικροῦ ἁγιασμοῦ». Διὰ τοῦ ἐπιθέτου «μικρὸς» αὕτη διακρίνεται ἀπὸ τὴν ἀκολουθίαν τοῦ «μεγάλου ἁγιασμοῦ» τῶν Θεοφανείων, ὀνομαζομένου οὕτω καὶ διὰ τὸ μῆκος καὶ διὰ τὴν ἰδιαιτέραν σπουδαιότητα καὶ ἐπισημότητα αὐτοῦ. Δὲν εἶναι εὔκολον νὰ ἐξακριβωθῇ ποία ἐκ τῶν δύο εἶναι ἡ παλαιοτέρα. Ἡ ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ εἶναι αὐτὴ ἡ ἀκολουθία τοῦ ἁγίου βαπτίσματος τροποποιημένη πως. Εἰς τὸ ἁγιαζόμενον ἄλλως

τε ὕδωρ κατὰ τὰ Θεοφάνεια εἶναι γνωστὸν ὅτι ἐβαπτίζοντο οἱ κατηχούμενοι. Ὑπὸ τὴν ἔννοιαν αὐτὴν ἡ ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ εἶναι τόσον παλαιά, ὅσον καὶ ἡ συνήθεια νὰ εὐλογῆται τὸ ὕδωρ κατὰ τὸ βάπτισμα. Ὡς εὐλογία, ἐξ ἄλλου, ὕδατος εἰς ἀνάμνησιν τοῦ βαπτίσματος τοῦ Κυρίου κατὰ τὰ Θεοφάνεια πάλιν εἶναι πολὺ παλαιά. Ἀλλὰ καὶ ἡ συνήθεια τῆς εὐλογίας ὕδατος δι' ἄλλους σκοπούς, ἀσχέτως πρὸς τὸ βάπτισμα τῶν κατηχουμένων καὶ τὴν ἀνάμνησιν τῆς βαπτίσεως τοῦ Κυρίου, εἶναι ἐξ ἴσου παλαιά. Ἤδη εἰς τὸ Εὐχολόγιον τοῦ Σεραπίωνος ἐπισκόπου Θμούεως (μέσα Δ' αἰῶνος) ἀπαντοῦν δύο εὐχαί, ἡ 5η καὶ ἡ 17η, λεγόμεναι «ἐπὶ προσφερομένων ἐλαίων καὶ ὑδάτων» ἡ πρώτη, καὶ «εἰς ἔλαιον νοσούντων ἢ εἰς ἄρτον ἢ εἰς ὕδωρ» ἡ δευτέρα. Καὶ αἱ δύο συνιστοῦν ἐπίκλησιν τοῦ ὀνόματος τοῦ Χριστοῦ (5) ἢ τοῦ Θεοῦ Πατρὸς (17) διὰ νὰ ἀποκτήσουν τὰ ὕδατα δύναμιν θεραπευτικὴν πάσης ἀσθενείας, ἀπελατικὴν παντὸς δαιμονίου καὶ εἰς ἄφεσιν ἁμαρτιῶν διὰ τοὺς πίνοντας ἢ ἀλειφομένους δι' αὐτῶν (βλέπε Παράρτημα Α', 1 καὶ 2). Αὐτὸν ἀκριβῶς τὸν χαρακτῆρα διατηρεῖ ἡ ἀκολουθία τοῦ ἁγιασμοῦ μέχρι σήμερον· τὸ αἴτημα τῆς εὐλογίας τῶν ἔργων τῶν χειρῶν τῶν ἀνθρώπων προσετέθη ἀργότερον.

Ὅτι διὰ τοῦ ἁγιασμοῦ ἐκχριστιανίζονται παλαιόταται ἰουδαϊκαὶ ἢ ἐθνικαὶ ἀνάλογοι πράξεις εἶναι ἐκτὸς πάσης ἀμφιβολίας. Ἤδη ὁ ἅγιος *Νικηφόρος πατριάρχης Κωνσταντινουπόλεως* (806-815) μαρτυρεῖ περὶ τῆς τελέσεως αὐτοῦ «καθ' ἑκάστην ἀρχὴν μηνός», χαρακτηρίζων μάλιστα τοῦτο ὡς παράδοσιν παραληφθεῖσαν «ἀπὸ τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν» καὶ διαστέλλων τὴν ἰουδαϊκὴν «νεομηνίαν» πρὸς τὸν «ἁγιασμὸν τῆς νεομηνίας» τοῦ «πιστοῦ λαοῦ», καίτοι ἀναγνωρίζει ὅτι «ἐκ τοῦ παλαιοῦ» ἔχει λάβει οὗτος «τὴν ὑπόθεσιν» (Κεφάλαια περὶ διαφόρων ὑποθέσεων α', *J. B. Pitra*, Juris ecclesiastici Graecorum historia et monumenta, τ. II, Romae 1868, σελ. 320). Ὁ *Βαλσαμὼν* ἐπίσης θεωρεῖ τὸν «καθ' ἑκάστην ἀρχιμηνίαν» γινόμενον ἁγιασμὸν ὡς ἀντικατάστασιν τῶν ἀντιστοίχων τελετῶν τῆς ἰουδαϊκῆς

νουμηνίας: «ἡ μὲν τῆς νουμηνίας ἑορτὴ πρὸ ἀμνημονεύτων χρόνων ἐσχόλασε καὶ ἀντὶ ταύτης, Θεοῦ χάριτι, ἱλαστήριοι εὐχαὶ πρὸς Θεὸν καὶ ἁγιασμοὶ ἐπ' ἐκκλησίας παρὰ τοῦ πιστοῦ λαοῦ γίνονται καθ' ἑκάστην ἀρχιμηνίαν καὶ ὕδασιν εὐλογίας οὐκ ἀντιλογίας χριόμεθα» (Σχόλιον εἰς τὸν ξε' κανόνα τῆς ἐν Τρούλλῳ Συνόδου). Πράγματι ἡ ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ χαρακτηρίζεται συχνάκις εἰς τὰ χειρόγραφα ὡς «ἁγιασμὸς τῆς νεομηνίας» (Παντελεήμονος 690, Ἁγ. Σάβα Ἱεροσολύμων 568), ἢ «εἰς τὰς ἀρχιμηνίας τῶν μηνῶν» (Μ. Λαύρας Ω 129, Σινᾶ 981), ἢ «τῶν ἀρχιμηνιῶν τῶν μηνῶν» (Ἀθηνῶν 851), ἢ «ἐν ἑκάστου μηνὸς ἀρχῇ» (Παντελ. 364), ἢ «κατὰ πᾶσαν ἀρχὴν μηνὸς» (Λαύρας 189), ἢ «γινόμενος κατὰ μῆνα» (Ἀθηνῶν 1910, 2724, Λαύρας 21, Θ 81. Σινᾶ 980).

Οὕτως ὁ ἁγιασμὸς ἐτελεῖτο κατὰ πᾶσαν πρώτην ἡμέραν ἑκάστου μηνός, ἐξαιρέσει τῶν μηνῶν Σεπτεμβρίου καὶ Ἰανουαρίου. Τοῦτο μαρτυρεῖται ὑπὸ τοῦ *Ψ. Κωδινοῦ* διὰ τὴν πρᾶξιν τοῦ παλατίου τῆς Κωνσταντινουπόλεως (Περὶ τῶν ὀφφικιαλίων, *J. Migne* PG 157, 93CD), ἴσχυε ὅμως, ὡς φαίνεται, γενικῶς, καθὼς δύναται νὰ συναχθῇ καὶ ἐκ τοῦ καὶ σήμερον ἀκόμη κρατοῦντος ἔθους. Δικαιολογεῖται δὲ ἡ μὴ τέλεσίς του, κατὰ μὲν τὴν 1ην Σεπτεμβρίου, διότι ἐπέκειτο ἡ ἑορτὴ τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ, συνδυαζομένη κατὰ παράδοσιν καὶ μὲ ἁγιασμὸν τῶν ὑδάτων (βλέπε Τυπικὸν Ἁγίας Σοφίας Θεσσαλονίκης, κῶδ. Ἀθηνῶν 2047, φ. 110 rβ), κατὰ τὴν δὲ 1ην Ἰανουαρίου λόγῳ τῆς ἑορτῆς τῶν Θεοφανείων καὶ τῆς κατ' αὐτὴν τελέσεως τοῦ μεγάλου ἁγιασμοῦ. Κατὰ τὸ μνημονευθὲν Τυπικόν, ἁγιασμὸς ἐτελεῖτο καὶ κατὰ τὴν 1ην Σεπτεμβρίου κατὰ τὴν λιτὴν τῆς Ἰνδίκτου (φ. 84 vβ)· τοῦτο ὅμως δὲν ἐγίνετο παλαιότερον εἰς τὴν Κωνσταντινούπολιν (βλ. *J. Mateos*, Le Typicon de la Grande Église, τ. 2, Roma 1963, σελ. 200-203).

Ἐκτὸς τῶν ἀρχιμηνιῶν ὁ μικρὸς ἁγιασμός, κατὰ τὰς μαρτυρίας πάλιν τῶν χειρογράφων, ἐτελεῖτο «κατὰ μῆνα Αὔγουστον» (Πάτμου 105) «καὶ εἰς τὴν ἑορτὴν τῆς Θεοτό-

κου» (Λαύρας 189) καὶ «ἐν ταῖς Κυριακαῖς καὶ ἑορταῖς» (Παρισίων Κοισλ. 213), κατ' ἐπέκτασιν δὲ καὶ κατὰ πᾶσαν ἄλλην ἡμέραν.

Ἡ ἀκολουθία τοῦ ἁγιασμοῦ ἀπετελεῖτο ἀρχικῶς ἀπὸ μίαν καὶ μόνην εὐχήν. Οὕτως ἀπαντᾷ εἰς τὸ Εὐχολόγιον τοῦ Σεραπίωνος, ὡς εἴδομεν. Αἱ δύο εὐχαὶ τοῦ Εὐχολογίου τούτου ἔχουν κατ' οὐσίαν τὸ αὐτὸ περιεχόμενον, ἡ δὲ ἀπόστασις ἡ ὁποία μεσολαβεῖ μεταξὺ αὐτῶν (ἡ α' εἶναι ἡ 5η καὶ ἡ β' ἡ 17η εὐχή), παρὰ τὴν ἀνάμιξιν τῶν κειμένων ἡ ὁποία παρατηρεῖται εἰς αὐτό, δὲν ἐπιτρέπουν τὴν ὑπόθεσιν ὅτι εἰς ἑκάστην περίπτωσιν εὐλογίας ὕδατος κλπ. ἐλέγοντο καὶ αἱ δύο εὐχαί. Μία εὐχὴ καθαγιασμοῦ ὕδατος μικροῦ ἁγιασμοῦ περιέχεται εἰς τὸ Βαρβερινὸν Εὐχολόγιον 336 τοῦ Η' αἰῶνος («Εὐχὴ ἐπὶ διακονίας, λεγομένη ἐν τῷ ἐμβάτῃ ἐκφωνητικῶς»), εἰς τὸν Βησσαριανὸν κώδικα τῆς Κρυπτοφέρρης («Εὐχὴ τοῦ κολυμβίου τῶν Βλαχερνῶν») καὶ εἰς τοὺς Σιναϊτικοὺς κώδικας 959 («εἰς κόλυμβον διακονίας, ἤγουν λούσματος»), 982 («ἐπὶ ὕδατος μεταλαμβανομένου ἐπὶ θεραπείας ἀρρώστου καὶ φυλακῆς οἴκου»), 987 («ἐπὶ ὕδατος ἀρρώστου») καὶ 971 διὰ παραπλησίαν χρῆσιν («εἰς κεκοινωμένον ὕδωρ»). Τὰ χειρόγραφα ταῦτα ἐγράφησαν ἀπὸ τοῦ ΙΑ' μέχρι τοῦ ΙΖ' αἰῶνος.

Ἤδη ὅμως εἰς κώδικας χρονολογουμένους ἀπὸ τοῦ ΙΑ' αἰῶνος ἀπαντᾷ συγκεκροτημένη ἀκολουθία μικροῦ ἁγιασμοῦ, εἰς τὴν ὁποίαν, παρὰ τὰς ποικιλίας τὰς ὁποίας παρουσιάζει εἰς τὴν χειρόγραφον παράδοσιν, δύναται νὰ ἀναγνωρισθῇ ἡ ἐν χρήσει σήμερον ἀκολουθία.

Οἱ παράγοντες, οἱ ὁποῖοι συνετέλεσαν εἰς τὴν διαμόρφωσιν αὐτῆς εἶναι ποικίλοι. Πρῶτον· ἡ ἀποδέσμευσις αὐτῆς ἀπὸ τῆς θείας λειτουργίας. Ἡ εὐχὴ τοῦ ἁγιασμοῦ τοῦ ὕδατος ἐλέγετο ἀρχικῶς κατὰ τὴν λειτουργίαν, ὡς φαίνεται ἐκ τοῦ Εὐχολογίου τοῦ Σεραπίωνος, ὅπου ἡ θέσις τῆς πρώτης εὐχῆς εἶναι μεταξὺ τῆς εὐχῆς τῆς εὐχαριστίας μετὰ τὴν κοινωνίαν καὶ πρὸ τῆς ἀπολύσεως («χειροθεσία μετὰ τὴν εὐλογίαν τοῦ ὕδατος καὶ τοῦ ἐλαίου» - εὐχὴ 6) καὶ ἀπὸ τὴν ἐπι-

γραφὴν τοῦ κώδικος Σινᾶ 959 «εὐχὴ τοῦ ἁγιασμοῦ τῆς λειτουργίας». Ἡ τέλεσις τοῦ ἁγιασμοῦ ἀνεξαρτήτως τῆς θείας λειτουργίας ἀσφαλῶς ἀπῄτει ἀνάπτυξίν τινα, προσθήκην δηλαδὴ εἰς αὐτὸν ὕμνων, συναπτῆς, ἀναγνωσμάτων, ἐκτενοῦς κτλ. Ἤδη ὅμως καὶ ἡ ὑπὸ ἱκανῶν κωδίκων μαρτυρουμένη τέλεσις αὐτοῦ μετὰ τὸ πέρας τοῦ ὄρθρου ἢ εἰς τὴν ἀρχὴν τῆς λειτουργίας (Λαύρας 21, Παρισ. Κοισλ. 213, Σινᾶ 980) ἔφερε τὴν ἀκολουθίαν τοῦ ἁγιασμοῦ ἐγγύτερον πρὸς τὰ καὶ ἐξ ἄλλων περιπτώσεων (βαπτίσματος, γάμου, εὐχελαίου) γνωστὰ σχήματα συνδέσεως ἀκολουθίας τινὸς πρὸς τὴν θείαν λειτουργίαν. Οὕτως ἐξηγοῦνται ὡρισμένα στοιχεῖα τῆς ἀκολουθίας τοῦ ἁγιασμοῦ, ὡς τὸ ὅτι ὁ ἱερεὺς κατ' αὐτὴν ἦτο «φορεμένος» (Πάτμου 105), ὅτι ἤρχιζε διὰ τοῦ «Εὐλογημένη ἡ βασιλεία...» (Πάτμου 105), ὅτι παρενεβλήθη εἰς αὐτὴν ἡ ἐκφώνησις «Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...» καὶ ὁ τρισάγιος ὕμνος, τὰ εἰρηνικά, τὰ ἀναγνώσματα καὶ ἡ ἐν τῷ τέλει ἐκτενής. Ἀκόμη καὶ τὰ ἐν ἀρχῇ κατ' ἀλφάβητον στιχηρὰ δύνανται νὰ θεωρηθοῦν ὡς ὑποκατάστατον τῶν ἀντιφώνων τῆς λειτουργίας. Κατὰ τὸν κώδικα Παρισ. Κοισλ. 213 «γίνεται (ὁ ἁγιασμὸς) μετὰ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ψαλλομένων τῶν ἀντιφώνων καὶ μετὰ τὸ τέλος τοῦ ἁγιασμοῦ γίνεται ἡ εἴσοδος καὶ ἀκολούθως τὰ ἐπίλοιπα τῆς θείας μυσταγωγίας».

Εἰς τὴν αὐτοτελῶς ἐξ ἄλλου τέλεσιν τῆς ἀκολουθίας τοῦ ἁγιασμοῦ ὀφείλεται ἡ προσπάθεια ἐξομοιώσεως αὐτῆς πρὸς ἐπιτομήν τινα ὄρθρου, κατὰ τὸν τύπον ποὺ ἐφηρμόσθη εἰς τὴν διαμόρφωσιν καὶ ἄλλων ἀκολουθιῶν, ὡς τῶν παρακλητικῶν κανόνων, τοῦ εὐχελαίου καὶ τῆς νεκρωσίμου καὶ ἐπιμνημοσύνου ἀκολουθίας. Οὕτω τὸ ἐν ἀρχῇ τρισάγιον, ὁ ρμβ' ψαλμὸς καὶ τὸ «Θεὸς Κύριος...» ἢ τὸ «Ἀλληλούϊα», ὁ ν' ψαλμὸς καὶ ἡ ᾠδὴ τῆς Θεοτόκου μετὰ τῶν κατ' ἀλφάβητον στιχηρῶν αὐτῶν παραλαμβάνονται ἀσφαλῶς ἐκ τοῦ μοναχικοῦ ὄρθρου.

Ἐπὶ τῆς ἀκολουθίας τοῦ μικροῦ ἁγιασμοῦ ἑπόμενον ἦτο νὰ ἐπιδράσῃ ἡ λαμπρὰ παράλληλος ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ τῶν Θεοφανείων. Ἐπειδὴ δὲ αὕτη κατὰ τὴν

καταβολὴν καὶ κατὰ τὴν ἐξέλιξιν αὐτῆς ὑπέστη τὴν ἐπίδρασιν τοῦ ἁγίου βαπτίσματος, εἰς τὸν μικρὸν ἁγιασμὸν παρατηροῦμεν ἐμμέσους ἐπιδράσεις καὶ ἐξ αὐτοῦ. Οὕτως ἡ εἴς τινας κώδικας ἀπαντῶσα ἐκφώνησις «Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων...», τὸ προκείμενον τοῦ Ἀποστόλου «Κύριος φωτισμός μου...», αἰτήσεις τινὲς εἰς τὰ εἰρηνικὰ («Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου», «Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς...»), ἡ κατά τινας κώδικας λεγομένη κατὰ τὰ εἰρηνικὰ εὐχὴ «Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μονογενὴς Υἱός...», φράσεις τινὲς τῶν καθαγιαστικῶν εὐχῶν («χιονοφεγγόφωτον φορέσαι στολὴν ἐξ ὕδατος καὶ Πνεύματος», «ὁ τὸ λουτρὸν τῆς παλλιγενεσίας»), ἡ εὐχὴ τῆς κεφαλοκλισίας «Κλῖνον, Κύριε τὸ οὖς σου...» καὶ ἡ βάπτισις τοῦ τιμίου σταυροῦ, παρενεβλήθησαν κατ' ἐπίδρασιν τῆς ἀκολουθίας τοῦ μεγάλου ἁγιασμοῦ ἢ τοῦ ἁγίου βαπτίσματος.

Ὁ μικρὸς ἁγιασμὸς ἐτελεῖτο, ὡς εἴδομεν, κατὰ τὰς ἑορτὰς τῆς Θεοτόκου καὶ κατὰ τὸν μῆνα Αὔγουστον, τὸν ἀφιερωμένον εἰς αὐτήν. Εὐχὴ ἐξ ἄλλου ἁγιασμοῦ ὕδατος ἐπιγράφεται «Εὐχὴ τοῦ κολυμβίου τῶν Βλαχερνῶν» καὶ εἰς τὸν κώδικα Παρισ. Κοισλ. 213 εὕρηται μακρὰ παράλληλος «ἀκολουθία καὶ τυπικὸν τοῦ ἁγίου λούσματος τῶν Βλαχερνῶν». Ὁ ἐν Βλαχέρναις ναὸς καὶ τὸ ἐν αὐτῷ ἁγίασμα ἦσαν ἀπὸ τὰ μεγαλύτερα θεομητορικὰ προσκυνήματα τῆς Κωνσταντινουπόλεως. Εἰς τροπάρια τοῦ ἁγιασμοῦ γίνεται ἐπανειλημμένως μνεία ναοῦ τῆς Θεοτόκου («Ὁ ναός σου, Θεοτόκε, ἀνεδείχθη ἰατρεῖον...», «Τίς προστρέχων τῷ ναῷ σου, Θεοτόκε...», «ἐν τῷ πανσέπτῳ ναῷ τῆς παρθένου σήμερον»). Εἴς τινας κώδικας ἀπαντᾷ καὶ εὐλογία εἰσόδου τοῦ ναοῦ τῆς Θεοτόκου («Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου διὰ τῆς τεκούσης σε Θεοτόκου...» Ἀθηνῶν 2724, Σινᾶ 980). Ἐξ ὅλων αὐτῶν τῶν ἐνδείξεων καθίσταται πολὺ πιθανὸν ὅτι διὰ τὴν διαμόρφωσιν τῆς ἀκολουθίας τοῦ μικροῦ ἁγιασμοῦ συνέβαλεν ἡ πανηγυρικὴ τέλεσις αὐτοῦ εἰς ναόν τινα τῆς Θεοτόκου ἐν Κωνσταντινουπόλει καὶ συγκεκριμένως εἰς τὸν ναὸν τῶν Βλα-

χερνῶν. Ἐκ τούτου παρενεβλήθησαν, πρὸ καὶ μετὰ τὸν καθαγιασμὸν τοῦ ὕδατος, τροπάρια θεομητορικά, ὡς τὰ εἰς τὸ «Θεὸς Κύριος...», τὰ κατ' ἀλφάβητον, ἄλλα μετ' αὐτά, τὸ ἀλληλουάριον, τὸ «Τῶν σῶν δωρεῶν...» καὶ ἄλλα κατὰ τὸν ραντισμόν. Οὕτως ὁ μικρὸς ἁγιασμὸς προσέλαβε χαρακτῆρα παρακλήσεως εἰς τὴν Θεοτόκον ἢ μικροῦ θεομητορικοῦ ὄρθρου.

Ἡ τέλεσις τοῦ ἁγιασμοῦ ἀφ' ἑνὸς μὲν κατὰ τὰς νεομηνίας, πρὸς εὐλογίαν τῆς διὰ τῆς ἡμέρας ταύτης ἀρχομένης νέας χρονικῆς περιόδου, καὶ κατὰ περιστάσεις πρὸς εὐλογίαν καὶ ἁγιασμὸν τῶν ἔργων τῶν χειρῶν τῶν ἀνθρώπων, ἀφ' ἑτέρου δὲ πρὸς ἐκδίωξιν δαιμονίων καὶ ἴασιν ἀσθενῶν, προσέδωκεν εἰς αὐτὸν ἔντονον λαϊκὸν χρῶμα. Συνεχεῖς ἐπικλήσεις τῶν ἁγίων καὶ ἀναφοραὶ τῶν ὀνομάτων αὐτῶν εἰς τὰ τροπάρια καὶ τὰς εὐχὰς ἔχουν ἐκεῖθεν τὴν προέλευσιν. Οὕτω, ἐκτὸς τῆς Θεοτόκου, μνημονεύονται καὶ ὑπάρχουν ἐπικλήσεις πρὸς τοὺς ἀρχαγγέλους, τὸν πρόδρομον, τοὺς ἀποστόλους, ἱεράρχας καὶ μάρτυρας, τοὺς ἰαματικοὺς καὶ θαυματουργοὺς ἁγίους (Ἀναργύρους, Τρύφωνα, Παντελεήμονα, Γεώργιον, Δημήτριον, Θεοδώρους, Ἀρτέμιον, Βαρβάραν, Νικόλαον, Σπυρίδωνα κλπ.), πρὸς ἁγίους ἑορταζομένους κατὰ τὰς ἀρχιμηνίας (Συμεὼν τὸν ἐν τῇ Μάνδρᾳ, Ἀναργύρους, Βασίλειον, Τρύφωνα, Μακκαβαίους, Σολομονὴν καὶ Ἐλεάζαρον) ἢ πρὸς ἁγίους τῶν ὁποίων τὰ ὀνόματα ὑπενθυμίζουν εὐχὰς ἢ εὐκτέας καταστάσεις (Εἰρήνη, Ἐλευθέριος, Χαράλαμπος, Παντελεήμων, Προκόπιος κλπ.). Καὶ ἀπὸ τὴν σχετικὴν ποικιλίαν εἰς τὴν χειρόγραφον παράδοσιν καὶ ἀπὸ σαφῆ ἔνδειξιν («λέγομεν καὶ ἕτερα ὅμοια εἰς ἁγίους διαφόρους...καὶ ἑτέρων ὧν ἂν βούλοιτό τις» κῶδ. Βατοπεδίου 324/935) καταφαίνεται ὅτι αἱ ἐπικλήσεις τῶν ἁγίων καὶ τὰ τροπάρια αὐτῶν ἐλέγοντο ἀναλόγως πρὸς τὴν εὐλάβειαν τοῦ λαοῦ πρὸς ὡρισμένους ἁγίους, τὰς τοπικὰς παραδόσεις καὶ τὴν κατὰ τόπους τιμὴν ὡρισμένων ἁγίων.

Τὴν ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ ἐπηρέασε καὶ ἡ πρᾶξις τοῦ παλατίου, ὅπου, ὡς εἴδομεν, ἐτελεῖτο ὁ ἁγιασμὸς

καθ' ἑκάστην πρώτην ἡμέραν ἑκάστου μηνός. Τὸ τροπάριον «Σῶσον, Κύριε, τὸν λαόν σου...» προφανῶς εἰσήχθη διὰ τὸν βασιλικὸν αὐτοῦ χαρακτῆρα. Ἡ καὶ εἰς τὰς δύο κυρίας εὐχὰς ἐκτενὴς δέησις ὑπὲρ τοῦ βασιλέως («καὶ φύλαττε, Κύριε...κατὰ πάντα ἐπιεικεῖς»), τὸ πρῶτον μέρος μάλιστα τῆς ὁποίας προσδιορίζεται ὅτι λέγεται ἐκ τρίτου, προῆλθεν ἀσφαλῶς ἐκ τοῦ παλατίου. Σημείωσις τοῦ κώδικος Σινᾶ 957 εἰς τὴν παράλληλον εὐχὴν τοῦ μεγάλου ἁγιασμοῦ καθορίζει ὅτι ἡ παρεμβολὴ αὔτη ἐλέγετο μόνον εἰς τὸ παλάτιον («ὅταν δὲ εὐλογεῖ ὁ πατριάρχης τὰ ὕδατα εἰς τὸ παλάτιον προστίθησι ἐν τῇ παρούσῃ εὐχῇ καὶ τοῦτο· 'Καὶ σῶσον, Κύριε...'»).

Τέλος τὴν ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ ἐπηρέασεν ἡ κατὰ τὴν βυζαντινὴν ἐποχὴν συνηθιζομένη «βάπτισις τῶν τιμίων ξύλων» ἢ ὁ «ἀπομυρισμὸς τοῦ τιμίου σταυροῦ», ὁ ἁγιασμὸς δηλαδὴ ὕδατος, δι' ἀναλόγους πρὸς τὸν μικρὸν ἁγιασμὸν σκοπούς, διὰ τῆς ἐμβαπτίσεως τοῦ τιμίου σταυροῦ. Εἰς τὴν ἀκολουθίαν τοῦ ἁγιασμοῦ τὸ ὕδωρ ἁγιάζεται διὰ τῆς ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος, τῆς καθαγιαστικῆς δηλαδὴ εὐχῆς καὶ τῆς εὐλογίας τοῦ ἱερέως. Ἡ ἐμβάπτισις τοῦ σταυροῦ γίνεται εἰς τὸ ἤδη καθηγιασμένον ὕδωρ καὶ δὲν ἔχει καθαγιαστικὸν χαρακτῆρα, παρὰ τὰς περὶ τοῦ ἀντιθέτου ἐνδείξεις διαφόρων χειρογράφων («λαβὼν τὸν τίμιον σταυρόν, εὐλογεῖ τὸ ὕδωρ» ἢ «ἁγιάζει τὸ ὕδωρ»). Ἡ ἐμβάπτισις τοῦ σταυροῦ εἰσήχθη ἢ ἐκ τοῦ μεγάλου ἁγιασμοῦ, ὅπου γίνεται μετὰ τὸν ἁγιασμὸν τοῦ ὕδατος ὡς εἰκονικὴ ἀναπαράστασις τῆς βαπτίσεως τοῦ Κυρίου (βλέπε καὶ τὴν τυπικὴν διάταξιν «ὄρθιον αὐτὸν (τὸν σταυρὸν) κατάγων καὶ ἀνάγων»), ἢ ἐκ τῆς βαπτίσεως ἢ ἀπομυρίσεως τῶν τιμίων ξύλων.

Οὕτως ἀπηρτίσθη ἡ ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ διὰ τῆς συρραφῆς πολλῶν ἐν πολλοῖς ἑτερογενῶν στοιχείων, τὰ ὁποῖα οὕτω δίδουν εἰς αὐτὴν ἀρκετὴν πληρότητα καὶ προσαρμοστικότητα. Οὕτω περιλαμβάνει πάντα τὰ λειτουργικὰ στοιχεῖα τὰ ἀπαρτίζοντα τὰς ἀκολουθίας, ψαλμούς, τροπάρια, ἀναγνώσματα, διακονικά, εὐχὰς καὶ τελετουργικὰς πράξεις.

Ἔχει ἐπὶ πλέον εὐρὺ παραδοσιακὸν θεματολόγιον, τὴν ἴασιν ἀσθενειῶν, ἐκδίωξιν πονηρῶν πνευμάτων, ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, καθαρισμὸν ψυχικῶν καὶ σωματικῶν σπίλων, εὐλογίαν χρονικῶν περιόδων καὶ τῶν ἔργων τῶν ἀνθρώπων. Τὸ τελευταῖον τοῦτο, ἐν συνδυασμῷ μάλιστα πρὸς εἰδικὰς περιστατικὰς εὐχάς, παλαιὰς ἢ νεωτέρας, ἐπισυναπτομένας εἰς αὐτήν, τὴν κατέστησεν ἀρκετὰ εὐέλικτον, εὐκόλως προσαρμοζομένην πρὸς τὰς ἑκάστοτε ἀνάγκας τῶν πιστῶν.

Εἰς τὸν ἑλλαδικὸν χῶρον ἡ τέλεσις τοῦ μικροῦ ἁγιασμοῦ ἐπεξετάθη καὶ εἰς θεμελιώσεις καὶ ἐγκαίνια διαφόρων κτισμάτων καὶ ἱδρυμάτων, ἔναρξιν μαθημάτων σχολείων, εὐλογίαν ὀχημάτων κλπ., τελείως ὅμως ἀντιπαραδοσιακῶς καὶ εἰς τὴν θεμελίωσιν ναῶν (βλ. *Ἰ. Φουντούλη*, Τάξις εἰς θεμέλιον ἐκκλησίας, «Κείμενα Λειτουργικῆς 7», Θεσσαλονίκη $1978^2$). Αἱ νέαι αὗται ἀνάγκαι ἐπέβαλον ἀφ' ἑνὸς μὲν τὴν ἐπιτομὴν τῆς παραδοσιακῆς ἀκολουθίας, ἀφ' ἑτέρου δὲ τὴν προσαρμογὴν αὐτῆς πρὸς τὰς νέας περιστάσεις («Μικρὸν Εὐχολόγιον ἢ Ἁγιασματάριον», ἔκδ. τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ἀθῆναι 1956 σελ. 301 ἑξ., 1972 σελ. 313 ἑξ.). Τὸ δεύτερον ἐπετεύχθη κατὰ τρόπον ὀρθὸν διὰ τῆς ἐπιλογῆς εἰδικῶν δι' ἑκάστην περίστασιν βιβλικῶν ἀναγνωσμάτων, ἐν μέρει δὲ καὶ τροπαρίων, διὰ τῆς παρεμβολῆς εἰδικῶν αἰτήσεων εἰς τὰ εἰρηνικὰ καὶ διὰ τῆς συνθέσεως καταλλήλου περιστατικῆς εὐχῆς. Τὸ πρῶτον, καλῶς μὲν διὰ τῆς παραλείψεως τῶν περιφερειακῶν στοιχείων, πολλῶν δηλαδὴ τροπαρίων, τῶν ψαλμῶν καὶ τῶν κατὰ τὴν ἔναρξιν καὶ τὴν ἀπόλυσιν λεπτομερειῶν, κάκιστα ὅμως διὰ τῆς παραλείψεως τῆς καθαγιαστικῆς εὐχῆς τοῦ ὕδατος. Καὶ ναὶ μὲν αἱ δύο κύριοι ἐν χρήσει εὐχαὶ («Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ...» καὶ «Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος...») ἔχουν τὸ μειονέκτημα ὅτι εἶναι ἐκτενεῖς καὶ ἄσχετοι πρὸς τὸν εἰδικὸν σκοπὸν τῆς περιστατικῆς ἀκολουθίας, ἀλλ' εἶναι ἀδιανόητος λειτουργικῶς καὶ θεολογικῶς ἡ τέλεσις ἁγιασμοῦ ὕδατος χωρὶς εὐχὴν εὐλογίας αὐτοῦ. Συντομωτέρας καὶ ρωμαλαιοτέρας τῶν ἐν χρήσει εὐχῶν προσφέρει,

ὡς θὰ ἴδωμεν, ἀρκετὰς ἡ λειτουργική μας παράδοσις. Ἡ ἐπιλογὴ μιᾶς ἐξ αὐτῶν ἢ ἡ ἐπιτομὴ μιᾶς τῶν ἐν χρήσει θὰ ἦτο ἡ μόνη δυνατὴ καὶ δόκιμος λύσις. Ἄλλως ἡ νέα ἀκολουθία δὲν δύναται νὰ θεωρηθῇ ἁγιασμὸς ὕδατος.

Κατωτέρω ἐκδίδομεν τὴν ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ εἰς τὴν πλήρη καὶ παραδοσιακὴν αὐτῆς μορφήν, ὡς ἐτελεῖτο εἰς τοὺς ναοὺς κατὰ τὰς ἀρχιμηνίας, ἀποκαθιστῶντες ἐπὶ τῇ βάσει τῶν χειρογράφων ὅσα, λόγῳ τῆς συχνῆς χρήσεως, ἐφθάρησαν. Αἱ κατωτέρω ἐπεξηγήσεις ἀφοροῦν εἰς τὴν διασάφησιν τῶν γενομένων διευθετήσεων καὶ τὴν ἐπισήμανσιν ἱστορικῶν τινων θεμάτων, ἐχόντων σχέσιν πρὸς τὰ ἐπὶ μέρους στοιχεῖα τῆς ἀκολουθίας, τὰ ὁποῖα δὲν ἐθίγησαν ἀνωτέρω.

Ἡ ἔναρξις τῆς ἀκολουθίας τοῦ μικροῦ ἁγιασμοῦ γίνεται κατὰ τὸν συνήθη μοναχικὸν τρόπον, διὰ τοῦ «Εὐλογητὸς ὁ Θεός...», τοῦ τρισαγίου κλπ. καὶ τοῦ «Δεῦτε προσκυνήσωμεν...». Ταῦτα προϋποθέτουν αὐτοτελῆ τέλεσιν αὐτῆς. Ὁμοίως καὶ ὁ ἐπέχων τὴν θέσιν τοῦ ἑξαψάλμου ρμβ' ψαλμὸς («Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι...»), τὸ «Θεὸς Κύριος...» μετὰ τῶν στίχων καὶ τῶν τροπαρίων, ὁ ν' ψαλμὸς καὶ τὰ ἐπακολουθοῦντα κατ' ἀλφάβητον στιχηρὰ καὶ τὰ λοιπὰ τροπάρια. Εἶναι χαρακτηριστικὸν ὅτι, ὁσάκις τὰ χειρόγραφα προβλέπουν αὐτοτελῆ τέλεσιν τοῦ ἁγιασμοῦ παραθέτουν ὅλο τὸ σχῆμα τοῦτο τῶν προκαταρκτικῶν στοιχείων (π.χ. κώδ. Ἀθηνῶν 662, 877, 2573, 2724. Βατοπεδίου 134/745, 324/935, Πάτμου 105, Σινᾶ 968, Μετοχίου Π. Τάφου Κων/λεως 615/757 κ.ἄ.), ὁσάκις ὅμως ἐπισυνάπτουν αὐτὴν εἰς τὸν ὄρθρον ἢ συνδέουν πρὸς τὴν θείαν λειτουργίαν ἀρχίζουν ἀπ' εὐθείας ἀπὸ τὰ πρὸ τῶν ἀναγνωσμάτων τρία τροπάρια (Λαύρας 21, Σινᾶ 980). Ἡ διαμόρφωσις πάντως τοῦ τμήματος αὐτοῦ τῆς ἀκολουθίας καὶ ἡ συμμόρφωσίς του πρὸς τὸ σχῆμα τοῦ ὄρθρου ὑπῆρξε βαθμιαία. Εἰς ἄλλους κώδικας δὲν ἀπαντᾷ τὸ τρισάγιον κλπ., εἰς ἄλλους ὁ ρμβ' ψαλμὸς καὶ τὸ «Θεὸς Κύριος...», εἰς ἄλλους ἀντὶ

τοῦ «Θεὸς Κύριος...» προβλέπεται ἡ ψαλμῳδία τοῦ «Ἀλληλούϊα», ἀπὸ ἄλλους παραλείπεται ὁ ν΄ ψαλμός, ἀπὸ ἄλλους τὰ κατ' ἀλφάβητον κ.ο.κ. Τὰ τελευταῖα ταῦτα ἐψάλλοντο ἀρχικῶς μόνον κατὰ τὰς ἀρχιμηνίας, ὡς ἐμφαίνεται ἐκ τῶν κωδίκων Ἀθηνῶν 661 καὶ Σινᾶ 981, ὅπου ταῦτα ἐπιγράφονται «τροπάρια ψαλλόμενα εἰς τὰς ἀρχιμηνίας τῶν μηνῶν (ἢ τοῦ μηνός)». Ἄλλως τε ἡ ψαλμῳδία αὐτῶν προϋποθέτει τὴν τέλεσιν τῆς ἀκολουθίας ἐντὸς ναοῦ τῆς Θεοτόκου ἤ, κατ' ἐπέκτασιν, παντὸς ναοῦ (βλ. «Ὁ ναός σου, Θεοτόκε...», «Τίς προστρέχων τῷ ναῷ σου...»).

Τὰ κατ' ἀλφάβητον τροπάρια φαίνεται ὅτι ἀρχικῶς ἐψάλλοντο ὡς στιχηρὰ τοῦ ν΄ ψαλμοῦ καὶ τῆς ᾠδῆς τῆς Θεοτόκου ἢ καὶ τῆς τοῦ Ζαχαρίου (κώδ. Ἀθηνῶν 661, 670, Σινᾶ 981). Κατὰ τοὺς κώδικας τούτους ἐγένετο καὶ ἡ ἀποκατάστασις τοῦ τμήματος τούτου τῆς ἀκολουθίας. Εἰς τὰ χειρόγραφα, ὡς ἤδη ἐλέχθη, τὰ τροπάρια ταῦτα παρουσιάζουν πλῆθος παραλλαγῶν.

Τὸ μέχρι τοῦ σημείου τούτου μέρος τῆς ἀκολουθίας διεξήγετο ἐντὸς τοῦ ναοῦ καὶ «πρὸ τοῦ θυσιαστηρίου». Κατὰ τὴν ψαλμῳδίαν τοῦ τροπαρίου «Τῆς εὐσπλαγχνίας τὴν πύλην...» ἐγίνετο ἡ ἐν πομπῇ μετάβασις τοῦ ἱερέως καὶ τοῦ σὺν αὐτῷ κλήρου καὶ τοῦ λαοῦ εἰς τὴν ἐκτὸς τοῦ ναοῦ φιάλην τοῦ ὕδατος πρὸς τέλεσιν τοῦ ἁγιασμοῦ αὐτοῦ.

Τὸ τρισάγιον εἰσάγεται κατὰ ἰδιόρρυθμον τρόπον διὰ τριῶν εἰσαγωγικῶν τροπαρίων, τῶν ὁποίων προηγεῖται κατὰ τὸν κώδικα Παν. Τάφου 615 (757) καὶ κατὰ τὰ ἔντυπα ἡ ἐκφώνησις τῆς εὐχῆς τοῦ τρισαγίου ὕμνου τῆς θείας λειτουργίας «Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...». Καίτοι ἡ παρεμβολὴ τῆς ἐκφωνήσεως δὲν εἶναι καλῶς μεμαρτυρημένη, διετηρήσαμεν αὐτήν, διότι ἡ μετάβασις εἰς τὸ τρισάγιον καθίσταται οὕτω ὁμαλωτέρα. Παραδείγματα τοιαῦτα ἀδεσπότων ἐκφωνήσεων, εἴτε τῆς εὐχῆς τοῦ τρισαγίου, τῶν εὐχῶν τῶν συναπτῶν ἢ τῆς ἐκτενοῦς, ὑπάρχουν πολλὰ εἰς τὰς μεταγενεστέρας μορφὰς τῶν βυζαντινῶν ἀκολουθιῶν.

Καὶ τὰ ἀναγνώσματα εἶναι στοιχεῖον νεώτερον

εἰς τὴν ἀκολουθίαν τοῦ ἁγιασμοῦ. Ἐφ' ὅσον αὕτη ἦτο συνδεδεμένη μὲ τὴν θείαν λειτουργίαν, ἀναγνώσματα ἐλέγοντο τὰ ἑκάστοτε διὰ τὴν λειτουργίαν προβλεπόμενα. Εἰς νεώτερα χειρόγραφα, παρουσιάζοντα αὐτοτελῆ ἀκολουθίαν, ὑπάρχουν τὰ ἐν χρήσει ἢ τὰ Ἰακ. ε' 10 ἑξ. καὶ Λουκ. ιθ' 1-10. Ἡ προτίμησις τῆς περικοπῆς Ἑβρ. β' 11-18 προφανῶς ὀφείλεται εἰς καθαρῶς ἐξωτερικοὺς λόγους, δηλαδὴ τὴν ἐν ἀρχῇ αὐτῆς φράσιν «ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι», λέξεις συναρτωμένας πρὸς τὸ ὄνομα τῆς ἀκολουθίας ἢ πρὸς τὸν ἁγιασμὸν τοῦ ὕδατος. Διὰ τῆς εὐαγγελικῆς περικοπῆς (Ἰω. ε' 1-4) ἐπιζητεῖται ὁ παραλληλισμὸς τῶν ἐνεργειῶν τοῦ ἁγιασμοῦ πρὸς τὰς ἰάσεις τῆς κολυμβήθρας τῆς Βηθεσδά. Κατὰ τὸν ἁγιασμὸν τῆς Ἰνδίκτου ἐλέγετο ἡ περικοπὴ Λουκ. δ' 16-22 (κῶδ. Ἀθηνῶν 2047, φ. 84 να).

Τὰ εἰρηνικὰ παρουσιάζουν εἰς τὰ χειρόγραφα ἀρκετὰς παραλλαγάς, ὀφειλομένας ἀναλόγως, ἄλλοτε μὲν εἰς ἐπιδράσεις τῶν εἰρηνικῶν τῆς λειτουργίας, ἄλλοτε δὲ τοῦ μεγάλου ἁγιασμοῦ ἢ τοῦ βαπτίσματος.

Κατά τινα χειρόγραφα κατὰ τὴν ὥραν τῆς συναπτῆς ἀναγινώσκει ὁ ἱερεὺς μυστικῶς εὐχὴν ὑπὲρ ἑαυτοῦ «Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μονογενής...» (Ἀθηνῶν 662, 2724, Παντελεήμ. 364, Πάτμου 690). Αὕτη παρενεβλήθη ἐκ τῆς ἀκολουθίας τοῦ μεγάλου ἁγιασμοῦ, ὅπου πάλιν εἰσῆλθε κατὰ μίμησιν τῆς ἀντιστοίχου εὐχῆς τοῦ ἁγίου βαπτίσματος. Μὲ τὴν ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ οὐδεμίαν σχέσιν ἔχει, διὸ καὶ δὲν περιλαμβάνεται εἰς τὰ πλεῖστα χειρόγραφα καὶ εἰς τὰ ἔντυπα.

Ἡ μετὰ τὴν συναπτὴν ἐκφώνησις «Ὅτι πρέπει...» καὶ τὸ «Τοῦ Κυρίου δεηθῶμεν» πρὸ τῆς εὐχῆς παρέλκουν, ἐφ' ὅσον ἡ διακονικὴ συναπτὴ εἰσάγει τὴν καθαγιαστικὴν εὐχήν. Παρελείφθησαν διότι, ὀρθῶς, δὲν ὑπάρχουν εἰς τὰ περισσότερα τῶν χειρογράφων.

Ἕπεται ἡ κεντρικὴ καὶ κυρία εὐχὴ τῆς ἀκολουθίας τοῦ ἁγιασμοῦ, ἡ καθαγιαστικὴ τοῦ ὕδατος, ἡ ὁποία κατὰ τοὺς κώδικας λέγεται «μεγαλοφώνως» ἢ «ἐκφωνητικῶς»

(πρβλ. καὶ «εὐχὴ ἐκφωνουμένη»). Εἰς τὰ χειρόγραφα δὲν ὑπάρχει ὁμοφωνία περὶ αὐτῆς. Τὰ πλεῖστα ἔχουν τὴν εὐχὴν «Κύριε ὁ Θεὸς ἡμῶν ὁ μέγας τῇ βουλῇ...», ἡ ὁποία εὕρηται καὶ εἰς τὰ ἔντυπα. Ὀλιγώτερα ἔχουν τὴν εὐχὴν «Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος ...» (Παράρτημα Α΄ 6). Μερικὰ ἔχουν καὶ τὰς δύο ἢ μίαν εὐχήν, ἀποτελοῦσαν σύνθεσιν ἀμφοτέρων. Καὶ αἱ δύο πρέπει νὰ εἶναι ἀρχαιότεραι τῆς νεωτέρας συνθέτου ἀκολουθίας τοῦ ἁγιασμοῦ, ἐφ' ὅσον ἀπαντοῦν καὶ εἰς τὸν κώδικα Σινᾶ 959 τοῦ ΙΑ΄ αἰῶνος, ἡ μὲν πρώτη τιτλοφορουμένη ὡς «Εὐχὴ τοῦ ἁγιασμοῦ τῆς λειτουργίας», ἡ δὲ δευτέρα ὡς «Εὐχὴ εἰς κόλυμβον διακονίας, ἤγουν λούσματος». Ἐκ τοῦ ὕφους των φαίνεται ὅτι ἀνήκουν εἰς τὴν αὐτὴν ἐποχήν. Ἔχουν ὁμοιόμορφον δομὴν καὶ μιμοῦνται τὴν καθαγιαστικὴν εὐχὴν τοῦ μεγάλου ἁγιασμοῦ, ἐμμέσως δὲ δι' αὐτῆς καὶ τὴν εὐχὴν τῆς ἁγίας ἀναφορᾶς τῆς λειτουργίας. Χαρακτηριστικὸν καὶ τῶν δύο εἶναι ὅτι στεροῦνται σαφοῦς ἐπικλήσεως τοῦ ἁγίου Πνεύματος καὶ ὅτι μνημονεύουν, ἰδίᾳ εἰς ὡρισμένα χειρόγραφα, πλῆθος ὀνομάτων ἁγίων.

Παλαιότεραι, συντομώτεραι καὶ δοκιμώτεραι καθαγιαστικαὶ εὐχαὶ ἁγιασμοῦ ἀπαντοῦν εἰς τὰ χειρόγραφα αἱ ἀκόλουθοι:

α΄) «Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ...». Αὕτη εὑρίσκεται εἰς τὸν Βαρβερινὸν κώδικα 336 (φ. 118 r-v), ἐπιγραφομένη «Εὐχὴ ἄλλη εἰς τὸ ὕδωρ τῶν ἁγίων βαπτισμάτων τῶν ἁγίων Θεοφανείων, λεγομένη ἐν τῇ φιάλῃ τοῦ μεσιαύλου τῆς ἐκκλησίας» (βλ. καὶ κώδ. Ἀθηνῶν 685, 2724, Παρισ. Κοισλ. 213, Σινᾶ 956, 957 καὶ 958). Ὁμοίως ἀπαντᾷ εἰς τὴν ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ, παραλλήλως πρὸς τὰς ἀνωτέρω εὐχάς, εἰς τοὺς κώδικας Ἀθηνῶν 665, 713 καὶ Πάτμου 105, ὡς καὶ εἰς τὸν ἁγιασμὸν τῆς Ἰνδίκτου κατὰ τὸ Τυπικὸν τῆς Μεγάλης Ἐκκλησίας Θεσσαλονίκης (κῶδ. Ἀθηνῶν 2047, φ. 84 νβ). Βλέπε Παράρτημα Α΄ 3.

β΄) «Κτίστα τῶν ὑδάτων, δημιουργὲ τῶν ἁπάντων...», ἀπαντῶσα εἰς τὸν Βαρβερινὸν κώδικα 336 (φ. 224r) ὡς «Εὐ-

χὴ ἐπὶ διακονίας, λεγομένη ἐν τῷ ἐμβάτῃ ἐκφωνητικῶς». Παράρτημα Α΄ 4.

καὶ γ΄) «Ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος...», εὑρισκομένη εἰς τοὺς κώδικας Σινᾶ 971 («Εὐχὴ εἰς κεκοινωμένον ὕδωρ»), 982 («Εὐχὴ ἐπὶ ὕδατος μεταλαμβανομένου ἐπὶ θεραπείας ἀρρώστου καὶ φυλακῆς οἴκου») καὶ 987 («Εὐχὴ ἐπὶ ὕδατος ἀρρώστου»). Παράρτημα Α΄ 5.

Μετὰ τὴν εὐχὴν τοῦ ἁγιασμοῦ ἕπεται, εἰς τὰ ἔντυπα καὶ εἰς ἱκανὰ χειρόγραφα, εὐλογία καὶ εὐχὴ κεφαλοκλισίας («Κλῖνον, Κύριε, τὸ οὖς σου...»), λεγομένη ὑπὸ τοῦ ἱερέως μυστικῶς. Ἡ εὐχὴ αὕτη δὲν ἀνήκει εἰς τὴν ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ, παρενεβλήθη δὲ εἰς αὐτὴν ἐκ τῆς ἀκολουθίας τοῦ μεγάλου ἁγιασμοῦ, εἰς τὴν ὁποίαν καὶ ἀνήκει ὀργανικῶς (βλ. «ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος»). Ἡ προσθήκη ἐγένετο κατὰ μίμησιν τῆς ἀκολουθίας ἐκείνης καὶ διὰ νὰ συμπληρωθῇ τὸ σύνηθες σχῆμα τῶν βυζαντινῶν ἀκολουθιῶν (καθαγιαστικὴ εὐχὴ - εὐχὴ εὐλογίας τῶν παρισταμένων), τὸ ὁποῖον παρουσιάζετο ἐνταῦθα ἐλλιπές.

Μετὰ ἢ κατὰ τὴν ἐκφώνησιν τῆς καθαγιαστικῆς εὐχῆς ἢ τῆς μεταγενεστέρως εἰσαχθείσης εὐχῆς τῆς κεφαλοκλισίας, εἰσήχθη, πάλιν κατὰ μίμησιν τῆς ἀκολουθίας τοῦ ἁγιασμοῦ τῶν Θεοφανείων, ἡ ἐμβάπτισις εἰς τὸ ἡγιασμένον ὕδωρ τρὶς ὀρθίου τοῦ τιμίου σταυροῦ. Ἐκεῖ δμως διὰ τῆς πράξεως ταύτης παραστατικῶς εἰκονίζετο τὸ βάπτισμα τοῦ Χριστοῦ. Ἴσως ἡ βάπτισις τοῦ σταυροῦ προῆλθε καὶ ἐκ τῆς ἀπομυρίσεως τῶν τιμίων ξύλων, ὡς ἤδη ἐλέχθη. Δεδομένου δὲ ὅτι αὕτη ἐγίνετο τακτικῶς κατὰ τὴν πρόοδον τοῦ τιμίου σταυροῦ τὴν 1ην Αὐγούστου, κατὰ τὴν ὁποίαν ἐτελεῖτο ὁ μικρὸς ἁγιασμός, εὔκολον ἦτο ἡ πρᾶξις νὰ γενικευθῇ εἰς ὅλους τοὺς ἁγιασμούς. Ἀντὶ τοῦ σταυροῦ, κατὰ τὸν κώδικα Πάτμου 105, ἐβαπτίζετο «τὸ ἅγιον Πνεῦμα», προφανῶς ξυλίνη ἢ μεταλλίνη περιστερά.

Κατὰ τὴν βάπτισιν τοῦ σταυροῦ ἐλέγετο ἢ ἡ ἐκφώνησις τῆς καθαγιαστικῆς εὐχῆς ἢ τῆς εὐχῆς τῆς κεφαλοκλισίας,

ἢ τὸ «Εἰς τὸ ὄνομα τοῦ Πατρός...», ὡς εἰς τὸ βάπτισμα, ἢ τὸ «Δόξα τῇ ἁγίᾳ...», ἢ τὸ τροπάριον «Φῶς ὁ Πατήρ...». Τελικῶς ἐπεκράτησεν ἡ ψαλμῳδία τοῦ τροπαρίου «Σῶσον, Κύριε, τὸν λαόν σου...» κατ' ἐπίδρασιν προφανῶς τοῦ παλατίου ἢ τῆς 1ης Αὐγούστου καὶ 14ης Σεπτεμβρίου, ἑορτῶν τοῦ σταυροῦ, κατὰ τὰς ὁποίας ἐτελεῖτο ἁγιασμός.

Τὰ ψαλλόμενα κατὰ τὸν ἐπακολουθοῦντα ραντισμὸν διὰ τοῦ ἡγιασμένου ὕδατος παρουσιάζουν μεγίστην ποικιλίαν, στεροῦνται δὲ ἰδιαιτέρας σημασίας. Ἐψάλλοντο συνήθως θεοτοκία, κατὰ τὸν θεομητορικὸν χαρακτῆρα τοῦ ἁγιασμοῦ, ἢ τροπάρια τῶν ἁγίων Ἀναργύρων, ὡς ἰαματικῶν, ὅσα ἤρκουν διὰ νὰ καλυφθῇ ὁ χρόνος «μέχρι τῆς ἀπορραντίσεως» τοῦ λαοῦ.

Μετὰ τὸν ραντισμὸν ἐπανήρχοντο καὶ πάλιν ἐν πομπῇ εἰς τὸν ναόν, ὅπου ἐγίνετο ἐκτενὴς καὶ ἀπόλυσις. Εἰς τὸ τέλος τῆς ἐκτενοῦς, κατὰ πολλοὺς κώδικας, προσετίθετο καὶ τὸ «Ὑπὲρ τοῦ διαφυλαχθῆναι...» καὶ ἡ εὐχὴ «Δέσποτα πολυέλεε...», διὰ τῆς ὁποίας καὶ κατεκλείετο ἀρχικῶς ἡ ἀκολουθία («αὕτη ἐστὶν ἡ ἀπόλυσις τοῦ ἁγιασμοῦ» κωδ. Ἀθηνῶν 760). Ἡ ἐκτενὴς κατὰ τὸν κώδικα Ἀθηνῶν 2724 παρουσιάζεται ἰδιαιτέρως ἀνεπτυγμένη καὶ πλουσία εἰς αἰτήματα. Ἐπὶ τῇ βάσει τοῦ χειρογράφου τούτου γίνεται ἡ ἀποκατάστασις τῆς ἐκτενοῦς εἰς τὸ κείμενον.

Τὸ Παράρτημα διαιρεῖται εἰς δύο μέρη. Εἰς τὸ Α΄ περιλαμβάνονται αἱ ἀνωτέρω μνημονευθεῖσαι ἓξ καθαγιαστικαὶ εὐχαὶ τοῦ ὕδατος. Εἰς τὸ Β΄ μέρος δημοσιεύεται ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ κατ' ἐπιτομήν, τελεσθεῖσα κατὰ τὰ ἐγκαίνια τοῦ νέου κτιρίου τῆς Θεολογικῆς Σχολῆς τοῦ Πανεπιστημίου Θεσσαλονίκης τὴν 11ην Μαΐου 1971, μνήμην τῶν Θεσσαλονικέων ἱεραποστόλων ἁγίων Κυρίλλου καὶ Μεθοδίου. Κατὰ τὴν ἐπιτομὴν καὶ προσαρμογὴν τῆς ἀκολουθίας κατεβλήθη προσπάθεια νὰ προβληθοῦν λειτουργικὰ στοιχεῖα κατάλληλα διὰ τὴν ὑπόθεσιν τῆς τελέσεως τοῦ ἁγιασμοῦ. Εἰς τὰ ἀναγνώσματα προσετέθη καὶ προφητικὸν ἀνάγνωσμα.

Ἡ καθαγιαστικὴ εὐχὴ ἐλήφθη ἐκ τοῦ Βαρβερινοῦ κώδικος καὶ προσηρμόσθη καταλλήλως περὶ τὸ τέλος.

Περὶ τῆς ἀκολουθίας τοῦ μικροῦ ἁγιασμοῦ βλέπε *Pl. de Meester*, Rituale - Benedizionale Bizantino, Roma 1929, σελ. 461-474, *Π. Τρεμπέλα*, Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ, ἐν «Μικρὸν Εὐχολόγιον», τ. Α', Ἀθῆναι 1955, σελ. 45-74 καὶ *Ἰ. Φουντούλη*, Ἀπαντήσεις εἰς λειτουργικὰς ἀπορίας, τ. Α', Θεσσαλονίκη 1973², σελ. 78-80 καὶ τ. Β', Θεσσαλονίκη 1975², σελ. 127-131 καὶ 195-201.

*Α.* = *Ἀναγνώστης*
*Ἀρ.* = *Ἀρχιερεὺς*
*Ι.* = *Ἱερεὺς*
*Δ.* = *Διάκονος*
*Λ.* = *Λαὸς*
* = *Ἀλλαγὴ στίχου (ἐπὶ ἐμμέτρου κειμένου)*

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ

### ΕΝΑΡΞΙΣ

Ι. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Ι. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε,* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρὼν* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς χορηγός,* ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος* καὶ σῶσον, ἀγαθέ,* τὰς ψυχὰς ἡμῶν.

Α. Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς (γ΄).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Παναγία Τριάς,* ἐλέησον ἡμᾶς.* Κύριε,* ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.* Δέσποτα,* συγχώρησον τὰς ἀνομίας ἡμῖν.* Ἅγιε,* ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,* ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς,* ἁγιασθήτω

τὸ ὄνομά σου,* ἐλθέτω ἡ βασιλεία σου,* γενηθήτω τὸ θέλημά σου* ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·* τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον* δὸς ἡμῖν σήμερον* καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,* ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν* καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ι. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Α. Ἀμήν. Κύριε, ἐλέησον (ιβ΄).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ο ΡΜΒ΄ ΨΑΛΜΟΣ, ΤΟ «ΘΕΟΣ ΚΥΡΙΟΣ» ΚΑΙ ΤΑ ΤΡΟΠΑΡΙΑ

**Ψαλμὸς ρμβ΄**

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου· ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

**Λ. Τὸ «Θεὸς Κύριος» (Ψαλμ. ριζ´) καὶ τὰ τροπάρια. Ἦχος δ´**

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν·* εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. α´.** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

**Στίχ. β´.** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

**Στίχ. γ´.** Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

**Τὸ τροπάριον. Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ**

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν,* ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν* ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς·* Δέσποινα, βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα·* σπεῦσον, ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων·* μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς,* σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**Τὸ αὐτὸ ἢ τὸ ἀπολυτίκιον τοῦ ἁγίου τοῦ ναοῦ**

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,* τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·* εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;* τίς δὲ διεφύλαξεν ἕως νῦν

ἐλευθέρους;* οὐκ ἀποστῶμεν, δέσποινα, ἐκ σοῦ·* σοὺς γὰρ δούλους σῴζεις ἀεὶ* ἐκ παντοίων δεινῶν.

### Ο Ν΄ ΨΑΛΜΟΣ, Η ῼΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΤΑ ΣΤΙΧΗΡΑ

**Λ. Καὶ εὐθὺς στιχολογεῖται ὁ ν΄ ψαλμὸς μετὰ τῶν κατ' ἀλφάβητον στιχηρῶν**

**Ἦχος πλ. β΄. Ὁ εἱρμὸς**

Ἡ τὸ Χαῖρε δι' ἀγγέλου δεξαμένη* καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον,* παρθένε, σῶζε τοὺς σὲ μεγαλύνοντας **(δίς)**.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀνυμνοῦμεν τὸν υἱόν σου, Θεοτόκε,* καὶ βοῶμεν, πανάχραντε δέσποινα·* Παντὸς κινδύνου ῥῦσαι τοὺς οἰκέτας σου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Βασιλέων, προφητῶν καὶ ἀποστόλων* καὶ μαρτύρων ὑπάρχεις τὸ καύχημα* καὶ προστασία τοῦ κόσμου, πανάμωμε.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Γλῶσσα πᾶσα εὐφημεῖ καὶ μακαρίζει* καὶ δοξάζει τὸν ἄχραντον τόκον σου* τῶν ὀρθοδόξων, Μαρία θεόνυμφε.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν

σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Δός, Χριστέ μου, καὶ ἐμοὶ τῷ ἀναξίῳ* ὀφλημάτων τὴν ἄφεσιν δέομαι,* τῆς σὲ τεκούσης πρεσβείαις, ὡς εὔσπλαγχνος.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἐπί σέ μου τὰς ἐλπίδας ἀνεθέμην,* Θεοτόκε· σῶσον ταῖς πρεσβείαις σου* καὶ δώρησαί μοι πταισμάτων τὴν ἄφεσιν.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ζωωσόν με ἡ τεκοῦσα ζωοδότην* καὶ σωτῆρα· σῶσον ταῖς πρεσβείαις σου,* εὐλογημένη ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἡ τὸν κτίστην τῶν ἁπάντων ἐν γαστρί σου* συλλαβοῦσα, παρθένε πανάμωμε,* ταῖς σαῖς πρεσβείαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Θεοτόκε, ἡ τεκοῦσα διὰ λόγου* ὑπὲρ λόγον τὸν Λόγον, πανύμνητε,* αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Ἵλεών μοι τὸν κριτήν τε καὶ υἱόν σου,* ἐπται-

κότι ὑπὲρ πάντα ἄνθρωπον,* ταῖς σαῖς πρεσβείαις ἀπέργασαι, δέσποινα.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Καταχρέως ἐκβοῶμέν σοι τό· Χαῖρε,* Θεοτόκε ἁγνὴ ἀειπάρθενε,* ἐκδυσωποῦντες πρεσβείαις σου σώζεσθαι.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Λύτρωσαί με τοῦ πυρὸς τοῦ αἰωνίου* καὶ βασάνων τῶν ἀποκειμένων μοι,* Θεογεννῆτορ, ὅπως μακαρίζω σε.

'Απόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Μὴ παρίδῃς τὰς δεήσεις τῶν σῶν δούλων* δυσωποῦμεν, πανύμνητε δέσποινα,* ἵνα ῥυσθῶμεν πάσης περιστάσεως.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Νοσημάτων καὶ παντοίων ἀλγηδόνων* καὶ κινδύνων ἡμᾶς ἐλευθέρωσον,* τῇ ἱερᾷ σου σκέπῃ καταφεύγοντας.

'Ρῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Ξένον θαῦμα τὸ ἐν σοί, Θεοκυῆτορ,* δι' ἡμᾶς γὰρ καθ' ἡμᾶς γεγένηται* ὁ πάντων κτίστης ἐκ σοῦ καὶ Θεὸς ἡμῶν.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὁ ναός σου, Θεοτόκε, ἀνεδείχθη* ἰατρεῖον νοσημάτων ἄμισθον* καὶ θλιβομένων ψυχῶν παραμύθιον.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Παναγία Θεοτόκε, ἡ τεκοῦσα* τὸν Σωτῆρα, κινδύνων διάσωσον* καὶ πάσης ἄλλης ἀνάγκης τοὺς δούλους σου.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντεριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ῥῦσαι πάσης ἀπειλῆς ἐπερχομένης* τοὺς σοὺς δούλους, πανάχραντε δέσποινα,* καὶ πάσης βλάβης ψυχῆς τε καὶ σώματος.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Σῶσον πάντας ταῖς πρεσβείαις σου, παρθένε,* τοὺς εἰς σέ, Θεοτόκε, προστρέχοντας* καὶ ῥῦσαι πάσης ἀνάγκης καὶ θλίψεως.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τίς προστρέχων τῷ ναῷ σου, Θεοτόκε,* οὐ λαμβάνει ταχέως τὴν ἴασιν* ψυχῆς τε ὁμοῦ καὶ σώματος, ἄχραντε;

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὑπὸ πάντων δυσωπούμενος, οἰκτίρμον,* τῶν ἁγίων καὶ τῶν ἄνω τάξεων,* ἱλάσθητί μοι διὰ τῆς τεκούσης σε.

**Καὶ συνάπτομεν τὴν ᾠδὴν τῆς Θεοτόκου μετὰ τῶν λοιπῶν στιχηρῶν**

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Φεῖσαι, Σῶτερ, τῶν ψυχῶν τῶν τεθνεώτων* ἐπ' ἐλπίδι ζωῆς ἀδελφῶν ἡμῶν* καὶ ἄνες, ἄφες αὐτοῖς τὰ ἐγκλήματα.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Χαῖρε κόσμου ἱλαστήριον, παρθένε,* χαῖρε στάμνε καὶ λυχνία πάγχρυσε,* τοῦ θείου μάννα καὶ φωτός, Θεόνυμφε.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ψάλλομέν σοι τῷ Θεῷ τῷ ἐν Τριάδι,* ἐκβοῶντες φώνην τὴν τρισάγιον,* ἐκδυσωποῦντες σωτηρίας τεύξασθαι.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Ὦ παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα* καὶ δεσπότην τοῦ κόσμου καὶ Κύριον,* αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε τα-

πεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Χαῖρε ὄρος, χαῖρε βάτε, · χαῖρε πύλη,* χαῖρε κλῖμαξ, χαῖρε θεία τράπεζα,* ἡ πάντων χαῖρε βοήθεια, δέσποινα.

᾿Αντελάβετο ᾿Ισραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ ᾿Αβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Ταῖς πρεσβείαις, ἐλεῆμον, τῆς μητρός σου* τῆς ἀχράντου καὶ πάντων ἁγίων σου* τὰ σὰ ἐλέη τῷ λαῷ σου δώρησαι.

᾿Αρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων ἀρχαγγέλων* καὶ ἀγγέλων καὶ τῶν ἄνω τάξεων,* σοὺς δούλους, Σῶτερ, καλῶς διαφύλαξον.

Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ πρεσβείᾳ τοῦ τιμίου καὶ ἐνδόξου* βαπτιστοῦ σου, προφήτου, προδρόμου τε,* Χριστέ μου Σῶτερ, τοὺς δούλους σου φύλαξον.

᾿Απόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων ἀποστόλων* καὶ μαρτύρων καὶ πάντων ἁγίων σου,* τὰ σὰ ἐλέη τῷ λαῷ σου δώρησαι.

῞Αγιοι ᾿Ανάργυροι, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων ᾿Αναργύρων,* Θεο-

τόκε, τοὺς δούλους σου φύλαττε,* ὡς προστασία τοῦ κόσμου καὶ στήριγμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν* καὶ τὸ Πνεῦμα τὸ ἅγιον λέγοντες·* Τριὰς ἁγία, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἡ ἀρρήτως ἐπ' ἐσχάτων συλλαβοῦσα* καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον,* παρθένε, σῶζε τοὺς σὲ μεγαλύνοντας.

## ΜΕΤΑΒΑΣΙΣ ΕΙΣ ΤΗΝ ΦΙΑΛΗΝ - ΤΡΙΣΑΓΙΟΝ

**Εἶθ' οὕτως ἀπέρχεται ὁ ἱερεὺς καὶ ὁ διάκονος μετὰ θυμιατοῦ, κηρῶν καὶ τοῦ τιμίου σταυροῦ εἰς τὴν φιάλην, ψάλλοντες μετὰ τοῦ λαοῦ τὸ τροπάριον. Ἦχος β'**

Ι.-Λ. Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σέ,* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

**Καὶ ὅταν φθάσωσι ἔμπροσθεν τῆς φιάλης, ἐκφωνεῖ ὁ διάκονος·**

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Ι. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

**Καὶ ψάλλουσι τὰ τροπάρια. Ἦχος πλ. δ'**

Νῦν ἐπέστη ὁ καιρὸς ὁ πάντας ἁγιάζων* καὶ ὁ δίκαιος ἡμᾶς ἀναμένει κριτής·* ἀλλ' ἐπίστρεψον, ψυχή, πρὸς μετάνοιαν,* ὡς ἡ πόρνη κράζουσα σὺν δάκρυσι·* Κύριε, ἐλέησόν με.

Νάμασιν ἐπομβρίσας, Χριστέ,* πηγὴν τῶν ἰάσεων* ἐν τῷ πανσέπτῳ ναῷ τῆς παρθένου σήμερον* καὶ τῷ τῆς σῆς εὐλογίας ῥαντισμῷ* φυγαδεύεις τὰς νόσους τῶν ἀσθενούντων,* ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Παρθένος ἔτεκες, ἀπειρόγαμε,* καὶ παρθένος ἔμεινας,* μήτηρ ἀνύμφευτε,* Θεοτόκε Μαρία·* Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε* σωθῆναι ἡμᾶς.

Παναγία Θεοτόκε παρθένε,* τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον* καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι,* ἐν τῷ ψάλλειν ἡμᾶς τῶν ἀγγέλων τὸν ὕμνον·

Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς (γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς.

**Καὶ πάλιν**

Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς.

**Α. Προκείμενον. Ἦχος γ΄. Ψαλμὸς κς΄**

Δ. Πρόσχωμεν.

Λ. Κύριος φωτισμός μου καὶ σωτήρ μου,* τίνα φοβηθήσομαι; **(δίς).**

Α. **Στίχ.** Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;

Λ. Κύριος φωτισμὸς μου καὶ σωτήρ μου.
Τίνα φοβηθήσομαι;

Δ. Σοφία.

Α. Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα **(β΄ 11-18).**

Δ. Πρόσχωμεν.

**Α. Ἀναγινώσκει τὸν Ἀπόστολον**

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε». Καὶ πάλιν· «Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ». Καὶ πάλιν· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός». Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάν-

τα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ι. Εἰρήνη σοι.

**Α. Ἀλληλούϊα. Ἦχος β΄. Ψαλμὸς μδ΄**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Λ. Ἀλληλούϊα (γ΄).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (ε΄ 1-4).

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ Εὐαγγέλιον**

Τῷ καιρῷ ἐκείνῳ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ, κολυμβήθρα ἡ ἐπιλεγομένη ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις

κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ καὶ ἐτάραττε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

### Η ΣΥΝΑΠΤΗ

Δ. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἁγίου κου οἴτούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν **(δεῖνος)**, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ καταφοιτῆσαι τῷ ὕδατι τούτῳ τὴν καθαρκτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ γενέσθαι τὸ ὕδωρ τοῦτο ἰαματικὸν ψυχῶν καὶ σωμάτων καὶ πάσης ἀντικειμένης δυνάμεως ἀποτρεπτικὸν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ τοῦ Θεοῦ βοηθείας τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἀναδείξῃ ἡμᾶς υἱοὺς καὶ κληρονόμους τῆς βασιλείας αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λ. Κύριε, ἐλέησον.

Δ. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λ. Σοί, Κύριε.

## Η ΚΑΘΑΓΙΑΣΤΙΚΗ ΕΥΧΗ

**I. Λέγει μεγαλοφώνως τὴν εὐχὴν τοῦ ἁγιασμοῦ**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς τοῖς ἔργοις, ὁ πάσης ὁρατῆς τε καὶ

ἀοράτου κτίσεως δημιουργός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε καὶ τηροῦσι τὰ σὰ προστάγματα, ὁ πάντων τῶν ἐν ἀνάγκαις ἐλεεινὰ προσδεχόμενος δάκρυα· διὰ γὰρ τοῦτο παραγέγονας ἐν δούλου μορφῇ, οὐ φάσμασιν ἡμᾶς ἐκδειματούμενος, ἀλλ' ὑγείαν τῷ σώματι ἀληθῆ ὀρέγων καὶ λέγων· «Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε». Ἀλλὰ καὶ ἐκ πηλοῦ ζῶντας ὀφθαλμοὺς εἰργάσω καὶ νίψασθαι κελεύσας, τὸ φῶς οἰκῆσαι παρεσκεύασας λόγῳ· ὁ τὰς τῶν ἐναντίων παθῶν σπιλάδας ταράττων καὶ τὴν τοῦ βίου τούτου ἁλμυρὰν θάλασσαν καταστείλας καὶ τὰ ἀχθηφόρα τῶν ἡδονῶν κατευνάσας κύματα. Αὐτός, φιλάνθρωπε βασιλεῦ, ὁ δοὺς ἡμῖν χιονοφεγγόφωτον φορέσαι στολὴν ἐξ ὕδατός τε καὶ Πνεύματος, καὶ διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ τὴν σὴν εὐλογίαν ἡμῖν κατάπεμψον, τὸν ῥύπον τῶν παθῶν ἀποσμήχουσαν. Ναί, δέσποτα, δεόμεθα· ἐπίσκεψαι ἡμῶν, ἀγαθέ, τὴν ἀσθένειαν καὶ ἴασαι ἡμῶν τὰς νόσους ψυχῆς τε καὶ σώματος τῷ ἐλέει σου· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενι-

κῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου πατριαρχῶν Ἀλεξανδρείας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος καὶ Νικολάου Μύρων τῆς Λυκίας τῶν θαυματουργῶν, τῶν ἁγίων καὶ ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου καὶ Δημητρίου τοῦ μυροβλύτου, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτου, Θαλλελαίου καὶ Τρύφωνος, **(τοῦ ἁγίου τῆς ἡμέρας)**, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων. Καὶ φύλαττε, Κύριε, τοὺς δούλους σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν **(ἐκ γ')**, χάρισαι αὐτοῖς ψυχῆς καὶ σώματος τὴν ὑγείαν καὶ τῇ δουλικῇ σου ταύτῃ τῶν χριστιανῶν πολιτείᾳ ποίησον κατὰ πάντα ἐπιεικεῖς. Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς, τῶν διακονούντων ἀδελφῶν ἡμῶν, τῶν περιεστώτων καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Μνήσθητι, Κύριε, τῶν ἐν αἰχμαλωσίᾳ καὶ θλίψεσιν ἀδελφῶν ἡμῶν καὶ ἐλέησον αὐτοὺς

καὶ ἡμᾶς κατὰ τὸ μέγα σου ἔλεος, πάσης ἀνάγκης ῥυόμενος.

**(ἐκφώνως)** Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Ι. Εἰρήνη πᾶσι.
Λ. Καὶ τῷ πνεύματί σου.
Δ. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Λ. Σοί, Κύριε.

**Ι. Τὴν εὐχὴν τῆς κεφαλοκλισίας**

Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα, καὶ εὐλόγησον πάντας ἡμᾶς τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.

**(ἐκφώνως)** Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγα-

θῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

### ΒΑΠΤΙΣΙΣ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ ΡΑΝΤΙΣΜΟΣ

Ι. **Εἶτα λαβὼν ὁ ἱερεὺς τὸν τίμιον σταυρόν, βαπτίζει αὐτὸν εἰς τὰ ὕδατα ἐκ τρίτου ὄρθιον, ψάλλων τὸ τροπάριον. Ἦχος α΄**

Σῶσον, Κύριε, τὸν λαόν σου* καὶ εὐλόγησον τὴν κληρονομίαν σου,* νίκας τοῖς βασιλεῦσι* κατὰ βαρβάρων δωρούμενος* καὶ τὸ σὸν φυλάττων* διὰ τοῦ σταυροῦ σου πολίτευμα.

Λ. Σῶσον, Κύριε, τὸν λαόν σου... **(δίς).**

Ι. **Ραντίζων τὸν λαόν, ψάλλει τὸ τροπάριον. Ἦχος β΄**

Τῶν σῶν δωρεῶν* ἀξίους ἡμᾶς ποίησον,* Θεοτόκε παρθένε,* παρορῶσα τὰ πλημμελήματα ἡμῶν* καὶ παρέχουσα ἰάματα* τοῖς ἐν πίστει λαμβάνουσι* τὴν εὐλογίαν σου, ἄχραντε.

**Εἶτα ἀσπάζεται ὁ ἱερεὺς τὸν τίμιον σταυρόν, ὡσαύτως καὶ πᾶς ὁ λαός. Καὶ ῥαντίζει ἅπαντα τὸν ναὸν καὶ τὸν λαὸν μετὰ τοῦ ἁγιάσματος.**

Λ. **Ἐν τῷ ῥαντίζειν τὸν ἱερέα ψάλλονται τροπάρια τῶν ἁγίων Ἀναργύρων ἢ τῆς Θεοτόκου τὰ πρῶτα τῆς Ὀκτωήχου μέχρι τῆς ἀπορραντίσεως.**

### Η ΕΚΤΕΝΗΣ

Δ. Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτῶν καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν, ἐπὶ πλέον τοῦ συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ πάσης ἐπισκοπῆς ὀρθοδόξων, ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν **(δεῖνος)**, ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν πάντων τῶν πρωτοϊερέων, ἱερέων, ἱερομονάχων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ πάντων τῶν ὀρθοδόξων χριστιανῶν, τῶν καρποφορούντων, καλλιεργούντων, συμψαλλόντων, διακονούντων καὶ διακονησάντων ἡμῖν ἐν τῷ ἁγίῳ πανσέπτῳ ναῷ τούτῳ, ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν

αὐτῶν, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γʹ).

Δ. Ἔτι δεόμεθα ὑπὲρ πάντων τῶν θλιβομένων καὶ ἀρρωστούντων καὶ τοῦ ἐλέους Κυρίου ἐπιδεομένων καὶ ὑπὲρ τοῦ λυτρωθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κινδύνου, πειρασμοῦ καὶ ἐπαναστάσεως ἐθνῶν καὶ ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γʹ).

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν φιλάνθρωπον Θεὸν ἡμῶν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, τοῦ ἐλεῆσαι ἡμᾶς καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γʹ).

Δ. Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν ἀσθενείαις καμνόντων καὶ ὑπὲρ τῶν δι᾽ εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γʹ).

Δ. Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν ἐξορίαις καὶ αἰχμαλωσίαις κακουχουμένων χριστιανῶν ἀδελφῶν ἡμῶν καὶ τοῦ ἵλεων αὐτοῖς ἐπὶ σωτηρίῳ ἀνακλήσει γενέσθαι τὸν φιλάνθρωπον Θεὸν ἡμῶν, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γʹ).

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ῥυσθῆναι τὴν πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου καὶ

ὑπὲρ τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι Κύριον τὸν Θεὸν πᾶσαν ὀργὴν πονηρὰν τὴν καθ' ἡμῶν κινουμένην καὶ ἐλεῆσαι ἡμᾶς, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς τῆς αἰωνίου τῶν ἁμαρτωλῶν κολάσεως καὶ ὑπὲρ τοῦ καταξιωθῆναι τῆς τῶν οὐρανῶν βασιλείας, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ **(δεῖνος)**, ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον ἔλεος, εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Λ. Κύριε, ἐλέησον (γ').

Ι. Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακρὰν καὶ ἵλεως, ἵλεως γενοῦ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύ-

ματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Δ. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Λ. Σοί, Κύριε.

**Ι. Τὴν εὐχὴν τῆς κεφαλοκλισίας**

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν τιμίων ἐπουρανίων θείων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν ἁγίων, εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν, δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν, σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον, εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Λ. Ἀμήν.

Δ. Σοφία.

Λ. Εὐλόγησον.

Ι. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ι. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λ. Τὴν τιμιωτέραν τῶν χερουβὶμ* καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφίμ,* τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Ι. Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Λ. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Κύριε, ἐλέησον (γ').

Εὐλόγησον.

**Ι. Τὴν ἀπόλυσιν**

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρ-

τύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, **(τοῦ ἁγίου τοῦ ναοῦ)**, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, **(τοῦ ἁγίου τῆς ἡμέρας)**, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Λ. Ἀμήν.

# ΠΑΡΑΡΤΗΜΑ

## Α΄
## ΕΥΧΑΙ ΤΟΥ ΑΓΙΑΣΜΟΥ

### 1. «Εὐχὴ περὶ τῶν προσφερομένων ἐλαίων καὶ ὑδάτων» (5)

**(Εὐχολόγιον Σεραπίωνος Θμούεως, ἐκδ. P. Rodopoulos, The Sacramentary of Sarapion, Thessaloniki 1967, σελ. 127-128)**

Εὐλογοῦμεν διὰ τοῦ ὀνόματος τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ τὰ κτίσματα ταῦτα, τὸ ὄνομα τοῦ παθόντος ὀνομάζομεν, τοῦ σταυρωθέντος καὶ ἀναστάντος καὶ καθιζομένου ἐν δεξιᾷ τοῦ ἀγενήτου, ἐπὶ τὸ ἔλαιον τοῦτο. Χάρισαι δύναμιν θεραπευτικὴν ἐπὶ τὰ κτίσματα ταῦτα, ὅπως πᾶς πυρετὸς καὶ πᾶν δαιμόνιον καὶ πᾶσα νόσος διὰ τῆς πόσεως καὶ τῆς ἀλείψεως ἀπαλλαγῇ, καὶ γένηται φάρμακον θεραπευτικὸν καὶ φάρμακον ὁλοκληρίας ἡ τῶν κτισμάτων τούτων μετάληψις ἐν ὀνόματι τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοι ἡ δόξα καὶ τὸ κράτος ἐν ἁγίῳ Πνεύματι εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

### 2. «Εὐχὴ εἰς ἔλαιον νοσούντων ἢ εἰς ἄρτον ἢ εἰς ὕδωρ» (12)

**(Εὐχολόγιον Σεραπίωνος Θμούεως, ἔνθ' ἀνωτ., σελ. 134)**

Ἐπικαλούμεθά σε τὸν ἔχοντα πᾶσαν ἐξουσίαν καὶ δύναμιν, τὸν σωτῆρα πάντων ἀνθρώπων, Πατέρα τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, καὶ δεόμεθα ὥστε ἐκπέμψαι δύναμιν ἰατικὴν ἀπὸ τῶν οὐρανῶν τοῦ μονογενοῦς ἐπὶ τὸ ἔλαιον τοῦτο, ἵνα γένηται τοῖς χριομένοις (ἢ μεταλαμβάνουσι τῶν κτισμάτων σου τούτων) εἰς ἀποβολὴν πάσης νόσου καὶ πάσης μαλακίας, εἰς ἀλεξιφάρμακον παντὸς δαιμονίου, εἰς ἐκχωρισμὸν παντὸς πνεύματος ἀκα-

θάρτου, εἰς ἀφορισμὸν παντὸς πνεύματος πονηροῦ, εἰς ἐκδιωγμὸν παντὸς πυρετοῦ καὶ ῥίγους καὶ πάσης ἀσθενείας, εἰς χάριν ἀγαθὴν καὶ ἄφεσιν ἁμαρτημάτων, εἰς φάρμακον ζωῆς καὶ σωτηρίας, εἰς ὑγείαν καὶ ὁλοκληρίαν ψυχῆς, σώματος, πνεύματος, εἰς ῥῶσιν τελείαν. Φοβηθήτω, δέσποτα, πᾶσα ἐνέργεια σατανική, πᾶν δαιμόνιον, πᾶσα ἐπιβουλὴ τοῦ ἀντικειμένου, πᾶσα πληγή, πᾶσα μάστιξ, πᾶσα ἀλγηδών, πᾶς πόνος ἢ ῥάπισμα ἢ ἐντίναγμα ἢ σκίασμα πονηρὸν τὸ ὄνομά σου τὸ ἅγιον, ὃ ἐπεκαλεσάμεθα νῦν ἡμεῖς καὶ τὸ ὄνομα τοῦ μονογενοῦς, καὶ ἀπερχέσθωσαν ἀπὸ τῶν ἐντὸς (καὶ) τῶν ἐκτὸς τῶν δούλων σου τούτων· ἵνα δοξασθῇ τὸ ὄνομα τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος καὶ ἀναστάντος, τοῦ τὰς νόσους ἡμῶν καὶ τὰς ἀσθενείας ἀναλαβόντος Ἰησοῦ Χριστοῦ καὶ ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς· ὅτι δι᾽ αὐτοῦ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

**3. «Εὐχὴ εἰς τὸ ὕδωρ τῶν ἁγίων βαπτισμάτων τῶν ἁγίων Θεοφανείων, λεγομένη ἐν τῇ φιάλῃ τοῦ μεσιαύλου τῆς Ἐκκλησίας»**

**(Κῶδ. Barber. Gr. 336. φ. 118 r-v. Πρβλ. καὶ Ἀθηνῶν 665, 713, 2047 καὶ Πάτμου 105)**

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωυσέως τῷ λαῷ εἰς γλυκὺ μεταποιήσας καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἁγιάσας τῇ ἀχράντῳ σου ἐπιφανείᾳ, αὐτὸς καὶ νῦν, δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο καὶ ποίησον αὐτὸ γενέσθαι πᾶσι τοῖς ἀρυομένοις καὶ τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ εὐλογίας πηγήν, ἰατρείαν παθῶν, ἁγιασμὸν οἴκων, πάσης ἐπιβουλῆς ὁρατῆς τε καὶ ἀοράτου ἀλεξητήριον. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς (καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν).

**4. «Εὐχὴ ἐπὶ διακονίας, λεγομένη ἐν τῷ ἐμβάτῃ ἐκφωνητικῶς»**
**(Κώδ. Barber. Gr. 336, φ. 224r)**

Κτίστα τῶν ὑδάτων, δημιουργὲ τῶν ἁπάντων, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντα ποιῶν καὶ μετασκευάζων, μεταποίησον καὶ μετασκεύασον καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο καὶ ἐνίσχυσον αὐτὸ κατὰ πάσης ἐπικειμένης ἐνεργείας· καὶ δὸς πᾶσιν τοῖς ἐξ αὐτοῦ χριομένοις εἴτε διὰ πόσεως, εἴτε διὰ νίψεως, ἢ ῥαντίσεως, εἰς ὑγείαν ψυχῆς καὶ σώματος, εἰς ἀπαλλαγὴν παντὸς πάθους καὶ πάσης νόσου. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις (καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν).

**5. «Εὐχὴ ἐπὶ ὕδατος ἀρρώστου καὶ φυλακῆς οἴκου»**
**(Κώδ. Σινᾶ 921, 982 καὶ 987)**

Ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος, ὁ ποιῶν θαυμάσια πολλά, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· ἐλθέ, παρακαλούντων ἡμῶν, δέσποτα Κύριε, καὶ κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐπὶ τὸ ὕδωρ τοῦτο καὶ ἁγίασον αὐτὸ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ σου Πνεύματος, ὥστε γενέσθαι τοῖς πίνουσιν ἐξ αὐτοῦ ἢ ἀπολουμένοις εἰς παθῶν ἀπαλλαγήν, εἰς ἁμαρτημάτων ἄφεσιν, εἰς ἀπελατήριον παντὸς πνεύματος ἀκαθάρτου, εἰς ἀπολύτρωσιν παντὸς κακοῦ, εἰς στηριγμὸν τῆς πίστεως, εἰς δικαιοσύνην, εἰς ἁγιασμόν, εἰς Πνεύματος ἁγίου μετουσίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς ἔλεον καὶ οἰκτιρμοὺς τῆς σῆς ἀγαθότητος. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

### 6. Εὐχὴ ἁγιασμοῦ

(Π. Τρεμπέλα, Μικρὸν Εὐχολόγιον, τ. Β', Ἀθῆναι 1955, σελ. 67-69)

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος, ἡ προαιώνιος φύσις, ἡ ὑπερούσιος καὶ ἀτελεύτητος μεγαλειότης, ἡ ἀνεξιχνίαστος δύναμις, ἡ ἄρρητος ἐξουσία, ἡ τῆς σοφίας πηγή, τὸ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστον πέλαγος· σύ, φιλάνθρωπε δέσποτα, ὁ τῶν προαιωνίων θαυμασίων Θεός, ὃν οὔτε ἔννοια καταλαβέσθαι δύναται, οὔτε λόγος ἑρμηνεῦσαι ἰσχύει, ἐπίβλεψον καὶ τανῦν ἐφ' ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ δὸς ἐν τῇ διανοίᾳ ἡμῶν πνεῦμα σοφίας καὶ συνέσεως, ἄξιον τοῦ εἰς τὰ ὦτα φθάσαι τῆς σῆς ἀγαθότητος καὶ τὸν ἔλεον ἐπισπάσασθαι τῆς σῆς χάριτος· ἐκ σοῦ γὰρ καὶ τῆς σῆς ζωοποιοῦ δωρεᾶς καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς κατὰ τὸ θέλημα τὸ σὸν καὶ τῆς εὐδοκίας τοῖς ἀνθρώποις ὑπάρχει· καὶ κατάπεμψον ἡμῖν τὴν σὴν εὐλογίαν καὶ τῶν ἰαμάτων τὴν χάριν ἐπὶ τὸ ὕδωρ τοῦτο· ὁ τὸ λουτρὸν τῆς παλιγγενεσίας τῷ γένει ἡμῶν δωρησάμενος πρὸς ἀπόνιψιν τῶν τῆς ἁμαρτίας μολυσμῶν καὶ ἀνάκτησιν τῶν ἐπισυμβαινόντων ἡμῖν παντοίων ἀρρωστημάτων· καὶ καταξίωσον ἡμᾶς, ἐρραντισμένους τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένους τὸ σῶμα ὕδατι καθαρῷ, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφορεῖν καὶ αὐξάνεσθαι καὶ τὴν εἰς τοὺς δεομένους συμπάθειαν ἀόκνῳ σπουδῇ πρὸς θεραπείαν τῶν πεπονηκότων ἀδελφῶν ἡμῶν διὰ παντὸς ἐπιδείκνυσθαι καὶ τῆς σῆς εὐσπλαγχνίας καταξιοῦσθαι, τῶν τε ψυχικῶν ἀρρωστημάτων καὶ τῶν σωματικῶν ἀλγηδόνων τὴν ἀπολύτρωσιν κομιζομένοις· καὶ κατάπεμψον ἡμῖν τὰ τῆς σῆς φιλανθρώπου δωρεᾶς ἰάματα ἐν τῷ παρόντι ὕδατι· οὐ γὰρ πρὸς ἡδονὴν σαρκός, ἀλλὰ πρὸς ἴασιν ψυχῆς τε καὶ σώματος ἡ ἐπιτελουμένη παρ' ἡμῶν λατρεία πνευματική. Ναί, δέσποτα, τῇ ταπεινώσει ἡμῶν ἐπικαμπτόμενος, ὁ δοὺς ἡμῖν τὴν χιονοφεγγῆ ταύτην φο-

ρέσαι στολὴν ἐξ ὕδατός τε καὶ Πνεύματος, καὶ διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ τὴν σὴν εὐλογίαν ἡμῖν κατάπεμψον τοὺς ῥύπους τῶν παθῶν ἀποσμήχουσαν. Πρεσβείαις καὶ ἱκεσίαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτου, Θαλλελαίου καὶ Τρύφωνος, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν διδασκάλων καὶ ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου, Συμεὼν τοῦ ἐν Μάνδρᾳ, τῶν ἁγίων Μακκαβαίων, **(τοῦ ἁγίου τῆς μονῆς)** καὶ πάντων τῶν ἁγίων· ὧν ταῖς πρεσβείαις φύλαττε, Κύριε, τοὺς δούλους σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν (γ)· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα· χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Μνήσθητι, Κύριε, καὶ παντὸς ἱερατικοῦ τάγματος. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν. Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων καὶ ἐπίσκεψαι πάντας καὶ ἴασαι κατὰ τὸ μέγα σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

### Β'

## ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ
### (συντετμημένη)

**Τελεσθεῖσα εἰς τὰ ἐγκαίνια τοῦ νέου κτιρίου τῆς Θεολογικῆς Σχολῆς τοῦ Πανεπιστημίου Θεσσαλονίκης τὴν 11ην Μαΐου 1971**

### ΕΝΑΡΞΙΣ

Δ. Εὐλόγησον, δέσποτα.
Αρ. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν...
Χριστὸς ἀνέστη...
Λ. Χριστὸς ἀνέστη... **(δίς).**

**Ἦχος γ'**

Μέγαν εὕρατο...

**Ἦχος πλ. α'**

Ἀποστόλων τὸν ζῆλον...
Δ. Τοῦ Κυρίου δεηθῶμεν.
Λ. Κύριε, ἐλέησον.
Αρ. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν...
Λ. Ἅγιος ὁ Θεός... (γ').
Δόξα...Καὶ νῦν...
Ἅγιος ἀθάνατος...
Ἅγιος ὁ Θεός...

### ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

Α. Παροιμιῶν τὸ ἀνάγνωσμα **(θ' 1-6).**
Δ. Σοφία· πρόσχωμεν.

**Α. Ἀναγινώσκει τὴν Παροιμίαν**

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύ-

λους ἑπτά, ἔσφαξε τὰ ἑαυτῆς θύματα, ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα· Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε, φάγετε τῶν ἐμῶν ἄρτων καὶ πίετε οἶνον, ὃν ἐκέρασα ὑμῖν. Ἀπολείπετε ἀφροσύνην, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε καὶ ζητήσατε φρόνησιν καὶ κατορθώσατε γνώσει σύνεσιν.

Δ. Πρόσχωμεν.

**Α. Τὸ προκείμενον τοῦ Ἀποστόλου. Ψαλμ. κς΄**

Κύριος φωτισμός μου καὶ σωτήρ μου.
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Δ. Σοφία.

Α. Πρὸς Θεσσαλονικεῖς Α΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα **(δ΄ 5-6. 8-11. 22-24).**

Δ. Πρόσχωμεν.

**Α. Ἀναγινώσκει τὸν Ἀπόστολον**

Ἀδελφοί. Πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους. Ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας. Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν ἅμα σὺν αὐτῷ ζήσωμεν. Διὸ παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε ὁ εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ἡμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Π ιστὸς ὁ καλῶν ἡμᾶς, ὃς καὶ ποιήσει.

Αρ. Εἰρήνη σοι.

Λ. Ἀλληλούϊα (γ').

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Αρ. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Αρ. Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (ζ' 37-39. η' 12-13. 31-32)

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Αρ. Ἀναγινώσκει τὸ Εὐαγγέλιον**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, «ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος». Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησε, λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε καὶ γνώσεσθε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

## Η ΣΥΝΑΠΤΗ

Δ. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης...

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου...

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν...

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῶν εὐσεβεστάτων βασιλέων ἡμῶν...

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἁγιασθῆναι...

Λ. Κύριε, ἐλέησον.
Δ. Ὑπὲρ τοῦ καταφοιτῆσαι...
Λ. Κύριε, ἐλέησον.
Δ. Ὑπὲρ τοῦ γενέσθαι...
Λ. Κύριε, ἐλέησον.
Δ. Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς...
Λ. Κύριε, ἐλέησον.
Δ. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς...
Λ. Κύριε, ἐλέησον.
Δ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Λ. Κύριε, ἐλέησον.
Δ. Τῆς παναγίας, ἀχράντου...
Λ. Σοί, Κύριε.

## Η ΕΥΧΗ ΤΟΥ ΑΓΙΑΣΜΟΥ

Αρ. Κτίστα τῶν ὑδάτων, δημιουργὲ τῶν ἁπάντων, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντα ποιῶν καὶ μετασκευάζων, μεταποίησον καὶ μετασκεύασον καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου σου Πνεύματος **(τούτου λεγομένου εὐλογεῖ διὰ τῆς χειρὸς τὸ ὕδωρ σταυροειδῶς)** καὶ ἐνίσχυσον αὐτὸ κατὰ πάσης ἀντικειμένης ἐνεργείας. Ποίησον αὐτὸ γενέσθαι πᾶσι τοῖς ἀρυομένοις καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ εὐλογίας πηγήν, ἰατρείαν παθῶν, πάσης ἐπιβουλῆς ὁρατῆς καὶ ἀοράτου ἀλεξητήριον. Τὸν δὲ διὰ τοῦ ῥαντισμοῦ αὐτοῦ ἐγκαινιζόμενον οἶκον τοῦτον εὐλόγησον καὶ ἁγίασον, συντηρῶν αὐτὸν διὰ παντὸς ἀσάλευτον. Τὸ Πνεῦμά σου τὸ ἅγιον ἐγκαίνισον ἐν αὐτῷ καὶ ἐν τοῖς διδάσκουσι καὶ διδασκομένοις ἐν αὐτῷ, ἀναδεικνύων αὐτόν τε καὶ αὐτοὺς οἴκους φωτὸς καὶ ναοὺς σοφίας.

**(ἐκφώνως)** Ὅτι σὺ εἶ ὁ φωτισμός, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Αρ. Εἰρήνη πᾶσι.
Λ. Καὶ τῷ πνεύματί σου.
Δ. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Λ. Σοί, Κύριε.

**Αρ. Τὴν εὐχὴν τῆς κεφαλοκλισίας**

Κλῖνον, Κύριε, τὸ οὖς σου...
**(ἐκφώνως)** Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν...

Λ. Ἀμήν.

**Αρ. Λαβὼν τὸν τίμιον σταυρὸν καὶ βαπτίζων τρὶς εἰς τὸ ὕδωρ ὄρθιον, ψάλλει·**

**Ἦχος α΄**

Σῶσον, Κύριε, τὸν λαόν σου...

Λ. Σῶσον, Κύριε, τὸν λαόν σου...

**Ἦχος β΄**

Τῶν σῶν δωρεῶν...

**Τούτων ψαλλομένων ὁ ἀρχιερεὺς ραντίζει τὸν λαὸν καὶ τὸν οἶκον**

## Η ΕΚΤΕΝΗΣ

Δ. Ἐλέησον ἡμᾶς, ὁ Θεός...
Λ. Κύριε, ἐλέησον (γ΄).
Δ. Ἔτι δεόμεθα ὑπὲρ ὑγείας, σωτηρίας, συγχωρήσεως, διαφυλάξεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν διδασκόντων, διδασκομένων καὶ ἐργαζομένων ἐν τῷ Πανεπιστημίῳ τούτῳ καὶ παντὸς τοῦ πε-

ριεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Λ. Κύριε, ἐλέησον (γ΄).

Δ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι...

Λ. Κύριε, ἐλέησον (γ΄).

Αρ. Ἐπάκουσον ἡμῶν, ὁ Θεός...
Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος...

## ΑΠΟΛΥΣΙΣ

Αρ. Δόξα σοι, ὁ Θεός...

Α. Δόξα Πατρὶ...
Καὶ νῦν καὶ ἀεί...
Κύριε, ἐλέησον (γ΄).
Εὐλόγησον.

Αρ. Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινός...
Χριστὸς ἀνέστη...

Λ. Ἀληθῶς ἀνέστη ὁ Κύριος.

# ΑΚΟΛΟΥΘΙΑ
# ΕΙΣ
# ΦΟΒΟΝ ΣΕΙΣΜΟΥ

# ΕΙΣΑΓΩΓΗ

Τὸ ἀνὰ χεῖρας τεῦχος τῶν «Κειμένων Λειτουργικῆς» συνετάγη ἀμέσως μετὰ τὸν φοβερὸν σεισμὸν τῆς 20ῆς Ἰουνίου 1978, ὁ ὁποῖος συνεκλόνισε τὴν πόλιν τῆς Θεσσαλονίκης. Εἰς αὐτὸ συνεκεντρώθη πᾶν ὅ,τι ἡ λειτουργικὴ παράδοσις τῆς Ἐκκλησίας ἀπεθησαύρισεν εἰς τὰ λειτουργικά της βιβλία, χειρόγραφα καὶ ἔντυπα, σχέσιν ἔχον πρὸς «τὴν φοβερὰν τοῦ σεισμοῦ ἀπειλήν». Ὁ λαὸς τοῦ Θεοῦ, εὑρεθεὶς πολλάκις κατὰ τοὺς μακροὺς αἰῶνας τοῦ χριστιανικοῦ βίου πρὸ παρομοίων συμφορῶν, εὗρεν εἰς τὸν Θεὸν τὸ στήριγμα καὶ τὴν παραμυθίαν του. Τὸν πόνον του κατὰ τὴν δοκιμασίαν, ἀλλὰ καὶ τὴν ἐλπίδα του διὰ τὴν θεόθεν σωτηρίαν καὶ τὴν εὐχαριστίαν του μετ' αὐτήν, ἐξέφρασε διὰ τῆς συνθέσεως εὐχῶν καὶ ὕμνων, τῆς συστάσεως λιτανειῶν καὶ τῆς ἀναγραφῆς τῆς ἀναμνήσεως τῶν γεγονότων αὐτῶν εἰς τὸ ἑορτολόγιον. Εἶναι χαρακτηριστικὸν ὅτι διὰ τὰ περισσότερα τοὐλάχιστον τῶν κειμένων τούτων εἶναι γνωστὰ τὰ περιστατικὰ τῆς συνθέσεώς των, εἰς τὰ ὁποῖα καὶ ὑπάρχουν σαφεῖς ἀναφοραὶ ἢ ὑπαινιγμοί. Πολλὰ ἐξ αὐτῶν εἶναι τόσον πηγαῖα, ὥστε φαίνεται ὅτι ἐγράφησαν ὑπὸ τὴν ἄμεσον ἐντύπωσιν τῶν ἑκάστοτε φοβερῶν συμβάντων. Ὁ τρόπος ἀντιμετωπίσεώς των εἶναι γνησίως βιβλικὸς καὶ θεολογικός· ὁ παντοδύναμος Θεὸς ἐπιτρέπει τοὺς σεισμοὺς καὶ τὰς ἄλλας φυσικὰς καταστροφάς, χρησιμοποιῶν ἐν τῇ ἀγάπῃ Του αὐτὰς ὡς παιδαγωγικὸν μέσον διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Οὕτως, ἐνῷ ἡ ἁμαρτία προκαλεῖ τὴν φοβερὰν ὀργὴν τοῦ δικαίου Θεοῦ, ἡ μετάνοια καὶ ἡ ἐπιστροφὴ εἰς Αὐτὸν διεγείρει τὴν ἀγάπην καὶ τὸ ἔλεός Του. Ἀκριβῶς δὲ τὴν θεολογικὴν αὐτὴν ἔννοιαν καὶ τὸ ἠθικὸν δίδαγμα τῶν σεισμῶν, τὸ ὁποῖον εἶναι διάχυτον εἰς τοὺς ὕμνους, τὰς εὐχὰς καὶ τὰ ἄλλα λειτουργικὰ στοιχεῖα, τὰ ὁποῖα ἐξ ἀφορμῆς αὐτῶν συνετέθησαν, ἐκφράζουν ἐπιγραμματικῶς τὰ δύο δίστιχα τοῦ Μηνολογίου (26

'Οκτωβρίου - 26 'Ιανουαρίου, 16 Αὐγούστου), ποιηθέντα ὑπὸ *Χριστοφόρου τοῦ Μυτιληναίου*:

> «Ἔσεισας, ἀλλ' ἔστησας αὖθις γῆν, Λόγε,
> τῆς σῆς γὰρ ὀργῆς οἰκτός ἐστι τὸ πλέον».
> «Στῆσον φόβῳ σῷ ἡμῶν τὰς διανοίας
> τῇ σαλεύσει, δέσποτα, γῆς θεμελίων».

Ἡ ἀναζήτησις τῶν κειμένων δὲν περιωρίσθη μόνον εἰς τὰ παλαιά, τὰ κλασσικὰ οὕτως εἰπεῖν, κείμενα τῆς λειτουργικῆς γραμματείας. 'Αρχίζει ἀπὸ αὐτὰ καὶ φθάνει μέχρι τῶν ἡμερῶν μας. Τοῦτο ἔγινεν, ὄχι μόνον διότι τὰ ἀρχαῖα κείμενα εἶναι σχετικῶς ὀλίγα, ἀλλὰ καὶ διὰ νὰ φανῇ ἡ ἑνότης τῆς λειτουργικῆς παραγωγῆς τῆς 'Εκκλησίας. Παλαιὰ καὶ νέα ἰσοτίμως συμπλέκονται εἰς τὴν λειτουργικήν μας παράδοσιν καὶ δίδουν πάντοτε νέας καὶ πάντοτε ἐπικαίρους μορφάς. Κάθε ἐποχὴ προσφέρει τὸ ἰδικόν της καὶ ὅλα ὁμοῦ συνυπάρχουν εἰς τὴν λειτουργικὴν πρᾶξιν καὶ ἐκφράζουν τὴν ἑνότητα τῆς λειτουργικῆς ζωῆς τοῦ λαοῦ τοῦ Θεοῦ.

Τὰ διάσπαρτα ταῦτα λειτουργικὰ στοιχεῖα συνηρμολογήθησαν εἰς μίαν πλήρη ἀκολουθίαν, περιλαμβάνουσαν, κατὰ τὴν ἰσχύουσαν μοναχικὴν τάξιν, ἑσπερινόν, ὄρθρον καὶ θείαν λειτουργίαν. Εἰς τὸ παράρτημα δ' ἐτέθησαν τὰ περισσεύσαντα, ἤτοι εὐχαί, πλῆρες κοντάκιον καὶ ἐκλογὴ ἐκ τῶν ψαλμῶν.

Εἰς τὰ ἔντυπα Εὐχολόγια περιλαμβάνεται ἀκολουθία εἰς σεισμόν, ἐπιγραφομένη ἐκ τοῦ πρώτου στοιχείου αὐτῆς «Κανὼν εἰς φόβον σεισμοῦ». Ὁ κανὼν οὗτος («Ὡς φοβερὰ ἡ ὀργή σου, ἐξ ἧς ἡμᾶς...») εἶναι τοῦ πλ. β' ἤχου καὶ φέρει ἀκροστιχίδα «Ὦ Χριστέ, τῆς γῆς τὸν κλόνον παῦσον τάχος. 'Ιωσήφ». Κατὰ τὴν ἀκροστιχίδα, ποιητὴς αὐτοῦ εἶναι ὁ 'Ιωσήφ. 'Εκ τῶν δύο ὁμωνύμων μεγάλων ποιητῶν, 'Ιωσὴφ τοῦ Στουδίτου μητροπολίτου Θεσσαλονίκης (762-832) καὶ 'Ιωσὴφ τοῦ Ὑμνογράφου τοῦ Σικελοῦ (816-883), ἀποδίδεται συνήθως εἰς τὸν δεύτερον, ἂν καὶ ἡ ὕπαρξις καὶ β' ᾠδῆς εἰς αὐτὸν συνηγορεῖ μᾶλλον ὑπὲρ τοῦ πρώτου. Ὁ

ἴδιος κανών, μέ τινας διαφόρους ἀναγνώσεις, εὕρηται καὶ εἰς τὸ Μηναῖον τὴν 26ην Ὀκτωβρίου, ἡμέραν κατὰ τὴν ὁποίαν ἄγεται ἡ «μνήμη τοῦ μεγάλου καὶ φρικώδους σεισμοῦ», τοῦ γενομένου ἐν Κωνσταντινουπόλει «τῷ 24ῳ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου», ἤτοι τὸ ἔτος 740. Καὶ οἱ δύο ὑμνογράφοι εἶναι μεταγενέστεροι. Ὁ κανὼν θὰ ἐγράφη εἴτε διὰ τὴν ἐπέτειον τῆς ἀναμνήσεως τοῦ σεισμοῦ ἐκείνου, εἴτε ἐπ' εὐκαιρίᾳ ἄλλου τινὸς σεισμοῦ γενομένου κατὰ τὰς ἡμέρας αὐτῶν καὶ ἐκ τῶν ὑστέρων συνεδέθη πρὸς τὴν 26ην Ὀκτωβρίου. Γνωστοὶ μεγάλοι σεισμοὶ ἐγένοντο εἰς τὴν Κωνσταντινούπολιν καὶ τὴν περιοχὴν αὐτῆς ἐπὶ μὲν τῶν ἡμερῶν τοῦ Στουδίτου τὴν 9ην Φεβρουαρίου 790, 4ην Μαΐου 796 καὶ 5ην Μαΐου 824, ἐπὶ δὲ τῶν τοῦ Σικελοῦ τὸ 862, 864 καὶ τὴν 9ην Ἰανουαρίου τοῦ 869 (βλ. *V. Grumel*, Traité d'Études Byzantines, τ. I, La Chronologie, Paris 1958, σελ. 479). Ὅπως εἰς τὸ Εὐχολόγιον οὕτω καὶ εἰς τὰ χειρόγραφα ὁ κανὼν ἐπιγράφεται «κανὼν εἰς φόβον σεισμοῦ» (Μ. Λαύρας 21, Σινᾶ 987). Τοῦτο συνηγορεῖ ὑπὲρ τῆς μεταγενεστέρας συνδέσεως τοῦ κανόνος τούτου πρὸς τὴν μνήμην τοῦ σεισμοῦ τοῦ 740.

Ὁ κανὼν εἰς τὸ Εὐχολόγιον στερεῖται μεσῳδίου καθίσματος ἀπὸ γ' ᾠδῆς καὶ κοντακίου ἀπὸ ς', μετ' αὐτὸν δὲ ἀκολουθοῦν ἓξ τροπάρια «τοῦ σεισμοῦ», τρία τοῦ α' ἤχου προσόμοια τοῦ «Τῶν οὐρανίων ταγμάτων» («Ὁ τὰ θεμέλια...», «Ὡς πολυέλεος μόνος...» καὶ «Τῆς νῦν δικαίας σου...») καὶ τρία ἰδιόμελα, ἓν τοῦ β' ἤχου («Τῆς γῆς συνταρασσομένης...») καὶ δύο τοῦ πλ. β' («Νινευῖται τοῖς παραπτώμασι...» καὶ «Φοβερὸς εἶ, Κύριε...»). Ἡ σειρὰ τῶν τροπαρίων κατακλείεται διὰ δοξαστικοῦ τοῦ πλ. β' ἤχου «εἰς πᾶσαν λιτὴν» («Οὐράνιε βασιλεῦ...»). Πάντα τὰ τροπάρια ταῦτα εἰς τὸ Εὐχολόγιον φέρονται ἀνωνύμως. Τὰ τρία ἰδιόμελα εὕρηνται καὶ εἰς τὸ Μηναῖον ὡς ἀπόστιχα τοῦ ἑσπερινοῦ τῆς 26ης Ὀκτωβρίου, κατ' ἄλλην ὅμως σειρὰν («Τῆς γῆς συνταρασσομένης...», «Φοβερὸς εἶ, Κύριε...» καὶ «Νινευῖται τοῖς παραπτώμασι...»). Ἐκεῖ ἀποδίδονται εἰς Συμεὼν τὸν Θαυμα-

στορείτην. Εἰς τὸν Βίον τοῦ ὁσίου τούτου, τὸν συγγραφέντα ὑπὸ τοῦ μαθητοῦ του Ἀρκαδίου, ἀπαντοῦν πράγματι τρία τροπάρια, ἐκ τῶν ὁποίων τὸ πρῶτον εἶναι τὸ «Νινευῖται τοῖς παραπτώμασι...» (§ ρε΄). Κατὰ τὸν Βίον, ὁ ἅγιος συνέθεσε τὸ τροπάριον ὀλίγον πρὸ τοῦ μεγάλου σεισμοῦ τῆς 15ης Αὐγούστου τοῦ ἔτους 554: «Καὶ διὰ τοῦ ἐν αὐτῷ ἁγίου Πνεύματος ἐποιήσατο (ὁ Συμεὼν) εὐθέως τροπάριν καὶ ἐλάλησεν αὐτό... καὶ συναθροίσας ἡμᾶς, ἐδίδαξε. Καὶ ἐποίησεν ἡμᾶς καὶ τοὺς λαοὺς λιτανεῦσαι, ψάλλοντας οὕτως· 'Νινευῖται...'. Ἐποίησε δὲ ἡμᾶς ψάλλειν οὕτως καὶ λιτανεύειν ἐπὶ ἑξήκοντα ἡμέρας» (*Ἀ. Παπαδοπούλου - Κεραμέως*, Συμεὼν ὁ Θαυμαστορείτης ὡς ὑμνογράφος καὶ μελῳδός, ἐν «Vizantijskij Vremennik», τ. 1 (1894), σελ. 146-147 καὶ 149). Εἰς τὸν Βίον δὲν δηλοῦται ὁ ἦχος κατὰ τὸν ὁποῖον ὁ Συμεὼν ἐμέλισε τὸ τροπάριον, εἰς τὸ Εὐχολόγιον ὅμως καὶ τὸ Μηναῖον χαρακτηρίζεται τοῦτο ὡς τοῦ πλ. β΄ ἤχου. Περὶ τὸ τέλος εἰς τὰ ἔντυπα ἔχει τροποποιηθῆ. Εἰς τὴν κατωτέρω δημοσιευομένην ἀκολουθίαν ἐκδίδομεν αὐτὸ κατὰ μὲν τὸ πρωτότυπον κείμενον, τὸ διασωθὲν εἰς τὸν Βίον, ὡς τρίτον στιχηρὸν τοῦ ἑσπερινοῦ, κατὰ δὲ τὸ κείμενον τῶν ἐντύπων ὡς τρίτον στιχηρὸν τῶν αἴνων.

Τὰ ἄλλα δύο ἰδιόμελα τὰ ἀποδιδόμενα ὑπὸ τοῦ Μηναίου εἰς τὸν Συμεὼν ἔχουν ἆρά γε πράγματι ποιηθῆ ὑπ' αὐτοῦ, ἢ τὰ ἀπέδωσαν ἐσφαλμένως εἰς αὐτὸν παρασυρθέντες ἀπὸ τὸ «Νινευῖται...»; Εἰς τὸν βίον δὲν ἀναφέρονται αὐτά, ἀλλ' ἄλλα δύο τὸ «Θαυμάσια τὰ ἔργα σου...» (§ ρς΄) καὶ τὸ «Ὡς ἐπὶ Μωσέως...» (§ ρζ΄), μὴ ὑπάρχοντα εἰς τὰ ἔντυπα. Τὸ πρῶτον συνέθεσεν ὁ Συμεὼν ἀμέσως μετὰ τὸν σεισμὸν ἐκεῖνον: «ἐποίησε δὲ καὶ ἄλλο τροπάριν καὶ ἐμέλισεν αὐτό, διδάξας τε αὐτὸ ἐπέτρεψε λιτανεύοντας ἡμᾶς ψάλλειν οὕτως· 'Θαυμάσια...'» (Βίος, ἔνθ' ἀνωτ., σελ. 147). Εἰς αὐτὸ γίνεται ρητῶς μνεία τῶν κατὰ τὸν σεισμὸν συμβάντων· τὴν περιγραφὴν των δίδει ὁ Ἀρκάδιος· «τὰ ὄρη ἐθρίβη, βίᾳ σχισθέντα· ἡ δὲ γῆ χάσματα ἔσχε κατὰ τόπους· καὶ ἡ θάλασσα ἔφυγεν ἐκ τοῦ τόπου αὐτῆς ἐπὶ πολλὰς τὰς ὥρας, τὰ δὲ πλοῖα ἐπὶ τοῦ ξηροῦ καταρραγέντα συνετρίβησαν» (πρβλ. τὰς φράσεις τοῦ τροπαρίου «τρό-

μος λήψεται δρη ἀπὸ σοῦ· ἐσείσθη πᾶσα ἡ γῆ· διεθρίβη τὰ δρη βίᾳ· ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ἐκ νότου σκάφη τῇ ξηρᾷ ἀπέθετο»).

Τὸ τρίτον («Ὡς ἐπὶ Μωσέως...») συνέθεσεν ὀλίγον ἀργότερον· «καὶ ψάλλων ὁ ἅγιος τροπάριν ἐμμελῶς ἔλεγεν οὕτως· 'Ὡς ἐπὶ Μωσέως...'. Μετὰ δὲ τὸ πληρῶσαι ταῦτα, τὸ παράκλητον Πνεῦμα ἔφη πρὸς αὐτόν· οὕτω δίδαξον λιτανεῦσαι καὶ παύσονται οἱ σεισμοὶ ἀπὸ τῆς γῆς. Παραυτίκα δὲ καλέσας Συμεὼν τοὺς ἀδελφούς, ἐποίησεν ὡς προσετάχθη» (ἔνθ' ἀνωτ., σελ. 148). Μόνον τὸ τροπάριον τοῦτο μνημονεύεται καὶ εἰς τὴν λογίαν ἐπεξεργασίαν τοῦ βίου τοῦ ὁσίου Συμεών, τὴν γενομένην ὑπὸ Νικηφόρου μαγίστρου τοῦ Οὐρανοῦ (Acta Sanctorum, Μαΐου τ. 5ος, σελ. 348F). Ὁ Νικηφόρος διασκευάζει ἐπὶ τὸ λογιώτερον τὰς λέξεις τοῦ τροπαρίου «πρεσβευόμενος» (εἰς «δυσωπούμενος») καὶ «λιτανευόμενος» (εἰς «παρακαλούμενος»). Τὰ δύο ταῦτα τροπάρια ἐντάσσονται εἰς τὴν κατωτέρω δημοσιευομένην ἀκολουθίαν ὡς πρῶτον καὶ δεύτερον στιχηρὸν τοῦ ἑσπερινοῦ. Εἰς τὸν Βίον δὲν δηλοῦται καὶ πάλιν ὁ ἦχος. Κατ' ἀναλογίαν πρὸς τὸ «Νινευῖται...» προετιμήσαμεν τὸν πλ. β'.

Καὶ τὰ τρία τροπάρια τοῦ Συμεὼν συνετέθησαν καὶ ἐψάλησαν, ὡς εἴδομεν, ὡς τροπάρια λιτανείας. Ἀλλὰ καὶ τὸ δοξαστικὸν «Οὐράνιε βασιλεῦ...» ἐπιγράφεται εἰς τὸ Εὐχολόγιον «εἰς πᾶσαν λιτήν». Εἶναι πολὺ πιθανὸν ὅτι ἡ ὅλη ἀκολουθία τοῦ Εὐχολογίου εἶναι ἀκολουθία λιτῆς μοναχικοῦ τύπου, κατὰ τὴν ὁποίαν ἐψάλλετο ὁ κανὼν καὶ τὰ ἓξ τροπάρια μετὰ τοῦ δοξαστικοῦ. Ὁ τύπος οὗτος ἐτηρεῖτο, ὡς φαίνεται, εἰς τὰς μονὰς καὶ τελικῶς ἀντικατέστησε τὰς ᾀσματικὰς ἐνοριακὰς λιτανείας εἰς σεισμούς, περὶ τῶν ὁποίων θὰ γίνῃ λόγος κατωτέρω.

Εἰς τὸ Εὐχολόγιον μετὰ τὰ τροπάρια, ἄνευ ἄλλης τινὸς ἐνδείξεως, ἕπονται τρεῖς «εὐχαὶ ἐπὶ ἀπειλὴν σεισμοῦ». Ἐξ αὐτῶν ἡ πρώτη «Ὁ Θεὸς ὁ μέγας καὶ φοβερὸς καὶ θαυμαστός...» εἶναι ἀρχαιοτάτη καὶ ἀπαντᾷ ἤδη εἰς τὸν Βαρβερινὸν κώδικα 336 τοῦ Η' αἰῶνος (φ. 225 r-v)

καὶ εἰς πλεῖστα ἄλλα χειρόγραφα, χαρακτηριζομένη ὡς «εὐχὴ ἐπὶ σεισμοῦ» ἢ «ἐπὶ σεισμῶν» ἢ «εἰς σεισμὸν» ἢ «εἰς ἀπειλὴν σεισμοῦ» (Βατοπεδίου 134 (745), Διονυσίου 489, Κωνσταμονίτου 19 (20), Μ. Λαύρας Ι 21, Παντοκράτορος 149, Παρισίων Κοισλ. 213, Πάτμου 105, 690, Σινᾶ 959, 968, 971, 977, 981, 988, Μετοχ. Παν. Τάφου Κ /λεως 8 (182)). Εἶναι σοβαρά, σύντομος καὶ περιεκτική. Εἰς τὰ χειρόγραφα παρουσιάζει ἀρκετὰς διαφόρους γραφάς. Ἐνδεικτικῶς δημοσιεύομεν αὐτὴν κατωτέρω κατὰ μὲν τὸν Βαρβερινὸν κώδικα ὡς εὐχὴν τοῦ Α΄ ἀντιφώνου τῆς θείας λειτουργίας, εἰς δὲ τὸ Παράρτημα (Α΄ 1) κατὰ τὸ κείμενον τοῦ ἐντύπου Εὐχολογίου.

Αἱ δύο ἑπόμεναι εὐχαὶ «Βασιλεῦ ἅγιε, φιλάνθρωπε δέσποτα...» καὶ «Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ τῶν οἰκτιρμῶν ἀνεξάντλητος πηγή...» εἶναι μακραὶ καὶ πολύλογοι, ἐμφανῶς δὲ μεταγενέστεραι. Ἡ πρώτη ἀπαντᾷ εἰς τὸν κώδικα Διονυσίου 489 τοῦ ΙΕ΄ αἰῶνος, ὁμοῦ μετὰ τῆς προηγουμένης, χαρακτηριζομένη ὡς «εὐχὴ ἑτέρα εἰς ἀπειλὴν σεισμοῦ». Εἰς τὸν κώδικα Μ. Λαύρας Ε 122 τοῦ ΙΗ΄ αἰῶνος εἰς συλλογὴν εὐχῶν Φιλοθέου τοῦ Κοκκίνου περιλαμβάνονται καὶ αἱ δύο αὗται εὐχαὶ (φ. 126-130). Ταύτας δημοσιεύομεν εἰς τὸ Παράρτημα (Α΄ 2 καὶ 3).

Εἰς τὸ Εὐχολόγιον μετὰ τὰς εὐχὰς παρατίθεται Ἀπόστολος καὶ Εὐαγγέλιον «εἰς σεισμὸν» μετὰ προκειμένου καὶ ἀλληλουαρίου. Ἡ ἀποστολικὴ περικοπὴ (Ἑβρ. ιβ΄ 6-10) ἀναφέρεται εἰς τὴν ἀπὸ τοῦ Θεοῦ πατρικὴν παιδείαν καὶ τοὺς πνευματικοὺς αὐτῆς καρπούς, ἡ δὲ εὐαγγελικὴ (Ματθ. η΄ 23-27) εἰς τὴν τρικυμίαν («σεισμὸς μέγας») καὶ τὴν κατάπαυσιν αὐτῆς ὑπὸ τοῦ Κυρίου. Ἕπεται ἡ τυπικὴ διάταξις· «Καὶ καθεξῆς ἡ θεία λειτουργία», τῆς ὁποίας παρατίθεται τὸ κοινωνικόν· «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν...» (Ψαλμ.. ργ΄ 32).

Ὅλαι αἱ ἐνδείξεις πείθουν ὅτι ἡ ἀκολουθία εἰς σεισμὸν τοῦ Εὐχολογίου εἶναι ἀκολουθία λιτανείας, κατακλειομένη διὰ τῆς θείας λειτουργίας. Αἱ τρεῖς εὐχαὶ εἶναι εὐχαὶ ἀντι-

φώνων, τὰ ὁποῖα ἐψάλλοντο ἢ περὶ τὸ τέλος τῆς λιτανείας ἢ εἰς τὸν ναὸν πρὸ τῆς θείας λειτουργίας, ὡς συνήθως.

Εἰς τὸ Μηναῖον, ὡς εἴδομεν, σημειοῦται κατὰ τὴν 26ην Ὀκτωβρίου ἡ ἀνάμνησις σεισμοῦ τοῦ ἔτους 740. Εἰς τὰ ἔντυπα Μηναῖα ἀναφέρονται μνῆμαι καὶ ἄλλων σεισμῶν (25 Σεπτεμβρίου, 14 Δεκεμβρίου, 26 Ἰανουαρίου, 17 Μαρτίου, 16 Αὐγούστου), εἰς δὲ τὰ χειρόγραφα καὶ ἄλλαι (7 Ὀκτωβρίου, 6 Δεκεμβρίου, 9 Ἰανουαρίου, Δευτέρα μετὰ τὴν Πεντηκοστήν), αἱ πλεῖσται τῶν ὁποίων ἔχουν χρονολογικῶς ἐντοπισθῆ (*Ἰ. Ράμφου*, «Μνῆμαι σεισμῶν», ἀνάτ. ἐκ τοῦ τιμητικοῦ τόμου τοῦ καθηγ. Ἀ. Ἀλιβιζάτου, Ἀθῆναι 1958). Ἐξ αὐτῶν μόνη ἡ μνήμη τοῦ σεισμοῦ τῆς 26ης Ὀκτωβρίου ἔχει ἀκολουθίαν, συμψαλλομένην μετὰ τῆς τοῦ ἁγίου Δημητρίου· αἱ ἄλλαι ἁπλῶς ἀναγράφονται εἰς τὸ Μηνολόγιον, μετὰ ἢ ἄνευ ἰαμβικοῦ διστίχου. Ἡ ἀκολουθία τοῦ σεισμοῦ τῆς 26ης Ὀκτωβρίου περιλαμβάνει θεοτοκίον εἰς τὸ «Καὶ νῦν» τοῦ «Κύριε ἐκέκραξα» («Παναγία δέσποινα, τοῦ κόσμου βοήθεια...»), δύο ἀναγνώσματα προφητικὰ (Ἡσ. ξγ΄ 15 - ξδ΄ 9, μὲ παραλείψεις ἐνδιαμέσων τινῶν στίχων, καὶ Ἱερ. β΄ 1-12), τρία στιχηρὰ ἰδιόμελα εἰς τὸν στίχον («Τῆς γῆς συνταρασσομένης...», «Φοβερὸς εἶ, Κύριε...» καὶ «Νινευῖται...»), ἀπολυτίκιον («Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν...»), τὸν κανόνα τοῦ Ἰωσήφ, κάθισμα ἀπὸ γ΄ ᾠδῆς («Τῆς ἐπελθούσης...») καὶ θεοτοκίον ἐξαποστειλάριον («Τὸν σαρκωθέντα Κύριον...»). Τὰ τρία ἀπόστιχα φέρονται, ὡς ἴδομεν, ὑπὸ τὸ ὄνομα Συμεὼν τοῦ Θαυμαστορείτου, ὁ δὲ κανὼν εἶναι ὁ τοῦ Εὐχολογίου· παραλείπεται ὅμως ἡ β΄ ᾠδὴ αὐτοῦ. Τὰ ἄλλα τροπάρια φέρονται ἀνωνύμως.

Ἰδίαν περίπτωσιν ἀποτελεῖ ἡ 25η Σεπτεμβρίου. Κατ' αὐτὴν ἄγεται κατὰ μὲν τὸ Συναξάριον τοῦ Μηναίου «ἡ ἀνάμνησις τοῦ μεγάλου σεισμοῦ, ἐν ᾗ τελεῖται ἡ ἐν τῷ ἀέρι ἁρπαγὴ τοῦ παιδός» ἢ κατὰ τὸ Τυπικὸν τῆς Ἁγίας Σοφίας Κων/πόλεως καὶ ἄλλα Συναξάρια «ἡ ἀνάμνησις...τῶν μετὰ φιλανθρωπίας (Θεοῦ) γενομένων φόβων

καὶ πρὸ τῆς ἀναστάσεως τὴν ἀνάστασιν δειξάντων» (ἢ «δειξάντων ἡμῖν τὴν ἡμέραν τῆς ἀναστάσεως, τοῦ μεγάλου σεισμοῦ καὶ τῆς τοῦ παιδὸς ἐν τῷ ἀέρι ἁρπαγῆς») (*J. Mateos*, Le Typicon de la Grande Église, τ. I, Roma 1962, σελ. 44-46, *H. Delehaye*, Synaxarium Ecclesiae Constantinopolitanae, Propylaeum ad Acta Sanctorum Novembris, Bruxellis 1902, σ. 79-80). Πρόκειται περὶ τοῦ γενομένου ἐπὶ Θεοδοσίου τοῦ Β´ καὶ πατριάρχου Πρόκλου ἐν ἔτει 437 μεγάλου σεισμοῦ, ὁ ὁποῖος συνδέθη πρὸς τὴν ἔριδα περὶ τῆς τριαδικῆς ἢ χριστολογικῆς ἐννοίας τοῦ τρισαγίου ὕμνου. Ἐνδιαφέρον λειτουργικῶς εἶναι ὅτι κατὰ τὴν λιτανείαν ἐψάλλετο τὸ τρισάγιον καὶ τὸ «Κύριε, ἐλέησον». Εἰς τὴν ἀκολουθίαν τῆς ἡμέρας τὸ πρῶτον τροπάριον ἑκάστης ᾠδῆς τοῦ πρώτου κανόνος τῆς ἁγίας Εὐφροσύνης ἀναφέρεται εἰς τὸν σεισμόν, τὴν ἁρπαγὴν τοῦ παιδὸς καὶ τὸν τρισάγιον ὕμνον.

Τὸ συναξάριον πάλιν τῆς ἀναμνήσεως τοῦ σεισμοῦ τῆς 26 Ἰανουαρίου τοῦ ἔτους 450 εἶναι ἰδιαιτέρως ἐνδιαφέρον. Εἰς αὐτὸ παρουσιάζεται ὁ βασιλεὺς Θεοδόσιος ὁ Β´ «λιτανεύων πανδημεὶ καὶ μετὰ δακρύων λέγων» ὕμνον ἰδικῆς του ἴσως συνθέσεως· «Ῥῦσαι ἡμᾶς, Κύριε...» (ἔνθ' ἀνωτ., σ. 425). Τὸν ὕμνον τοῦτον παρεμβάλλομεν εἰς τὴν κατωτέρω ἀκολουθίαν ὡς δεύτερον στιχηρὸν τῶν αἴνων, προκρίνοντες δι' αὐτὸν τὸν β´ ἦχον, μὴ μαρτυρούμενον ὑπὸ τοῦ συναξαρίου.

Εἰς τὸ ἀνωτέρω μνημονευθὲν Τυπικὸν τῆς Ἁγίας Σοφίας Κωνσταντινουπόλεως τοῦ Ι´ αἰῶνος (κώδ. τ. Σταυροῦ 40 καὶ Πάτμου 266) ἀναφέρεται ἡ μνήμη ὀκτὼ σεισμῶν (7 καὶ 26 Ὀκτωβρίου, 14 Δεκεμβρίου, 9 καὶ 26 Ἰανουαρίου, 17 Μαρτίου, 16 Αὐγούστου καὶ τὴν Δευτέραν μετὰ τὴν Πεντηκοστὴν) καὶ δύο παραπλησίων γεγονότων, «τῶν φόβων» (25 Σεπτεμβρίου) καὶ «τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κόνεως» τὸ 472 (6 Νοεμβρίου). Αἱ ἀκολουθίαι τῶν ἡμερῶν αὐτῶν, παρὰ τὰς ἐπὶ μέρους διαφορὰς καὶ παραλλαγάς, ἀκολουθοῦν κοινὸν διάγραμμα. Οὕτω, μετὰ τὴν

ἀκολουθίαν τοῦ ὄρθρου, ἐγίνετο λιτανεία (λιτή) καὶ μετὰ τὴν ἐπιστροφὴν αὐτῆς, ἢ τὴν ἐν λιτανείᾳ μετάβασιν εἰς ἄλλον ναόν, ἐτελεῖτο ἡ θεία λειτουργία, παραλειπομένων τῶν ἀντιφώνων («ἀντίφωνα οὐ γίνονται»), ἀπὸ τοῦ τρισαγίου, τῶν ἀναγνωσμάτων καὶ ἑξῆς. Ἡ λιτὴ ἤρχιζε διὰ μεγάλης συναπτῆς καὶ μετ' αὐτὴν ἐψάλλοντο σύντομα τροπάρια ἢ ψαλμικὰ ἀντίφωνα μετ' ἐφυμνίων, μεταξὺ τῶν ὁποίων παρενεβάλλοντο ἡ μικρὰ δοξολογία («Δόξα Πατρὶ...» - «δοξάζουσιν»), συναπταὶ καὶ αἱ «συνήθεις» εὐχαὶ τῆς λιτῆς. Ἐκ τῶν τροπαρίων ἄξια μνείας εἶναι τὸ τρισάγιον κατὰ τὴν 25ην Σεπτεμβρίου, λόγῳ τοῦ εἰδικοῦ θέματος τῆς ἡμέρας αὐτῆς, τὸ «Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς...» κατὰ τὴν 7ην Ὀκτωβρίου, τὸ «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν...» κατὰ τὴν 26ην Ὀκτωβρίου καὶ τὴν Δευτέραν μετὰ τὴν Πεντηκοστήν, τὸ «Κύριε, ἡμάρτομεν, ἠνομήσαμεν, προσπίπτομεν, ἐλέησον ἡμᾶς» κατὰ τὴν 14ην Δεκεμβρίου καὶ τὸ «Ἀνέτειλας, Κύριε, τὴν ἡμέραν...» τοῦ πλ. δ' ἤχου, τὸ ὁποῖον ἐψάλλετο κατὰ τὴν λιτανείαν τῆς 26ης Ἰανουαρίου. Τὸ τροπάριον τοῦτο ἐχρησιμοποιήσαμεν εἰς τὴν κατωτέρω δημοσιευομένην ἀκολουθίαν ὡς δοξαστικὸν τῶν αἴνων.

Ὅπου δηλοῦνται ψαλμοὶ ἀντιφώνων (7 Ὀκτωβρίου καὶ 6 Νοεμβρίου) οὗτοι εἶναι οἱ τρεῖς πρῶτοι τῶν ᾠδῶν τῶν ἀναβαθμῶν (ριθ', ρκ' καὶ ρκα'), οἱ ὁποῖοι εἶναι καὶ οἱ ψαλμοὶ τῶν ἀντιφώνων τῆς κατανυκτικῆς ᾀσματικῆς παννυχίδος. Τὰ ἐφύμνια ποικίλλουν κατὰ τὰς ἡμέρας καὶ κατὰ τὰ ἀντίφωνα. Οὕτως ἀπαντᾷ τὸ «Ἐλέησον ἡμᾶς, φιλάνθρωπε Κύριε» ἢ «Ἐλέησον ἡμᾶς, φιλάνθρωπε» καὶ «Σῶσον ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν» ἢ «Βοήθει ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν» ἢ «Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς...» διὰ τὸ Α' ἀντίφωνον, «Ταῖς πρεσβείαις τῆς Θεοτόκου...» καὶ «Πρεσβείαις τῶν ἁγίων σου...» ἢ τὸ «ἁπλοῦν δειλινὸν» «Ἀλληλούϊα» διὰ τὸ Β' καὶ τὸ «Ἀλληλούϊα» ἁπλοῦν ἢ διπλοῦν καὶ τὸ «Κύριε, ἡμάρτομεν...» διὰ τὸ Γ' ἀντίφωνον. Τὰ ἐφύμνια τῶν δύο πρώτων ἀντιφώνων εἶναι συνήθως διπλᾶ.

Κατὰ τὴν 9ην Ἰανουαρίου ρητῶς μαρτυρεῖται ὅτι ὡς

εἰσοδικὸν διὰ τὴν θείαν λειτουργίαν δὲν ἐψάλλετο τὸ σύνηθες «Δεῦτε προσκυνήσωμεν...», ἀλλὰ τὸ «Κύριε, ἐλέησον» «διὰ τὸν σεισμόν».

Ἑπόμενον εἶναι ἡ ἀνωτέρω περιγραφεῖσα τάξις τῶν λιτανειῶν τῶν ἀναμνήσεων τῶν σεισμῶν κατὰ τὸ Τυπικὸν τῆς Ἁγίας Σοφίας νὰ παρουσιάζῃ πολλὰ τὰ κοινὰ ἀφ' ἑνὸς μὲν πρὸς τὴν λιτὴν τῆς Ἰνδίκτου τὴν περιεχομένην εἰς κώδικα τοῦ Ἀρχαιολ. Μουσείου τοῦ Κιέβου (*A. Dmitrievskij*, Opisanie liturgitseskich rukopisej, τ. I, Τυπικά, Kiev 1895, σελ. 152-154, *J. Mateos*, ἐν μν. ἔργῳ, τ. II, Roma 1963, σελ. 200-203) καὶ τῆς Ἁγίας Σοφίας Θεσσαλονίκης (κῶδ. Ἀθηνῶν 2047, φ. 82-86) καὶ ἀφ' ἑτέρου πρὸς τὴν «Ἀκολουθίαν εἰς διαφόρους λιτὰς καὶ ἀγρυπνίας παρακλήσεων» τοῦ ἐντύπου Εὐχολογίου, λόγῳ τοῦ ᾀσματικοῦ - ἐνοριακοῦ τύπου ὅλων αὐτῶν τῶν πηγῶν.

Ἐπὶ τῇ βάσει τῶν ἀνωτέρω μαρτυριῶν ἀποκατεστάθη τὸ σχετικὸν τμῆμα τῆς μετὰ τῆς λοιπῆς ἀκολουθίας τοῦ σεισμοῦ συνημμένης θείας λειτουργίας. Ὡς εὐχαὶ ἀντιφώνων ἐχρησιμοποιήθησαν διὰ μὲν τὸ Α΄ ἀντίφωνον ἡ ἀρχαία εὐχὴ εἰς σεισμὸν κατὰ τὸν Βαρβερινὸν κώδικα 336. Ὡς εὐχαὶ Β΄ καὶ Γ΄ ἀντιφώνου ὄχι αἱ ἐκτενεῖς εὐχαὶ τοῦ Εὐχολογίου, ἀλλὰ δύο σύντομοι, ἐκ τῶν ὁποίων ἡ πρώτη («Κύριε, Κύριε, ὁ τῷ ἀκοιμήτῳ ὄμματι...»), ἐπιγραφομένη «Εὐχὴ ἐν λιτῇ διὰ σεισμόν», ἐδημοσιεύθη ὑπὸ τοῦ αἰδεσ. *Ν. Παπαδοπούλου* εἰς τὴν ἐπιμελείᾳ αὐτοῦ γενομένην ἔκδοσιν τοῦ «Μικροῦ Εὐχολογίου» ἔκδ. «Ὁ Φοῖνιξ», ἐν Ἀθήναις 1928, σελ. 367, ἡ δὲ δευτέρα («Κύριε παντοκράτορ ὁ Θεὸς ἡμῶν...»), ποίημα ἱερομ. Ἀνθίμου Δρόσου τοῦ Βρυενίου, ἐδημοσιεύθη εἰς τὸ «Μέγα Προσευχητάριον» *Ἀ. Σιμωνώφ*, ἐν Ἀθήναις 1906, σελ. 452-453.

Ὡς πρὸς τὰ ἀναγνώσματα δὲν ὑπάρχει ἀπόλυτος ὁμοφωνία εἰς τὰς πηγάς. Οὕτω τὸ ἀποστολικὸν ἀνάγνωσμα Ἑβρ. ιβ΄ 6-10 ἀπαντᾷ εἰς τὸ ἔντυπον Εὐχολόγιον καὶ εἰς τὸ Τυπικὸν τῆς Ἁγίας Σοφίας τὴν 25 Σεπτεμβρίου, 26 Ὀκτω-

βρίου, 26 Ἰανουαρίου καὶ 17 Μαρτίου, ἐνῷ τὸ Ἑβρ. ι' 19-31 τὴν 6 Νοεμβρίου καὶ τὸ Ἐφεσ. β' 4-10 τὴν 14 Δεκεμβρίου. Τὸ εὐαγγελικὸν ἐξ ἄλλου ἀνάγνωσμα Ματθ. η' 23-27 εἰς τὸ Εὐχολόγιον καὶ εἰς τὸ Τυπικὸν τῆς Ἁγίας Σοφίας τὴν 14 Δεκεμβρίου, 26 Ἰανουαρίου καὶ 17 Μαρτίου, ἐνῷ ἡ παράλληλος περικοπὴ Λουκ. η' 22-27 τὴν 25 Σεπτεμβρίου καὶ 26 Ὀκτωβρίου. Τὸ προκείμενον ὡς ἐπὶ τὸ πλεῖστον λαμβάνεται ἐκ τοῦ κζ' ψαλμοῦ (στ. 9. 1), ἀλλὰ καὶ ἐκ τοῦ κη' (στ. 11, 1) καὶ τοῦ νδ' (στ. 2. 3). Τὸ ἀλληλουάριον συνηθέστερον ἐκ τοῦ νθ' ψαλμοῦ, ἀλλὰ καὶ ἐκ τοῦ λγ' καὶ λζ'. Εἰς τὴν ἀποκατάστασιν τῆς ἀκολουθίας προεκρίθησαν τὰ καλλίτερον μαρτυρούμενα.

Τὸ κοινωνικὸν κατὰ τὸ Εὐχολόγιον λαμβάνεται ἐκ τοῦ ργ' ψαλμοῦ στ. 32 («Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν»), κατὰ τὸ Τυπικὸν ὅμως τῆς Ἁγίας Σοφίας ἐκ τοῦ ριε' ψαλμοῦ στ. 4 («Ποτήριον σωτηρίου λήψομαι...»), προφανῶς εἴτε ὡς εὐχαριστία διὰ τὴν σωτηρίαν εἴτε ὡς ἐπίκλησις τῆς θείας βοηθείας.

Ρωμανὸς ὁ μελῳδὸς συνέθεσε «κοντάκιον κατανυκτικόν, ψαλλόμενον εἰς ἕκαστον σεισμὸν καὶ ἐμπρησμόν», φέρον ἀκροστιχίδα «Τοῦ ταπεινοῦ Ρωμανοῦ ψαλμός». Τοῦτο ἐγράφη, ὡς ἐκ τῶν ἐσωτερικῶν ἐνδείξεων καταφαίνεται, μεταξὺ τῶν ἐτῶν 532 καὶ 537. Ἀναφέρεται εἰς τὸν κατὰ τὴν στάσιν τοῦ Νίκα γενόμενον ἐμπρησμὸν καὶ εἰς τοὺς σεισμοὺς τοὺς γενομένους κατὰ τὴν χρονικὴν ἐκείνην περίοδον (γνωστοὶ εἶναι οἱ κατὰ τὰ ἔτη 536, 542 καὶ 546 γενόμενοι σεισμοὶ εἰς τὴν Κωνσταντινούπολιν καὶ ἄλλοι εἰς ἄλλας περιοχὰς κατὰ τὰ ἔτη 528, 529, 530 καὶ 533, Βλ. *V. Grumel*, ἐν μν. ἔργῳ, σελ. 478). Τὸ κοντάκιον σῴζεται ὁλόκληρον εἰς τὸν κώδικα Πάτμου 213, φ. 26r - 29r, ἐκεῖθεν δὲ ἐξεδόθη ὑπὸ τοῦ *Δ. Δημήτραινα*, ἐν *Ν. Τωμαδάκη*, Ρωμανοῦ τοῦ μελῳδοῦ ὕμνοι, τ. Α', Ἀθῆναι 1952, σελ. 87-116. Ἐκεῖθεν ἀναδημοσιεύομεν τὸ μὲν προοίμιον (κοντάκιον) καὶ τὸν πρῶτον οἶκον εἰς τὴν λειτουργικὴν θέσιν αὐτῶν,

μετὰ δηλαδὴ τὴν ς΄ ᾠδὴν τοῦ κανόνος, ὁλόκληρον δὲ εἰς τὸ Παράρτημα (Β΄).

«Εἰς σεισμὸν» ἐπιγράφεται κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἤχου α΄ («Ὁ λόγῳ τανύσας οὐρανούς...»), ποίημα Ἰγνατίου, εὑρισκόμενος εἰς τὸν κώδικα Μ. Λαύρας Θ 91. Τοῦτον ἐδημοσίευσεν ὁ *πρ. Λεοντουπόλεως Σωφρόνιος Εὐστρατιάδης* εἰς τὸ «Θεοτοκάριον», τ. Α΄, Chennevières - sur - Marne 1931, σελ. 45-47. Ὁ τίτλος ὅμως δὲν ἀνταποκρίνεται εἰς τὸ περιεχόμενον τοῦ κανόνος. Εἰς αὐτὸν οὐδεὶς λόγος γίνεται περὶ σεισμῶν.

Τέλος ὁ σύγχρονος ὑμνογράφος τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας *π. Γεράσιμος Μικραγιαννανίτης* ἐποίησε δύο ἀκολουθίας εἰς ἀνάμνησιν προσφάτως γενομένων σεισμῶν, τῶν Ἰονίων νήσων (11 Αὐγούστου 1953) καὶ τῆς Θήρας (9 Ἰουλίου 1956). Ἡ δευτέρα ἐδημοσιεύθη εἰς τὰ «Ὑμνολογικὰ καὶ συναξαριστικὰ τῶν Κυκλάδων», Ἀθῆναι 1962. Ἡ πρώτη εἰς τὸ μνημονευθὲν ἔργον τοῦ *π. Ἰ. Ράμφου*, σελ. 13-27. Ἐκ τῆς ἀκολουθίας ταύτης ἐλήφθησαν ἓξ τροπάρια πρὸς συμπλήρωσιν ἀντιστοίχων κενῶν τῆς κατωτέρω δημοσιευομένης ἀκολουθίας, ἤτοι τὸ τέταρτον, πέμπτον καὶ ἕκτον στιχηρὸν τοῦ ἑσπερινοῦ («Φιλάνθρωπε Κύριε, τίς ὑποστήσεται...», «Τὴν τοῦ Δαυὶδ ἀναλαβόντες φωνὴν...» καὶ «Εὐχαριστοῦμέν σοι, Κύριε...»), τὰ καθίσματα μετὰ τὴν β΄ στιχολογίαν («Ὁ τὰ πέρατα τῆς γῆς...») καὶ μετὰ τὸν πολυέλεον («Τῷ σῷ, Λόγε, νεύματι...») καὶ τὸ τέταρτον στιχηρὸν τῶν αἴνων («Χριστὲ ὁ Θεός, ὁ τὸ συμφέρον...»).

Τὸ κάθισμα μετὰ τὴν α΄ στιχολογίαν ἐλήφθη ἐκ τῆς ἀκολουθίας τῆς 26ης Ὀκτωβρίου τοῦ κώδικος Βατοπεδίου 1126 («Ἡμαρτηκότας σοι πολλά...»), τὸ πρῶτον ἐξαποστειλάριον («Κύριε ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν...») ἐκ τῶν κωδίκων Βατοπεδίου 1121 καὶ 1126 καὶ τὸ δεύτερον («Συνήθως τὰ ἐλέη σου...») ἐκ τοῦ κώδικος Ξενοφῶντος 69.

Τὸ προκείμενον τοῦ ἑσπερινοῦ ἀποκατεστάθη κατὰ τὸ Τυπικὸν τῆς Ἁγίας Σοφίας Κωνσταντινουπόλεως, ὅπου κατὰ τὸν ἑσπερινὸν τῆς μνήμης τοῦ σεισμοῦ τῆς 17ης Μαρτίου

προβλέπεται ἡ ψαλμῳδία «ἀντὶ τοῦ ἐνορδίνου προκειμένου» τοῦ «Μὴ ἀποστρέψῃς...».

Τὸ τρίτον ἀνάγνωσμα τοῦ ἑσπερινοῦ Δανιὴλ θ' 15-19 μαρτυρεῖται ὑπὸ τοῦ Τυπικοῦ τῆς Ἁγίας Σοφίας(17 Μαρτίου).

Ὡς Εὐαγγέλιον τοῦ ὄρθρου προεκρίθη ἡ περικοπὴ Λουκ. ιγ' 1-9, ἡ ἀναγινωσκομένη «εἰς ἐπιδρομὴν ἐθνῶν».

Ἡ αἴτησις εἰς τὰ εἰρηνικὰ «Ὑπὲρ τοῦ ἄσειστον...»προσετέθη κατὰ τὴν ἀκολουθίαν τῆς λιτῆς τῆς Ἰνδίκτου (κώδ. Ἀθηνῶν 2047, φ. 84να, Ἀρχαιολ. Μουσείου Κιέβου) καὶ τῆς ἀκολουθίας «εἰς πᾶσαν λιτὴν» (*J. Goar*, Εὐχολόγιον, Venetiis 1730², σελ. 640).

Κατὰ τὰ αὐτὰ κείμενα ἀποκατεστάθη καὶ ἡ μετὰ τὸ Εὐαγγέλιον ἐκτενής. Ἡ εὐχὴ τῆς ἐκτενοῦς «Πάλιν σου, Κύριε...» ἀπαντᾷ εἰς πολλοὺς κώδικας (Ἐσφιγμένου 208, Κωνσταμονίτου 60, Παρισίων Κοισλ. 213, Σινᾶ 967, 973, 977 κ.ἄ.) καὶ ἐπιγράφεται «εὐχὴ ἐν λιτῇ διὰ φόβον, γινομένη κε' τοῦ Σεπτεμβρίου καὶ Ἰουνίου ε'...καὶ Ὀκτωβρίου κς' τοῦ ἁγίου Δημητρίου τῇ μνήμῃ σεισμοῦ...» (Παρισ. Κοισλ. 213).

Οὕτως ἐκ σπαραγμάτων τῆς παλαιᾶς καὶ τῆς νεωτέρας σχετικῆς λειτουργικῆς πράξεως τῆς Ἐκκλησίας κατηρτίσθη πλήρης ἀκολουθία εἰς σεισμόν, ἡ δημοσιευομένη κατωτέρω, περιλαμβάνουσα πάντα τὰ παραδοσιακὰ στοιχεῖα τὰ προσιδιάζοντα εἰς αὐτήν.

Εἰς τὸ Π α ρ ά ρ τ η μ α περιλαμβάνονται:

Α' 1, 2, 3. Αἱ τρεῖς εὐχαὶ «ἐπὶ ἀπειλὴν σεισμοῦ» τοῦ ἐντύπου Εὐχολογίου.

4. *Συμεὼν τοῦ Θεσσαλονίκης*, «Εὐχὴ ἐπὶ σεισμῷ καὶ λιμῷ καὶ πάσῃ ἄλλῃ κακώσει» (κώδ. Ἀθηνῶν 2065 καὶ Βιέννης 218. *Ἰ. Φουντούλη*, Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Τὰ Λειτουργικὰ Συγγράμματα, τ. Α' Εὐχαὶ καὶ Ὕμνοι, Θεσσαλονίκη 1968, σελ. 16-18).

5. *Συμεὼν τοῦ Θεσσαλονίκης*, «Εὐχὴ ἐξομολογήσεως καὶ αἰτήσεως λεγομένη ἐπὶ σεισμῷ καὶ αὐχμῷ καὶ ἐθνῶν ἐπι-

δρομῇ καὶ ἐπὶ πάσῃ ἄλλῃ αἰτήσει» (κῶδ. Ἀθηνῶν 2065. *Ἰ. Φουντούλη*, ἔνθ' ἀνωτ., σελ. 23-25).

Β΄ Τὸ κατανυκτικὸν κοντάκιον «εἰς ἕκαστον σεισμὸν καὶ ἐμπρησμὸν» *Ρωμανοῦ τοῦ μελῳδοῦ* (κῶδ. Πάτμου 213. *Ν. Τωμαδάκη*, ἐν μν. ἔργῳ, σελ. 87-116).

Γ΄ Ἐκλογὴ ἐκ τῶν Ψαλμῶν εἰς σεισμόν, ψαλλομένη κατὰ τὸν ὄρθρον, μετὰ τὸν πολυέλεον.

*Δ.* = *Διάκονος*
*Ι.* = *Ἱερεὺς*
*Λ.* = *Λαὸς*
* = *Ἀλλαγὴ στίχου (ἐπὶ ἐμμέτρου κειμένου)*

## ΑΚΟΛΟΥΘΙΑ
## ΕΙΣ
## ΦΟΒΟΝ ΣΕΙΣΜΟΥ

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ «Κύριε, ἐκέκραξα» ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα ἕξ**

**(Ἦχος πλ. β΄). Ποίημα Συμεὼν Θαυμαστορείτου**

Ὡς ἐπὶ Μωσέως πρεσβευόμενος* ἱλάσθης, ὁ Θεός,* τοῦ μὴ συντρίψαι τὸν Ἰσραήλ,* καὶ νῦν, Κύριε,* παῦσον λιτανευόμενος* τὴν ὀργὴν ἀπὸ τοῦ λαοῦ σου,* συγχώρησιν ποιούμενος* τῶν ποικίλων ἡμῶν ἁμαρτιῶν,* ὡς μόνος ἀναμάρτητος,* Χριστὲ ὁ Θεός,* κατὰ τὸ μέγα σου ἔλεος·* δόξα σοι.

**(Ἦχος ὁ αὐτός). Ποίημα τοῦ αὐτοῦ**

Θαυμάσια τὰ ἔργα σου·* ἡ ψυχὴ ἡμῶν γινώσκει σφόδρα,* ἐξουσιαστὰ Χριστὲ ὁ Θεός·* τρόμος λήψεται τὰ ὄρη ἀπὸ σοῦ·* ἐσείσθη πᾶσα ἡ γῆ·* διεθρύβη τὰ ὄρη βίᾳ·* ἡ θάλασσα εἶδε καὶ ἔφυγεν·* ἐκ νότου σκάφη τῇ ξηρᾷ ἀπέθετο·* ἐν ὀργῇ ἐλέους μνησθείς,* τοὺς ὑπολειφθέντας σῶσον,* ἀναμάρτητε Κύριε· δόξα σοι.

**(Ἦχος ὁ αὐτός). Ποίημα τοῦ αὐτοῦ**

Νινευῖται τοῖς παραπτώμασι* τὴν διὰ σεισμοῦ κατάχωσιν ἤκουον·* ἐν δὲ τῷ μεσιτεύοντι σημείῳ τοῦ κήτους* τὴν διὰ τοῦ Ἰωνᾶ ἀνάστασιν* ἡ μετά-

νοια παρακαλεῖ·* ὡς ἐν ἐκείνῳ τῷ καιρῷ, Χριστὲ ὁ Θεός,* βοὴν λαοῦ σου, μετὰ νηπίων καὶ κτηνῶν,* οἰκτίρας ἀπεδέξω,* φεῖσαι καὶ ἐλέησον,* ὅτι σὺ εἶ ὁ Θεός,* Θεὸς τῶν μετανοούντων* καὶ ἐν ἡμῖν δεῖξον τὴν ἀγαθότητά σου,* τρισάγιε· δόξα σοι.

**Ἦχος πλ. δ΄. Ποίημα Γερασίμου μοναχοῦ**

Φιλάνθρωπε Κύριε,* τίς ὑποστήσεται* τὸν θυμὸν τοῦ προσώπου σου;* ἀνυπόστατος γὰρ ἡ ὀργὴ* τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου,* ἀλλὰ καὶ τὸ ἔλεος ἀμέτρητον* τῆς ἀγαθότητός σου·* σαλεύεις γὰρ τὴν γῆν* καὶ Δαυιτικῶς ἰᾶσαι τὰ συντρίμματα αὐτῆς,* πρὸς σωτηρίαν αἰώνιον ἡμᾶς παιδεύων,* ὡς ἐλήμων καὶ ὑπεράγαθος.

**Ἦχος ὁ αὐτός. Ποίημα τοῦ αὐτοῦ**

Τὴν τοῦ Δαυὶδ ἀναλαβόντες φωνήν,* ἐν ἀληθεῖ μεταγνώσει* βοῶμέν σοι, Κύριε·* Μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς,* μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς* λαὸν ἡμαρτηκότα σοι,* ἀλλὰ ἐν μετανοίᾳ τοῖς οἰκτιρμοῖς σου προσπίπτοντα·* δεινῶς γὰρ ἐταλαιπωρήθημεν* ἐν κινδύνοις καὶ θλίψεσι* καὶ ἐν σεισμῶν ἐπιφοραῖς φοβερῶν·* ἐξ ὧν λύτρωσαι ἡμᾶς* τῇ πρεσβείᾳ τῶν ἁγίων σου,* ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

**Ἦχος δ΄. Ποίημα τοῦ αὐτοῦ**

Εὐχαριστοῦμέν σοι, Κύριε,* ὅτι οὐ παρέδωκας ἡμᾶς* ἀφανισμῷ τελείῳ* ἐν τῷ ταράσσεσθαι τὴν γῆν* σεισμῷ φοβερῷ·* εἴδομεν γὰρ τὸν θάνατον ἐγγίζοντα ἡμῖν,* ὅτε ὄρη ἔτρεμον* καὶ γῆ ἐρρήγνυτο* καὶ τὰ πάντα εἰς χοῦν μετεβάλλοντο.* Ἔργον τοῦτο,

δέσποτα, τῆς χρηστότητός σου·* ὅτι οὐ θέλεις τὸν θάνατον τοῦ ἁμαρτωλοῦ,* ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν* καὶ βοᾶν σοι· Κύριε, δόξα σοι.

Δόξα Πατρί....

**Ἦχος πλ. β΄. Ποίημα Συμεὼν Θαυμαστορείτου (;)**

Φοβερὸς εἶ, Κύριε,* καὶ τίς ὑποστήσεται* τὴν δικαίαν σου ὀργήν;* ἢ τίς σε δυσωπήσει* ἢ τίς παρακαλέσει, ἀγαθέ,* ὑπὲρ λαοῦ ἡμαρτηκότος* καὶ ἀπεγνωσμένου;* τὰ οὐράνια τάγματα,* ἄγγελοι, ἀρχαὶ καὶ ἐξουσίαι,* θρόνοι, κυριότητες,* τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ* ὑπὲρ ἡμῶν σοι βοῶσιν·* Ἅγιος, ἅγιος,* ἅγιος εἶ, Κύριε·* τὰ ἔργα τῶν χειρῶν σου* μὴ παρίδῃς, ἀγαθέ·* διὰ σπλάγχνα ἐλέους* σῶζε πόλιν κινδυνεύουσαν.

Καὶ νῦν.. **Θεοτοκίον**

**Ἦχος πλ. β΄. Πρὸς τό· Φοβερὸς εἶ, Κύριε**

Παναγία δέσποινα,* τοῦ κόσμου βοήθεια* καὶ ἐλπὶς χριστιανῶν·* σὲ νῦν ἐκδυσωποῦμεν* καὶ παρακαλοῦμεν, ἀγαθή,* ὑπὲρ ἡμῶν ἡμαρτηκότων* καὶ ἀπεγνωσμένων,* τὸν υἱόν σου καὶ Κύριον* ἵλεων ποιῆσαι, Θεοτόκε·* ἔχεις γὰρ τὸ δύνασθαι,* τῇ μητρικῇ σου πρὸς αὐτὸν* χρωμένη παρρησίᾳ.* Πρόφθασον, ἄχραντε,* πρόφθασον μεσίτευσον* καὶ ῥῦσαι τὸν λαόν σου* τῆς ἐνεστώσης ἀπειλῆς·* διὰ σπλάγχνα ἐλέους* μὴ παρίδῃς τοὺς ὑμνοῦντάς σε.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρόν...

**Προκείμενον. Ἦχος πλ. δ΄. Ψαλμὸς ξη΄**

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ

παιδός σου, ὅτι θλίβομαι· ταχὺ ἐπάκουσόν μου, πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν.

**Στίχ. α΄.** Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μοι.

**Στίχ. β΄.** Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.

**Καὶ τὰ ἀναγνώσματα**

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα **(ξγ΄ 15-ξδ΄ 9).**

Ἐπίβλεψον ἐκ τοῦ οὐρανοῦ, Κύριε, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης σου. Ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἠνέσχου ἡμῶν, Κύριε; Σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σύ, Κύριε, πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς· ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι. Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, τοῦ μὴ φοβεῖσθαί σε; Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου· ἐγενόμεθα ὡς τὸ ἀπαρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς. Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη καὶ τακήσονται, ὡσεὶ κηρὸς τήκεται ἀπὸ πυρός· καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους σου καὶ φανερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις σου· ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται. Ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον

Θεὸν πλήν σου· καὶ τὰ ἔργα σου ἀληθινὰ καὶ ποιήσεις τοῖς ὑπομένουσί σε ἔλεος. Συναντήσεται γὰρ ἔλεος τοῖς ποιοῦσι τὸ δίκαιον καὶ τῶν ὁδῶν σου μνησθήσονται. Καὶ νῦν, Κύριε, πατὴρ ἡμῶν σὺ εἶ· ἡμεῖς δὲ πηλὸς καὶ σὺ ὁ πλάστης ἡμῶν· ἔργα χειρῶν σου πάντες ἡμεῖς. Μὴ ὀργίζου ἡμῖν, Κύριε, ἕως σφόδρα καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον, Κύριε, ὅτι λαός σου πάντες ἡμεῖς.

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα (β΄ 1 - 12).

Τάδε λέγει Κύριος· Ἐμνήσθην ἐλέους νεότητός σου καὶ ἀγάπης τελειώσεώς σου, τοῦ ἐξακολουθῆσαί σε τῷ ἁγίῳ Ἰσραήλ, λέγει Κύριος ὁ ἅγιος τοῦ Ἰσραήλ. Τῷ Κυρίῳ ἀρχὴ γεννημάτων αὐτοῦ. Πάντες οἱ ἐσθίοντες αὐτὸν πλημμελήσουσι· κακὰ ἥξει ἐπ' αὐτούς, λέγει Κύριος. Ἀκούσατε λόγον Κυρίου, οἶκος Ἰακὼβ καὶ πᾶσα πατριὰ οἴκου Ἰσραήλ. Τάδε λέγει Κύριος· Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων καὶ ἐματαιώθησαν; καὶ οὐκ εἶπον· Ποῦ ἐστι Κύριος, ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ἡμᾶς ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀπείρῳ καὶ ἀβάτῳ, ἐν γῇ ἀνύδρῳ καὶ ἀκάρπῳ καὶ σκιᾷ θανάτου; ἐν γῇ, ἐν ᾗ οὐ διώδευσεν ἐν αὐτῇ ἀνήρ, οὐδὲ κατῴκησεν υἱὸς ἀνθρώπου ἐκεῖ; Καὶ εἰσήγαγον ὑμᾶς εἰς τὸν Κάρμηλον, τοῦ φαγεῖν τοὺς καρποὺς αὐτοῦ καὶ τὰ ἀγαθὰ αὐτοῦ· καὶ εἰσήλθετε καὶ ἐμιάνατε τὴν γῆν μου καὶ τὴν κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα. Οἱ ἱερεῖς οὐκ εἶπον· Ποῦ ἐστι Κύριος; καὶ οἱ ἀντεχόμε-

νοι τοῦ νόμου οὐκ ἠπίσταντό με καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμὲ καὶ οἱ προφῆται προεφήτευον τῇ Βάαλ καὶ ὀπίσω ἀνωφελοῦς ἐπορεύθησαν. Διὰ τοῦτο ἔτι κριθήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος, καὶ πρὸς τοὺς υἱοὺς τῶν υἱῶν ὑμῶν κριθήσομαι. Διέλθετε εἰς νήσους Χεττιεὶμ καὶ ἴδετε καὶ εἰς Κηδὰρ καὶ ἀποστείλατε καὶ νοήσατε σφόδρα καὶ ἴδετε, εἰ γέγονε τοιαῦτα· εἰ ἀλλάξωνται ἔθνη θεοὺς αὐτῶν; καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί. Ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσονται. Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος.

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα **(θ' 15-19).**

Κύριε ὁ Θεὸς ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη, ἡμάρτομεν, ἠνομήσαμεν. Κύριε, ἐν πάσῃ ἐλεημοσύνῃ σου ἀποστραφήτω δὴ ὁ θυμός σου καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ἱερουσαλήμ, ὄρους ἁγίου σου· ὅτι ἡμάρτομεν καὶ ἐν ταῖς ἀδικίαις ἡμῶν καὶ τῶν πατέρων ἡμῶν Ἱερουσαλὴμ καὶ ὁ λαός σου εἰς ὀνειδισμὸν ἐγένετο ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν. Καὶ νῦν εἰσάκουσον, Κύριε ὁ Θεὸς ἡμῶν, τῆς προσευχῆς τοῦ δούλου σου καὶ τῶν δεήσεων αὐτοῦ καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου τὸ ἔρημον, ἕνεκέν σου, Κύριε. Κλῖνον, ὁ Θεός μου, τὸ οὖς σου καὶ ἄκουσον· ἄνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἰδὲ τὸν ἀφανισμὸν ἡμῶν καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ' αὐτῆς, ὅτι οὐκ ἐπὶ

ταῖς δικαιοσύναις ἡμῶν ῥιπτοῦμεν τὸν οἰκτιρμὸν ἡμῶν ἐνώπιόν σου, ἀλλ' ἐπὶ τοὺς οἰκτιρμούς σου τοὺς πολλούς, Κύριε. Εἰσάκουσον, Κύριε· ἱλάσθητι, Κύριε· πρόσχες, Κύριε, καὶ ποίησον. Μὴ χρονίσῃς ἕνεκέν σου, ὁ Θεός μου, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὴν πόλιν σου καὶ ἐπὶ τὸν λαόν σου.

**Εἰς τὸν στίχον στιχηρὰ προσόμοια**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων**

Ὁ τὰ θεμέλια πάντα* τῆς γῆς σαλεύων Θεός,* ὁ συνταράσσων μόνος* τῆς θαλάσσης τὸ κύτος,* ὡς κτίστης τῶν ἁπάντων,* ῥῦσαι ἡμᾶς* τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς,* ὑπὸ τῆς σῆς εὐσπλαγχνίας διὰ παντὸς* δυσωπούμενος, φιλάνθρωπε.

**Στίχ.** Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν.

Ὡς πολυέλεος μόνος* καὶ παντοδύναμος,* Χριστὲ Σωτήρ, ὑπάρχων* διὰ τῆς Θεοτόκου* καὶ πάντων τῶν ἁγίων,* σῶζε ἀεὶ* ἀπὸ λιμοῦ καὶ λοιμοῦ καὶ σεισμοῦ,* πυρός, μαχαίρας ἐθνῶν, καταποντισμοῦ* τὴν δοξάζουσάν σε πόλιν πιστῶς.

**Στίχ.** Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν.

Τῆς νῦν δικαίας σου ταύτης* ὀργῆς, φιλάνθρωπε,* ἀθρόως ἐπελθούσης* μὴ συγχώσῃς, οἰκτίρμον,* μηδὲ διασκεδάσῃς,* μὴ τῷ θυμῷ* τῆς ὀργῆς σου παιδεύσῃς ἡμᾶς,* ἀλλὰ τὸν τάραχον κόπασον τοῦ σεισμοῦ* καὶ τὸν σὸν λαὸν οἰκτίρησον.

Δόξα Πατρί...Καὶ νῦν...

**Ἰδιόμελον εἰς πᾶσαν λιτήν. Ἦχος πλ. β΄**

Οὐράνιε βασιλεῦ,* φιλάνθρωπε Κύριε,* μακρόθυμε καὶ πολυέλεε,* ἔπιδε ἐξ ἁγίου κατοικητηρίου σου,* ἴδε τὴν ταπείνωσιν ἡμῶν,* ἴδε καὶ τὴν κάκωσιν ἡμῶν·* μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς,* μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς·* μὴ παραδῴης ἡμᾶς εἰς ἐπιδρομὰς ἐθνῶν* ἢ εἰς χεῖρας βαρβάρων* ἢ εἰς χάος ἀπολέσθαι·* μή ποτε εἴπωσι τὰ ἔθνη·* Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;* ἡμεῖς δὲ λαός σου* καὶ πρόβατα νομῆς σου* καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα·* ἔχεις ἔμφυτον τὴν ἀγαθότητά σου,* σκέπε τὴν πόλιν ταύτην·* ἔχεις πρέσβυν τὴν Θεοτόκον,* τὴν σὲ τεκοῦσαν, Λόγε,* χορὸν τῶν ἀποστόλων* καὶ πλῆθος τῶν μαρτύρων* καὶ τῶν ὁσίων·* δέξαι τὰς δεήσεις* ὑπὲρ λαοῦ ἡμαρτηκότος* καὶ ἀπεγνωσμένου* καὶ σῶσον, ἀνεξίκακε,* τὴν κληρονομίαν σου.

**Ἀπολυτίκιον. Ἦχος πλ. δ΄**

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν* καὶ ποιῶν αὐτὴν τρέμειν,* ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς* τοῦ σεισμοῦ ἀπειλῆς,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* καὶ κατάπεμψον ἡμῖν* πλούσια τὰ ἐλέη σου,* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ στιχολογίαν κάθισμα**

**Ἦχος γ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ**

Ἡμαρτηκότας σοι πολλὰ οὐ παρεῖδες,* ἀλλὰ παιδεύσας συμπαθῶς διορθώσω,* τῇ θείᾳ ἐπιβλέψει

σου κλονήσας τὴν γῆν,* δέσποτα μακρόθυμε,* οὐδαμῶς καταπτώσας* ἅπαντας τοὺς δούλους σου* διὰ ἔλεος μέγα,* εὐχαριστίας ὅθεν σε φωναῖς* ὑμνολογοῦμεν* καὶ φόβῳ δοξάζομεν.

Δόξα...Καὶ νῦν... **Τὸ αὐτὸ**

**Μετὰ τὴν β΄ στιχολογίαν κάθισμα**

**Ἦχος γ΄. Θείας πίστεως. Γερασίμου**

Ὁ τὰ πέρατα* τῆς γῆς συνέχων* καὶ τὴν σύμπασαν,* Λόγε, σαλεύων,* ὥσπερ δένδρον ὑπ᾿ ἀνέμου κινούμενον,* μὴ ἀπορρίψῃς ἡμᾶς τοῦ προσώπου σου,* ἀλλ᾿ ἐν ἐλέει ἡμᾶς κατοικτίρησον* καὶ ἀπάλλαξον* βιαιοτάτης σεισμοῦ ἐκτρίψεως* τὸν σὸν πιστὸν λαόν,* μόνε φιλάνθρωπε.

Δόξα...Καὶ νῦν... **Τὸ αὐτὸ**

**Μετὰ τὸν πολυέλεον κάθισμα**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε. Γερασίμου**

Τῷ σῷ, Λόγε, νεύματι* ἐν συσσεισμῷ φοβερῷ* τὴν γῆν συνεκλόνησας* καὶ φόβῳ πάντες ἡμεῖς* δεινῷ συνεσχέθημεν·* ὅθεν ἐν μετανοίᾳ* σοὶ βοῶμεν, οἰκτίρμον·* Ῥῦσαι ἡμᾶς τοιαύτης* πανωδύνου ἀνάγκης,* πρεσβείαις τῶν ἁγίων σου* καὶ τῆς Θεομήτορος.

Δόξα...Καὶ νῦν... **Τὸ αὐτὸ**

**Εἶτα οἱ ἀναβαθμοί, τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου**

**Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς νθ΄**

Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.

**Στίχ.** Ὁ Θεὸς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς· ὠργίσθης καὶ οἰκτίρησας ἡμᾶς.

**Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (ιγ΄ 1-9)**

Τῷ καιρῷ ἐκείνῳ, παρῆσάν τινες ἀπαγγέλλοντες τῷ Ἰησοῦ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Δοκεῖτε, ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; Οὐχί, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε. Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτώ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ; Οὐχὶ λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὁμοίως ἀπολεῖσθε. Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ καὶ οὐχ εὗρεν. Εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδού, τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν, ἵνα τί καὶ τὴν γῆν καταργῇ; Ὁ δὲ ἀποκριθείς, λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κοπρίαν· κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

**Ὁ ν΄ ψαλμὸς**

Δόξα...Πάτερ, Λόγε, Πνεῦμα...
Καὶ νῦν...Ταῖς τῆς Θεοτόκου...
**Στίχ.** Ἐλέησόν με ὁ Θεός...

**Ἰδιόμελον. Ἦχος β'**

Ῥῦσαι ἡμᾶς, Κύριε,* τῆς δικαίας σου ὀργῆς* καὶ τῶν παραπτωμάτων ἡμῶν* διὰ τῆς μετανοίας·* ἐσάλευσας γὰρ τὴν γῆν* καὶ συνετάραξας διὰ τὰς ἡμῶν ἁμαρτίας,* τοῦ δοξάζειν σε τὸν μόνον ἀγαθὸν* καὶ φιλάνθρωπον Θεὸν ἡμῶν.

Τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

**Καὶ ὁ κανὼν εἰς φόβον σεισμοῦ, οὗ ἡ ἀκροστιχίς· «Ὦ Χριστέ, τῆς γῆς τὸν κλόνον παῦσον τάχος. Ἰωσήφ».**

**Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ εἱρμὸς**

Ὡς ἐν ἠπείρῳ πεζεύσας* ὁ Ἰσραὴλ* ἐν ἀβύσσῳ ἴχνεσι,* τὸν διώκτην Φαραὼ* καθορῶν ποντούμενον, Θεῷ* ἐπινίκιον ᾠδὴν* ἐβόα, ᾄσωμεν.

Ὡς φοβερὰ ἡ ὀργή σου,* ἐξ ἧς ἡμᾶς* ἐλυτρώσω, Κύριε,* μὴ συγχώσας ἐν τῇ γῇ* ἅπαν τὸ ἀνάστημα ἡμῶν,* εὐχαρίστως σε διὸ* ἀεὶ δοξάζομεν.

Χαίρων ἡμῶν καθ' ἑκάστην* τῇ παντελεῖ* διορθώσει, δέσποτα,* ὥσπερ φύλλον εὐτελὲς* διασείεις ἅπασαν τὴν γῆν,* εἰς τὸν φόβον σου πιστοὺς* στηρίζων, Κύριε.

Ῥῦσαι σεισμοῦ βαρυτάτου* πάντας ἡμᾶς* καὶ μὴ δώῃς, Κύριε,* ἀπολέσθαι παντελῶς* τὴν κληρονομίαν σου, πολλοῖς* παροργίζουσαν κακοῖς* σὲ τὸν μακρόθυμον.

**Θεοτοκίον**

Ἱκετικῶς σοι βοῶμεν,* μῆτερ Θεοῦ,* τὰ συνήθη σπλάγχνα σου* ἐπὶ πόλιν καὶ λαὸν* συμπαθῶς δεικνύουσα, σεισμοῦ* βαρυτάτου καὶ φθορᾶς* ἡμᾶς ἀπάλλαξον.

**Καταβασία:** Ὡς ἐν ἠπείρῳ πεζεύσας...

**Ὠδὴ β΄. Ὁ εἱρμὸς**

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι Θεός,* ὁ μάννα ἐπομβρήσας* καὶ τὸ ὕδωρ ἐκ πέτρας* πηγάσας πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου,* τῇ μόνῃ δεξιᾷ* καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

Σείσας προβλέψει σου* πᾶσαν τὴν γῆν, παμβασιλεῦ,* ἐνέβαλες εἰς φόβον* ἡμῶν τὰς διανοίας·* ἀλλ' ἄνες, δέσποτα οἰκτίρμων, τὴν ὀργήν σου* καὶ μὴ δῷς εἰς παντελῆ* ἀφανισμὸν τὸν σὸν λαόν.

Τίς δυσωπήσει σε* ὑπὲρ λαοῦ παντοδαπῶν* αἰσχύνης ὀφλημάτων* ἀεὶ καλυπτομένου* καὶ ἀπολέσθαι προσδοκῶντος τῇ ὀργῇ σου;* ἐξ ἧς ἡμᾶς, Χριστέ,* τῷ σῷ ἐλέει ἐξελοῦ.

Ἔδειξας φόβον σου* νυνί, Χριστέ, τῇ φοβερᾷ* προβλέψει σου σαλεύσας* τῆς γῆς τοὺς θεμελίους·* ἀλλὰ συνήθως δεῖξον πάλιν, ἐλεῆμον,* τὸ ἔλεος τὸ σόν,* μὴ ἀπολλύμεθα δεινῶς.

**Θεοτοκίον**

Τίς μόνος ἄνευ σοῦ* δύναται, ἄχραντε ἁγνή,* Θεὸν ἀγανακτοῦντα* καθ' ἡμῶν καταλλάξαι;* διὸ δυσώπει, Παναγία, παῦσαι τάχος* τὸν κλόνον τῆς γῆς* γεννῶντα ὄλεθρον ἡμῖν.

**Καταβασία:** Ἴδετε, ἴδετε...

**Ὠδὴ γ΄. Ὁ εἱρμὸς**

Οὐκ ἔστιν ἅγιος ὡς σύ,* Κύριε ὁ Θεός μου,* ὁ ὑψώσας τὸ κέρας* τῶν πιστῶν σου, ἀγαθέ,* καὶ στερεώσας ἡμᾶς* ἐν τῇ πέτρᾳ* τῆς ὁμολογίας σου.

Ἡ γῆ μαστίζεται ἡμῶν* κακῶς διακειμένων* καὶ ἀεὶ τὴν ὀργήν σου* συγκινούντων καθ' ἡμῶν,* οἰκτίρμον παμβασιλεῦ·* ἀλλὰ φεῖσαι,* δέσποτα, τῶν δούλων σου.

Συσσείσας, Κύριε, τὴν γῆν,* ἐστερέωσας πάλιν* νουθετῶν, ἐπιστρέφων,* τὴν ἀσθένειαν ἡμῶν* στηρίζεσθαι ἐν τῷ σῷ* θείῳ φόβῳ* θέλων, ὑπεράγαθε.

Γεννώσας θάνατον πικρὸν* καὶ σεισμοὺς βαρυτάτους* καὶ πληγὰς ἀνηκέστους* ἁμαρτίας, ἀδελφοί,* ἐκφύγωμεν καὶ Θεὸν* μετανοίας* τρόποις ἐκμειλίξωμεν.

**Θεοτοκίον**

Ἡ μόνη οὖσα ἀγαθή,* τὸν πανάγαθον Λόγον* ἐκτενῶς ἐκδυσώπει* τῆς παρούσης τοῦ σεισμοῦ* ῥυσθῆναι πάντας ὀργῆς,* Θεοτόκε* ἄχραντε, δεόμεθα.

**Καταβασία:** Οὐκ ἔστιν ἅγιος, ὡς σύ...

**Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθεὶς**

Τῆς ἐπελθούσης σου ὀργῆς ἀφορήτου,* ὅτι ἠλέησας ἡμᾶς καὶ ἐρρύσω,* φιλανθρωπίας πέλαγος* δεικνύων, Χριστέ,* νῦν εὐχαριστοῦμέν σοι* παιδευθέντες ἐκκλῖναι* ἀπὸ τῶν κακῶν ἡμῶν* τῶν ἡμᾶς θανατούντων·* ἀλλ' ἐπιβλέψας οἴκτιρον ἡμᾶς* ταῖς ἱκεσίαις,* Σωτήρ, τῆς τεκούσης σε.

Δόξα...Καὶ νῦν... **Τὸ αὐτὸ**

**Ὠδὴ δ'. Ὁ εἱρμὸς**

Χριστός μου δύναμις,* Θεὸς καὶ Κύριος,* ἡ σεπτὴ Ἐκκλησία* θεοπρεπῶς* μέλπει ἀνακράζου-

σα* ἐκ διανοίας καθαρᾶς,* ἐν Κυρίῳ ἑορτάζουσα.

Σαλεύεις, Κύριε,* τὴν γῆν, βουλόμενος* ἑδρασμῷ ἀληθείας* πάντας ἡμᾶς,* δέσποτα, στηρίζεσθαι,* σαλευομένους προσβολαῖς* τοῦ δολίου πολεμήτορος.

Τῇ θείᾳ νεύσει σου* κλονεῖς τὰ σύμπαντα* καὶ δονεῖς τὰς καρδίας* τῶν ἐπὶ γῆς* κατοικούντων, δέσποτα·* τῆς οὖν δικαίας σου ὀργῆς* ἄνες, Κύριε, τὰ κύματα.

Οὐδόλως ἔχοντας* εἰς νοῦν τὸν φόβον σου,* ἐκφοβεῖς τῇ κινήσει* πάσης τῆς γῆς,* μόνε εὐσυμπάθητε·* ἀλλὰ συνήθως ἐφ' ἡμᾶς* τὰ ἐλέη σου θαυμάστωσον.

**Θεοτοκίον**

Ναόν σε, δέσποινα,* Θεοῦ γινώσκοντες, ἐν ἁγίῳ ναῷ σου* χεῖρας οἰκτρὰς* αἴρομεν εἰς δέησιν·* ἴδε τὴν κάκωσιν ἡμῶν* καὶ παράσχου σὴν βοήθειαν.

**Καταβασία:** Χριστός μου δύναμις...

**Ὠδὴ ε΄. Ὁ εἱρμὸς**

Τῷ θείῳ φέγγει σου, ἀγαθέ,* τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς* πόθῳ καταύγασον, δέομαι,* σὲ εἰδέναι, Λόγε Θεοῦ, τὸν ὄντως Θεόν,* ἐκ ζόφου τῶν πταισμάτων* ἀνακαλούμενος.

Καὶ σύ, καρδία, σείσθητι νῦν,* βλέπουσα Θεοῦ τὴν ἀπειλὴν* ἐπικειμένην καὶ βόησον·* Φεῖσαι τοῦ λαοῦ σου, δέσποτα Κύριε,* καὶ παῦσον τὴν δικαίαν* ὀργήν σου, εὔσπλαγχνε.

Λαὸν καὶ πόλιν ἣν περ τῷ σῷ* αἵματι ἐκτήσω, Ἰησοῦ,* μὴ παραδῷς εἰς ἀπώλειαν,* ἐν τῷ συντα-

ράσσειν τὴν γῆν σεισμῷ φοβερῷ·* χορὸς τῶν ἀποστόλων* καθικετεύει σε.

Ὁδούς σου, δέσποτα, τὰς ὀρθὰς* γνώμῃ ὑπεκκλίνοντες στρεβλῇ,* εἰς ἀγανάκτησιν τρέπομεν* σὲ τὸν συμπαθῆ τε καὶ ἀμνησίκακον·* ἀλλ' ἵλεως, οἰκτίρμον,* γενοῦ τοῖς δούλοις σου.

**Θεοτοκίον**

Νῦν βοηθείας ἦλθε καιρός,* νῦν καταλλαγῆς χρεία, ἁγνή,* πρὸς τὸν υἱόν σου καὶ Κύριον,* ὅπως οἰκτιρήσῃ προσκεκρουκότας ἡμᾶς* καὶ τῆς ἐπικειμένης* ὀργῆς λυτρώσηται.

**Καταβασία:** Τῷ θείῳ φέγγει σου, ἀγαθέ...

**Ὠδὴ ς'. Ὁ εἱρμὸς**

Τοῦ βίου τὴν θάλασσαν* ὑψουμένην καθορῶν* τῶν πειρασμῶν τῷ κλύδωνι,* τῷ εὐδίῳ λιμένι σου προσδραμών,* βοῶ σοι·* Ἀνάγαγε* ἐκ φθορᾶς τὴν ζωήν μου,* πολυέλεε.

Οὐκ ἔχοντες, δέσποτα,* παρρησίαν δυσωπεῖν* οἱ ταπεινοὶ τὸ ὕψος σου,* τοὺς ἐκλεκτοὺς ἀγγέλους σου εἰς θερμὴν* κινοῦμεν παράκλησιν·* δι' αὐτῶν τῆς ὀργῆς σου* ἐξελοῦ ἡμᾶς.

Νῦν ἔγνωμεν, Κύριε,* ὡς ἠθέλησας ἡμᾶς* καὶ οὐδαμῶς συνέχωσας* ὑπὸ τὴν γῆν συμπτώμασι χαλεποῖς,* πολλὰ πλημμελήσαντας·* εὐχαρίστως διό σε* μεγαλύνομεν.

Προστάττεις σαλεύεσθαι* τὰ θεμέλια τῆς γῆς,* ὅπως ἡμεῖς παυσώμεθα* οἱ ταπεινοὶ σαλεύεσθαι ἀρετῶν* τῆς κρείττονος στάσεως* καὶ τῷ φόβῳ σου, Λόγε,* στηριζώμεθα.

**Θεοτοκίον**

Ἁγία θεόνυμφε,* ἀπορούμενον νυνὶ* τὸν σὸν λαόν, οἰκτίρησον* καὶ μητρικαῖς πρεσβείαις τὴν καθ' ἡμῶν* Θεοῦ ἀγανάκτησιν* μεταποίησον τάχος,* δυσωπούμέν σε.

**Καταβασία:** Τοῦ βίου τὴν θάλασσαν...

**Κοντάκιον. Ποίημα Ρωμανοῦ τοῦ μελῳδοῦ**

**Ἦχος δ'. Πρὸς τό· Ἐπεφάνης σήμερον**

Τοὺς ἐν θλίψει, Κύριε,* κατεχομένους* μὴ παρίδης κράζοντας* ἐν μετανοίᾳ σοι, Σωτήρ·* Τῇ εὐσπλαγχνίᾳ σου δώρησαι* πᾶσιν ἀνθρώποις* ζωὴν τὴν αἰώνιον.

**Ὁ οἶκος. Πρὸς τό· Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν**

Τὸ ἰατρεῖον τῶν ψυχῶν* τοῖς γνώμῃ ἀρρωστοῦσι* προέθηκας ἀφθόνως,* ὁ μόνος τῶν σωμάτων* καὶ τῶν ψυχῶν ἰατρευτής,* ἵνα οἱ νοσοῦντες* ἰατρείαν ἐξ αὐτοῦ* αἰτοῦσι καὶ λαμβάνουσιν.* Ὁ ῥύστης μὲν γὰρ σπεύδει* τὰ τραύματα* πάντων θεραπεύειν* καὶ πρὸ πάσης ἱκεσίας* χαρίζεται* πάντα συμφερόντως.* Συστέλλει δέ ποτε* τὴν χεῖρα πρὸς δόσιν* διεγείρων τὸ νωθρὸν* τὸ τῶν ῥαθύμων,* πλάττων ὡς σοφὸς* τὴν ἴασιν τῶν πταιόντων,* ἵνα παρέχῃ* ζωὴν τὴν αἰώνιον.

**Ὠδὴ ζ'. Ὁ εἱρμὸς**

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο* ἄγγελος τοῖς ὁσίοις παισί·* τοὺς Χαλδαίους δὲ* καταφλέγον πρόσταγμα Θεοῦ* τὸν τύραννον ἔπεισε βοᾶν·* Εὐλογητὸς εἶ, ὁ Θεός,* ὁ τῶν πατέρων ἡμῶν.

Ὑπερύμνητος εἶ, Κύριε μακρόθυμε,* ὅτι οὐκ ἐθανάτωσας* τοὺς ἱκέτας σου* σπαραγμῷ καὶ κλόνῳ φοβερῷ* τῆς γῆς· ἀλλ' ἐφόβησας, ζητῶν* τὸ ἐπιστρέψαι τῶν κακῶν* καὶ ζῆσαι πάντας ἡμᾶς.

Στεναγμὸν ἀπὸ καρδίας ἀναπέμψωμεν* καὶ δάκρυα προχέωμεν,* ὅπως ἵλεων* τὸν δεσπότην εὕρωμεν Χριστόν,* ἐκτρίψαι σεισμῷ πάντας ἡμᾶς* διὰ πληθὺν ἁμαρτιῶν* ἐπαπειλοῦντα δεινῶς.

Οἴμοι! κράξωμεν καὶ χεῖρας ἐκπετάσωμεν* πρὸς τὸν Θεὸν τὸν ὕψιστον* καὶ παυσώμεθα* τοῦ λοιποῦ ποιεῖν τὸ πονηρόν·* ἰδοὺ ὁ Σωτὴρ ἀγανακτῶν* σαλεύει ἅπασαν τὴν γῆν,* στηρίξαι θέλων ἡμᾶς.

**Θεοτοκίον**

Νεῦσον, ἄχραντε, σωθῆναι τοὺς ἱκέτας σου* ἀπολεσθῆναι μέλλοντας* ἐν ὀργῇ Θεοῦ* καὶ θυμῷ μεγάλῳ καὶ φρικτῷ* τῆς νῦν ἐπελθούσης ἀπειλῆς* διὰ τὸ πλῆθος τῶν πολλῶν* ἁμαρτημάτων ἡμῶν.

**Καταβασία:** Δροσοβόλον μὲν τὴν κάμινον...

**Ὠδὴ η΄. Ὁ εἱρμὸς**

Ἐκ φλογὸς τοῖς ὁσίοις* δρόσον ἐπήγασας* καὶ δικαίου θυσίαν* ὕδατι ἔφλεξας·* ἅπαντα γὰρ δρᾷς,* Χριστέ, μόνῳ τῷ βούλεσθαι.* Σὲ ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Τῆς δικαίας σου ταύτης* ὀργῆς, φιλάνθρωπε,* ἐπελθούσης ἀθρόως,* συνεταράχθημεν* καὶ ἀπελπισμῷ* παντελεῖ συνεσχέθημεν,* προσαγανακτοῦντα* ὁρῶντες καθ' ἡμῶν σε.

Ἀνατείνωμεν χεῖρας,* πιστοί, καὶ ὄμματα* πρὸς τὸν μόνον δεσπότην* σώζειν δυνάμενον,* κρά-

ζοντες· Χριστέ,* τὸν θυμόν σου ἀπόστρεψον* ἀφ' ἡμῶν ταχέως,* φιλάνθρωπος ὑπάρχων.

Χιλιάδες ἀγγέλων,* μαρτύρων σύλλογος,* προφητῶν, ἀποστόλων,* ὁσίων, ἱεραρχῶν* ἅγιος χορὸς* ἱκετεύει σε, δέσποτα·* Φεῖσαι τοῦ λαοῦ σου* τοῦ τεταπεινωμένου.

Ὁ γινώσκων, οἰκτίρμον,* τὸ ἀσθενὲς ἡμῶν* καὶ εὐόλισθον πάντῃ* καὶ ἀδιόρθωτον,* ἄνες τὴν ὀργὴν* καὶ τὸν τάραχον κόπασον* καὶ τῷ σῷ ἐλέει* οἰκτίρησον τὸν κόσμον.

**Θεοτοκίον**

Συμπαθὴς Θεοτόκε,* τὸν εὐσυμπάθητον* ἡ τεκοῦσα Σωτῆρα,* ἴδε τὴν κάκωσιν* καὶ τὸν στεναγμὸν* τοῦ λαοῦ σου καὶ τάχυνον* τοῦ παρακαλέσαι,* ἡμᾶς οἰκτιρηθῆναι.

**Καταβασία:** Αἰνοῦμεν, εὐλογοῦμεν...

Ἐκ φλογὸς τοῖς ὁσίοις...

**Ὠδὴ θ'. Ὁ εἱρμὸς**

Θεὸν* ἀνθρώποις ἰδεῖν ἀδύνατον,* ὃν οὐ τολμᾷ* ἀγγέλων ἀτενίσαι τὰ τάγματα·* διὰ σοῦ δέ, πάναγνε, ὡράθη βροτοῖς* Λόγος σεσαρκωμένος·* ὃν μεγαλύνοντες,* σὺν ταῖς οὐρανίαις στρατιαῖς* σὲ μακαρίζομεν.

Ἰδοὺ* οἱ πάντες ἡμεῖς ἐπταίσαμεν* καὶ φοβερῶς* ἡ γῆ μηδὲν σφαλεῖσα κολάζεται·* νουθετῶν γὰρ ἡμᾶς ὁ φιλάνθρωπος,* ὅλην αὐτὴν σαλεύει·* λάβωμεν αἴσθησιν* καὶ τῆς σωτηρίας ἑαυτῶν ἐπιμελώμεθα.

Ὡρῶν* καὶ χρόνων ὑπάρχων Κύριος,* μιᾷ ῥο-

πῇ* ἠθέλησας ἐκτρίψαι τοὺς δούλους σου·* ὑπὸ δὲ τῆς πολλῆς εὐσπλαγχνίας σου,* δέσποτα, ἐκωλύθης·* εὐχαριστοῦμέν σοι* οἱ ἀναπολόγητοι ἡμεῖς,* μόνε φιλάνθρωπε.

Σεισμοῦ,* μαχαίρας, πικρᾶς ἁλώσεως* καὶ ἐθνικῆς,* Χριστέ, ἐπιδρομῆς καὶ συμπτώσεως* καὶ λιμοῦ καὶ λοιμοῦ καὶ κακώσεως* πάσης ἄλλης, οἰκτίρμον,* ῥῦσαι τὴν πόλιν σου,* ἅπασάν τε χώραν τῶν πιστῶς* ὑμνολογούντων σε.

Ἡ γῆ* ἀγλώσσως βοᾷ στενάζουσα·* Τί με κακοῖς* μιαίνετε πολλοῖς, πάντες ἄνθρωποι;* καὶ ὑμῶν ὁ δεσπότης φειδόμενος,* ὅλην ἐμὲ μαστίζει;* λάβετε αἴσθησιν* καὶ ἐν μετανοίᾳ τὸν Θεὸν* ἐξιλεώσασθε.

**Θεοτοκίον**

Φθορὰν* τῷ τίκτειν μὴ ὑπομείνασα,* πάσης φθορᾶς,* παρθένε, ἐξελοῦ ἡμᾶς ἅπαντας* καὶ σεισμοῦ βαρυτάτου καὶ θλίψεως,* παύουσα τοῦ δεσπότου* τὴν ἀγανάκτησιν* ταῖς σαῖς μητρικαῖς καταλλαγαῖς,* θεοχαρίτωτε.

**Καταβασία:** Θεὸν* ἀνθρώποις ἰδεῖν ἀδύνατον...

**Ἐξαποστειλάριον. Ἦχος γ'. Φῶς ἀναλλοίωτον**

Κύριε, ὁ ἐπιβλέπων* ἐπὶ τὴν γῆν οὐρανόθεν* καὶ ποιῶν ἅπασαν τρέμειν,* ῥῦσαι ἡμᾶς ἀπὸ σεισμοῦ,* τῆς Θεοτόκου πρεσβείαις,* ἣν ἐδωρήσω* χριστιανοῖς προστασίαν.

**Ἕτερον. Θεοτοκίον. Ἦχος β'. Τοῖς μαθηταῖς**

Τὸν σαρκωθέντα Κύριον* ἐξ ἁγνῶν σου αἱμά-

των,* παρθενομῆτορ ἄχραντε,* δυσωποῦσα μὴ παύσῃ* ὑπὲρ ἡμῶν τῶν σῶν δούλων,* ὅπως εὕρωμεν χάριν* καὶ εὔκαιρον βοήθειαν* ἐν ἡμέρᾳ ἀνάγκης* γένος βροτῶν, *ἀπειλῆς σεισμοῦ τε βαρυτάτου,* κινδύνων τε ἐξαίρουσα* μητρικαῖς σου πρεσβείαις.

**Ἕτερον θεοτοκίον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε**

Συνήθως τὰ ἐλέη σου,* φιλάγαθε πανύμνητε,* καὶ τοὺς πολλοὺς οἰκτιρμούς σου* δεῖξον καὶ νῦν, Θεοτόκε,* ἐκ πάσης περιστάσεως,* κινδύνων τε καὶ θλίψεων* πάντας ἡμᾶς ἐξαίρουσα,* τῆς ἀπειλῆς τοῦ σεισμοῦ τε* τῆς φοβερᾶς λυτρουμένη.

**Εἰς τοὺς αἴνους**

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τέσσαρα**

**Ἦχος β΄. Ποίημα Συμεὼν Θαυμαστορείτου (;)**

Τῆς γῆς συνταρασσομένης* τῷ τῆς ὀργῆς σου φόβῳ,* βουνοὶ καὶ τὰ ὄρη συσσείονται, Κύριε·* ἀλλ' εὐσπλαγχνίας ὄμματι ἐφ' ἡμᾶς ἐπιβλέψας,* μὴ τῷ θυμῷ σου ὀργισθῇς ἡμῖν,* ἀλλὰ σπλαγχνισθεὶς ἐπὶ τὸ πλάσμα τῶν χειρῶν σου,* τῆς φοβερᾶς ἡμᾶς τοῦ σεισμοῦ ἀπειλῆς ἐλευθέρωσον,* ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

**(Ἦχος ὁ αὐτὸς)**

Ῥῦσαι ἡμᾶς, Κύριε,* τῆς δικαίας σου ὀργῆς* καὶ τῶν παραπτωμάτων ἡμῶν* διὰ τῆς μετανοίας·* ἐσάλευσας γὰρ τὴν γῆν* καὶ συνετάραξας διὰ τὰς ἡμῶν ἁμαρτίας,* τοῦ δοξάζειν σε τὸν μόνον ἀγαθὸν* καὶ φιλάνθρωπον Θεὸν ἡμῶν.

**Ἦχος πλ. β΄. Ποίημα Συμεὼν Θαυμαστορείτου**

Νινευῖται τοῖς παραπτώμασι* τὴν διὰ τῆς τοῦ σεισμοῦ ἀπειλῆς κατάχωσιν ἤκουον·* ἐν δὲ τῷ μεσιτεύοντι σημείῳ τοῦ κήτους* τὴν διὰ τοῦ Ἰωνᾶ ἀνάστασιν* ἡ μετάνοια παρακαλεῖ·* ἀλλ' ὡς ἐκείνους βοῇ λαοῦ σου* μετὰ νηπίων καὶ κτηνῶν οἰκτίρας προσεδέξω* καὶ ἡμᾶς παιδευομένους* διὰ τῆς τριημέρου ἀναστάσεως* φεῖσαι καὶ ἐλέησον.

**Ἦχος ὁ αὐτός. Ποίημα Γερασίμου μοναχοῦ**

Χριστὲ ὁ Θεός,* ὁ τὸ συμφέρον οἰκονομῶν ἑκάστου* καὶ ἐν σοφίᾳ τὰ πάντα διεξάγων,* συνέτισον ἡμᾶς* τοῦ συνιέναι καὶ πληροῦν τὰς ἐντολάς σου* καὶ τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς* ἀπάλλαξον τὸν λαόν σου, φιλάνθρωπε,* ὃν τῷ οἰκείῳ περιεποιήσω αἵματι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**Ἦχος πλ. δ΄**

Ἀνέτειλας, Κύριε, τὴν ἡμέραν* ἐν ᾗ δικαίως ἐπαίδευσας ἡμᾶς* καὶ μετὰ φόβου πάντες* σοὶ προσπίπτομεν, λέγοντες·* Ἅγιε, ἅγιε, ἅγιε,* δέσποτα Σωτὴρ ἡμῶν,* ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Δέσποινα πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων σου* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## Ι. Εὐλογημένη ἡ βασιλεία...

### ΟΜΑΣ ΑΝΤΙΦΩΝΟΥ Α'

**Δ. Τὴν μεγάλην συναπτὴν**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης...

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου...

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου...

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν...

Ὑπὲρ τῆς πόλεως ταύτης...

Ὑπὲρ τοῦ ἄσειστον καὶ ἄφλεκτον καὶ ἀναίμακτον διαφυλαχθῆναι τὴν πόλιν ἡμῶν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων...

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων...

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς...

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Τῆς παναγίας, ἀχράντου...

**Ι. Τὴν εὐχὴν τοῦ Α' ἀντιφώνου**

Ὁ φοβερὸς καὶ θαυμαστὸς καὶ μέγας, ἔνδοξός τε καὶ ἀληθινὸς Θεός, ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται· ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στύλοι αὐτοῖς οὐ σαλεύονται· ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου σου· ὅτι ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου, ἄμετρον δὲ καὶ ἀνε-

ξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. Αὐτὸς μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου παράσχου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν, καὶ στήριξον τὴν κτίσιν· παῦσον τὸν κλόνον αὐτῆς· ἵδρυνον τὴν δονηθεῖσαν οἰκουμένην καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν· μὴ κατεάξῃς ἡμᾶς ἐν τοῖς κατωτάτοις τῆς γῆς.

**(ἐκφώνως)** Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τῶν μετανοούντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

### Λ. Τὸ Α′ ἀντίφωνον. (Ἦχος πλ. α′). Ψαλμὸς ριθ′

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα καὶ εἰσήκουσέ μου. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Ἐλέησον ἡμᾶς,* φιλάνθρωπε Κύριε.

Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Σῶσον ἡμᾶς,* Χριστὲ ὁ Θεὸς ἡμῶν.

Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Ἐλέησον ἡμᾶς,* φιλάνθρωπε Κύριε.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Σῶσον ἡμᾶς,* Χριστὲ ὁ Θεὸς ἡμῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐλέησον ἡμᾶς,* φιλάνθρωπε Κύριε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Σῶσον ἡμᾶς,* Χριστὲ ὁ Θεὸς ἡμῶν.

### ΟΜΑΣ ΑΝΤΙΦΩΝΟΥ Β′

**Δ. Τὴν μικρὰν συναπτὴν**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Τῆς παναγίας ἀχράντου...

**Ι. Τὴν εὐχὴν τοῦ β′ ἀντιφώνου**

Κύριε Κύριε, ὁ τῷ ἀκοιμήτῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν ἐκ τῶν θεμελίων αὐτῆς· μὴ τῇ ὀργῇ σου ἀπολέσῃς ἡμᾶς, ἀλλὰ δέξαι λαὸν προσπίπτοντά σοι καὶ προσφεύγοντά σοι τοῖς οἰκτιρμοῖς· μὴ μνησθῇς τῶν δεινῶν ἁμαρτιῶν, ἀλλ᾽ ὡς εὔσπλαγχνος Θεός, ἀπόστρεψον τὸν θυμόν σου ἀφ᾽ ἡμῶν καὶ συγχώρησον ἡμῖν τοῖς ἁμαρτωλοῖς, ὥς ποτε τοὺς Νινευίτας προσπίπτοντάς σοι δάκρυσι καὶ στεναγμοῖς. Σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων· αὐτὸς οἴκτιρον, αὐτὸς συμπάθησον, αὐτὸς ἐλέησον, αὐτὸς ἱλάσθητι, αὐτὸς μακροθύμησον ἐπὶ ταῖς πολλαῖς ἡμῶν ἁμαρτίαις καὶ μὴ ἀπολώμεθα δεινῶς καὶ καταβῶμεν εἰς Ἅδου ζῶντες, ὥς ποτε οἱ Σοδομῖται, διὰ τὰς πολλὰς ἡμῶν πλημμελείας· ὅτι ἔργα χειρῶν σού ἐσμεν καὶ πρὸς σὲ ἀποβλέπομεν τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον, τὸν μόνον εὔσπλαγχνον, τὸν μόνον μακρόθυμον, τὸν

μόνον οἰκτίρμονα καὶ ἀνεξίκακον· ἵλεως γενοῦ ἐπὶ τῷ λαῷ σου καὶ μὴ ὀργισθῇς ἡμῖν ἕως τέλους.

**(ἐκφώνως)** Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Λ. Τὸ β΄ ἀντίφωνον. (Ἦχος β΄). Ψαλμὸς ρκ΄**

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Πρεσβείαις τῶν ἁγίων σου,* σῶσον ἡμᾶς, Κύριε.

Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου· ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάζει τὴν ψυχήν σου ὁ Κύριος. Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Πρεσβείαις τῶν ἁγίων σου,* σῶσον ἡμᾶς, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ὁ μονογενὴς Υἱὸς* καὶ Λόγος τοῦ Θεοῦ...

ΟΜΑΣ ΑΝΤΙΦΩΝΟΥ Γ'

**Δ. Τὴν μικρὰν συναπτὴν**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Τῆς παναγίας, ἀχράντου...

**Ι. Τὴν εὐχὴν τοῦ Γ' ἀντιφώνου**

Κύριε παντοκράτορ ὁ Θεὸς ἡμῶν, ἀγαθὲ καὶ φιλάνθρωπε, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ σπλαγχνισθεὶς ἐπὶ τὴν ταπείνωσιν ἡμῶν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς ἀπειλῆς τοῦ κατὰ καιρὸν συμβαίνοντος τῇ γῇ εἰς ἡμετέραν διόρθωσιν σεισμοῦ καὶ πάσης ἄλλης συμφορᾶς καὶ θλίψεως· μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας ἀπολεσθῆναι, μηδὲ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν· ἀλλὰ φεῖσαι τῶν δούλων σου, ὡς ἐφείσω ποτὲ τῶν Νινευιτῶν καὶ τῆς ἐπικειμένης αὐτοῖς ἀπειλῆς ἠλευθέρωσας. Ἔχεις γάρ, δέσποτα, εἰ βούλει ἀφιέναι ἡμῖν καὶ νῦν, τὴν οἰκείαν εὐσπλαγχνίαν ὑπὲρ ἡμῶν ἱκετεύουσαν· δι' ὅπερ δεῖξον ἡμῖν τὰ ἐλέη σου καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

**(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Λ. Τὸ Γ΄ ἀντίφωνον. (Ἦχος πλ. δ΄) Ψαλμὸς ρκα΄**

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ἀλληλούϊα, ἀλληλούϊα.

Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. Ὅτι ἐκεῖ ἐκάθησαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυίδ.

Ἀλληλούϊα, ἀλληλούϊα.

Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ καὶ εὐθυνία τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθυνία ἐν ταῖς πυργοβάρεσί σου.

Ἀλληλούϊα, ἀλληλούϊα.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ· ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Ἀλληλούϊα, ἀλληλούϊα.

**Καὶ γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου**

**Εἰσοδικὸν**

Κύριε, ἐλέησον **(μ΄)**.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**Τὸ ἀπολυτίκιον τοῦ σεισμοῦ. Ἦχος πλ. δ΄**

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν* καὶ ποιῶν αὐτὴν τρέμειν,* ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς* τοῦ σεισμοῦ ἀπειλῆς,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* καὶ κατάπεμψον ἡμῖν* πλούσια τὰ ἐλέη σου,* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Τὸ κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον**

Τοὺς ἐν θλίψει, Κύριε,* κατεχομένους* μὴ παρίδῃς κράζοντας* ἐν μετανοίᾳ σοι, Σωτήρ·* Τῇ εὐσπλαγχνίᾳ σου δώρησαι* πᾶσιν ἀνθρώποις* ζωὴν τὴν αἰώνιον.

**Εἶτα τὸ τρισάγιον, ὡς συνήθως, καὶ τὰ ἀναγνώσματα**

## ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

**Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος βαρύς. Ψαλμὸς κζ΄**

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

**Στίχ.** Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα **(ιβ΄ 6-10).**

Ἀδελφοί, ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν

υἱός, ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. Εἰ δὲ τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

**Ἀλληλούϊα. Ἦχος πλ. α'. Ψαλμὸς νθ'**

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

**Στίχ. α'.** Ὁ Θεὸς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ οἰκτίρησας ἡμᾶς. Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

**Στίχ. β'.** Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη. Ἔδειξας τῷ λαῷ σου σκληρά, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

**Στίχ. γ'.** Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου· ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (η΄ 23-27).

Τῷ καιρῷ ἐκείνῳ, ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων, αὐτὸς δὲ ἐκάθευδε. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἤγειραν αὐτόν, λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. Καὶ λέγει αὐτοῖς· Τί δειλοί ἐστε, ὀλιγόπιστοι; Τότε ἐγερθείς, ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ ἐγένετο γαλήνη μεγάλη. Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

## Η ΕΚΤΕΝΗΣ

Δ. Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ΄).

Δ. Ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως καὶ εὐσταθείας τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ΄).

Δ. Ὑπὲρ τοῦ ἄσειστον καὶ ἄφλεκτον καὶ ἀναίμακτον

διαφυλαχθῆναι τὴν πόλιν ἡμῶν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν εἴπωμεν.

Λ. Κύριε, ἐλέησον (γ').

**Ι. Τὴν εὐχὴν**

Πάλιν σου, Κύριε, τοῦ φιλανθρώπου δεσπότου μνήμη παιδείας· πάλιν ἀχρείων δούλων σου συγχωρήσεως δέησις, γινωσκόντων ὡς, ὅσον ὑπερβάλλεις τῷ μεγέθει, τοσοῦτον καὶ τῇ ἀμνησικάκῳ εὐσπλαγχνίᾳ. Διὸ δεόμεθά σου· Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν, ὅπως μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν, ἀλλ' ἐν τῷ ἐλέει σου ζωώσῃς ἡμᾶς. Καὶ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε.

**(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Κοινωνικὸν (Ψαλμὸς ριε')**

Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

**Στίχοι**: Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ὦ Κύριε, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου.

Διέρρηξας τούς δεσμούς μου, σοὶ θύσω θυσίαν αἰνέσεως καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἱερουσαλήμ.

# ΠΑΡΑΡΤΗΜΑ

## Α΄. ΕΥΧΑΙ ΕΙΣ ΣΕΙΣΜΟΝ

### 1. Εὐχὴ ἐπὶ ἀπειλῇ σεισμοῦ (Εὐχολόγιον τὸ μέγα, Ἑνετίῃσιν 1862, σελ. 538)

Ὁ Θεὸς ὁ μέγας καὶ φοβερὸς καὶ θαυμαστός, ὁ μόνος ἀληθινός, ὁ ποιῶν πάντα καὶ μετασκευάζων· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται· ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στύλοι αὐτῆς οὐ σαλεύονται· ὁ τὰ θεμέλια τῆς γῆς σαλεύων, ἥδρασται δὲ τῷ σῷ νεύματι· ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου· ὅτι ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου· αὐτὸς μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου παράσχου ἡμῖν, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσι· στήριξον τὴν κτίσιν, στερέωσον τὴν γῆν, παῦσον τὸν κλόνον αὐτῆς· ἕδρασον τὴν δονηθεῖσαν οἰκουμένην καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, μηδὲ καταδικάσῃς ἡμᾶς ταῖς ἁμαρτίαις ἡμῶν ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

### 2. (Φιλοθέου πατριάρχου Κωνσταντινουπόλεως), Εὐχὴ ἐπὶ ἀπειλῇ σεισμοῦ (Εὐχολόγιον τὸ μέγα, Ἑνετίῃσιν 1862, σελ. 539-540)

Βασιλεῦ ἅγιε, φιλάνθρωπε δέσποτα, μακρόθυμε Κύριε, ὁ πάσης αἰσθητῆς τε καὶ νοουμένης κτίσεως δημιουργός· ὁ πάντα φέρων τῷ ῥήματι τῆς ἀρρήτου δυνάμεώς σου· ὁ μόνος ἔχων ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν· ὁ παιδεύων ἐν δικαιοσύνῃ καὶ φιλανθρώπως πάλιν ἰώμενος· ὁ τὴν πρόσκαιρον ἡμῶν

ζωὴν τῇ πανσόφῳ σου προνοίᾳ διακυβερνῶν καὶ πάντοθεν τὴν σωτηρίαν χρησίμως κατασκευάζων ἡμῖν· οἴδαμεν, ὅτι διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· καὶ φόβος καὶ τρόμος ἦλθεν ἐφ' ἡμᾶς ἀπὸ προσώπου τῆς ὀργῆς σου, μακρόθυμε. Ἡ καρδία ἡμῶν τετάρακται τῇ μάστιγι αὐτῆς· δειλία θανάτου ἐπέπεσεν ἐφ' ἡμᾶς τῇ συγκινήσει αὐτῆς, μή ποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχὴν ἡμῶν καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος, μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος. Διὰ τοῦτο σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν τὸν μόνον ἀνεξίκακον Κύριον· Μὴ μνησθῇς ἀνομιῶν ἡμῶν ἀρχαίων τε καὶ προσφάτων· μὴ ἀντισταθμήσῃς τῷ βάρει τῶν ἁμαρτιῶν ἡμῶν τὴν προσήκουσαν ἀνταπόδοσιν· ἐὰν εἰσέλθῃς εἰς κρίσιν μετὰ τῆς γενεᾶς ἡμῶν ταύτης, οὐδεὶς ἐνώπιόν σου δικαιωθήσεται, ἀλλ' ἀπολεῖται παντελῶς ἀπὸ τῆς γῆς πάντων ἡμῶν τὸ μνημόσυνον. Μνήσθητι, μακρόθυμε, τῶν ἀπ' αἰῶνος οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου καὶ τῆς πρὸς τοὺς πατέρας ἡμῶν ἀληθινῆς διαθήκης σου καὶ μὴ καταπιέτω ἡμᾶς βυθὸς γῆς, μηδὲ συσχέτω ἡμᾶς τὸ στόμα αὐτῆς, ἀλλ' οἴκτιρον συντετριμμένους ἡμᾶς καὶ τεταπεινωμένους ἐλέησον καὶ ὑπὸ τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς τεθορυβημένους καὶ τρόμῳ πολλῷ καὶ φόβῳ συνεχομένους ἐπίσκεψαι. Εἰ δέ που καί τινες εἰσὶ μέσον ἡμῶν οἱ φοβούμενοι τὸ ὄνομά σου καὶ τηροῦντες τὰ σὰ προστάγματα (βραχεῖά τις ἐκλελεγμένη μερίς, σπέρμα εὐλογημένον, θησαυρὸς κεκρυμμένος, σοὶ μόνῳ γινωσκόμενος καὶ τηρούμενος), κἀκείνων, ὡς ἀγαθός, ἐπάκουσον ὑπὲρ ἡμῶν τῶν ἀναξίων, δεομένων τῆς εὐεργεσίας καὶ τῆς συμπαθείας τῆς σῆς καὶ πρόσδεξαι τὰς δεήσεις τούτων ὑπὲρ λαοῦ ἡμαρτηκότος προσαγομένας σοι, φιλάνθρωπε δέσποτα, ὡς Ἀβραὰμ ὑπὲρ τῶν Σοδόμων, ὡς Δανιὴλ καὶ Ἱερεμίου τῶν θείων σου προφητῶν ὑπὲρ τῆς τοῦ Ἰσραὴλ αἰχμαλωσίας, τὴν σὴν ἱλεωσαμένων ἀγαθότητα· ἵνα κατὰ γενεὰν καὶ γενεὰν δοξάζηταί σου τὸ τῆς φιλανθρωπίας καὶ μακροθυμίας ἀνεξιχνίαστον πέλαγος· καὶ ἡμεῖς προσάγωμέν σοι δῶρον εὐχαριστήριον, τὴν ἡμῶν ἐπιστροφὴν καὶ μετάνοιαν, τῇ κραταιᾷ σου χειρὶ δυναμούμενοι· εὐχαῖς καὶ πρε-

σβείαις τῆς πανάγνου Θεοτόκου καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων ἁγίων· ἀμήν.

**3. (Φιλοθέου πατριάρχου Κωνσταντινουπόλεως), Εὐχὴ ἑτέρα εἰς σεισμὸν (Εὐχολόγιον τὸ μέγα, Ἐνετίησιν 1862, σελ. 540-542)**

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ τῶν οἰκτιρμῶν ἀνεξάντλητος πηγή, τὸ τῆς φιλανθρωπίας ἀνεξιχνίαστον πέλαγος, ἡ ἄπειρος ἄβυσσος τῆς μακροθυμίας καὶ τῆς χρηστότητος· ὁ καὶ τὰς κατὰ γενεὰν ἐπαγομένας τῷ γένει τῶν ἀνθρώπων πληγάς τε καὶ μάστιγας συμφερόντως διὰ φιλανθρωπίας ὑπερβολὴν ἐπιφέρων, ἵνα τὸ πρὸς τὴν ἁμαρτίαν ἡμῶν ἀκρατὲς καὶ ὀξύρροπον, καθάπερ τινὶ χαλινῷ, τῷ θείῳ σου κατεχόμενον φόβῳ, μὴ ἀτάκτως κινῆται κατὰ τῆς θείας εἰκόνος, μηδὲ εἰς τὸ τῆς ψυχῆς εὐγενὲς κακῶς ἐξυβρίζῃ· στῆσον, δεόμεθα, τὸν φοβερὸν τῆς γῆς κλόνον καὶ τὴν ἀήθη ταύτης φοράν, ἣν νῦν δικαίως καθ' ἡμῶν κινεῖσθαι ταύτην προσέταξας, εἰς ὑπόμνησιν τῆς πρὸς πᾶσαν ἁμαρτίαν παρὰ φύσιν ἡμετέρας ὁρμῆς καὶ τῆς σῆς διὰ ταύτην πρὸς ἡμᾶς δικαίας ἀποστροφῆς. Εἰ γὰρ ἡμεῖς τὰ σὰ προστάγματα διεφυλάττομεν καὶ τῶν οἰκείων ὅρων ἐντὸς ἱστάμεθα, οὐκ ἂν ἡ γῆ, τῷ σῷ παντοδυνάμῳ προστάγματι πειθομένη, καθ' ἡμῶν ἐκινεῖτο νῦν, τῆς φυσικῆς ἀκινησίας ἐξισταμένη καὶ τῇ παρὰ φύσιν ταύτης κινήσει καταπιεῖν ἡμᾶς ἐκζητοῦσα. Καὶ δικαίως, ὦ δίκαιε Κύριε· οὐ γὰρ ποιοῦμεν τὰ προστάγματα τῆς βασιλείας σου καί, μὴ ποιοῦντες, οὐ φοβούμεθα τὴν σὴν δικαίαν ὀργὴν καθ' ἡμῶν, δέσποτα· ἀλλὰ τὸ πονηρὸν ποιοῦμεν ἐνώπιον τῶν σῶν ὀφθαλμῶν, μισοῦντες ἀλλήλους, φθονοῦντες ἀλλήλοις, ὀργιζόμενοι κατ' ἀλλήλων· τὴν ἀγάπην ἀπωσάμεθα, τὴν φιλαδελφίαν ἀπεβαλόμεθα· τὴν ἐλεημοσύνην ἀπεθέμεθα καὶ τὴν φιλαργυρίαν ἠγαπήσαμεν· τὴν φιλοκτημοσύνην ἠσπασάμεθα καὶ τὴν ἀκτημοσύνην ἐμισήσαμεν· τὴν γαστριμαργίαν καὶ τὴν φιληδονίαν ἠγαπήσαμεν, τὴν δὲ νηστείαν καὶ ἐγκράτειαν οὐκ ἐποθήσαμεν· καὶ ἁπλῶς, πᾶσάν σου ἐντολὴν ἠθετήσαμεν, Κύριε, καὶ πᾶσαν ἁμαρτίαν διαπραττόμεθα· «διὰ ταῦτα γάρ, φη-

σίν, ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας». Ταῦτα τῆς κακίας ἡμῶν τὰ ἐπίχειρα· τοῦτο τῶν πονηρῶν καὶ ἀκαθάρτων ἡμῶν πράξεων τὸ κατάλληλον ἀποτέλεσμα· ταῦτα τοῦ μίσους καὶ τῆς ὑπερηφανίας καὶ τῶν ἐν κρυφῇ καὶ φανερῶς γινομένων ἀνομιῶν ἡμῶν τὰ δεινὰ κατορθώματα, θανατηφόρους κἀνταῦθα πληγὰς ἐπάγοντα, κλόνους γῆς καὶ σεισμοὺς καὶ λιμοὺς καὶ λοιμοὺς καὶ πολεμίων ἐφόδους καὶ μετὰ ταῦτα τὴν ἀφόρητον ἐκείνην καὶ ἀτελεύτητον βάσανον. Ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον, μηδὲ καταπιέτω ἡμᾶς ζῶντας ἡ γῆ διὰ τὰς ἁμαρτίας ἡμῶν· ἵνα μὴ τὸν τῆς μετανοίας καὶ τῆς ἐπιστροφῆς ζημιωθῶμεν καιρὸν οἱ τάλανες. Εἰ γὰρ καὶ πολλάκις τὴν μετάνοιαν ὑπεσχέθημεν, ἀλλὰ καὶ πολλάκις σοὶ τῷ Θεῷ ἡμῶν ἐψευσάμεθα· διὸ καὶ τὴν τομήν, κατὰ τὴν ἄκαρπον συκῆν, κατέκρινας, τὴν γῆν ἀρτίως προστάξας καλύψαι πάντας ἡμᾶς. Ἀλλ' ἔτι καὶ νῦν μακροθύμησον, ὁ φιλάνθρωπος γεωργός, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· ὁ ἑβδομηκοντάκις ἑπτὰ συγχωρεῖν τοῖς ἀδελφοῖς κελεύων τὰ ἁμαρτήματα, μὴ συναπολέσῃς τὸ μικρόν σου ποίμνιον τοῦτο φόβῳ συντετριμμένον καὶ πένθει τεταπεινωμένον καὶ τῷ τῆς γῆς κλόνῳ τεθορυβημένον καὶ ἀπορούμενον πάντοθεν· ἀλλὰ μνήσθητι, μακρόθυμε, τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου· μνήσθητι, ὅτι ἐπιμελῶς ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ καὶ οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου ἐνώπιόν σου· ἵνα καὶ νῦν, τῆς σῆς ἀφάτου χρηστότητος ἀπολαύοντες, εὐχαριστήσωμεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις καὶ φοβεροῖς ἔργοις σου, ἃ ἐποίησας καὶ ποιεῖς μετὰ τῶν ἀναξίων ἡμῶν κατὰ τὸ τῆς σῆς φιλανθρωπίας ἀνεξιχνίαστον πέλαγος. Χάριτι τοῦ ἀνάρχου σου Πατρὸς καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος· εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου μητρὸς καὶ πάντων τῶν ἁγίων· ἀμήν.

**4. Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Εὐχὴ ἐπὶ σεισμῷ καὶ λιμῷ καὶ πάσῃ ἄλλῃ κακώσει (Ἰ. Φουντούλη, Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Τὰ Λειτουργικὰ Συγγράμματα, τ. Α΄ Εὐχαὶ καὶ Ὕμνοι, Θεσσαλονίκη 1968, σελ. 16-18)**

Κύριε Ἰησοῦ Χριστὲ παντοκράτορ, ὁ Θεὸς τῶν ἀγγέλων, ὁ βασιλεὺς τῶν ἁγίων, ὁ κτίστης τοῦ σύμπαντος, εὐλογημένος εἶ καὶ δεδοξασμένος. Θαυμαστὰ καὶ μεγάλα τὰ ἔργα σου καὶ ὑπὲρ πάντων εὐχαριστοῦμέν σοι τῷ πάντων δημιουργῷ, τῷ σοφῷ τεχνίτῃ, τῷ ποιητῇ τοῦδε τοῦ ὁρωμένου διὰ πάντων μεγίστου καὶ ὀργανικοῦ σώματος, ἐν ᾧ ὥσπερ μὲν καρδίαν τὴν γῆν καθίδρυσας, οὐρανὸν δὲ ὕψωσας ὡς κεφαλήν, οἷα δὲ ὀφθαλμοὺς τὸν ἥλιον ἔθηκας καὶ σελήνην, τοὺς λοιποὺς δὲ ἀστέρας καὶ τὰ στοιχεῖα, τὸ πῦρ λέγω καὶ ἀέρα καὶ ὕδωρ, εἰς ἀναπλήρωσιν τοῦ καθόλου, οἷον μέρη καὶ μέλη συναρμοζόμενα, ἓν σῶμα ἐκ πάντων εὐρύθμως κινούμενον, τόδε τὸ πᾶν οἰκονομεῖν κατεσκεύασας καὶ σοῦ τὴν μεγάλην σοφίαν καὶ δύναμιν ἐπιμαρτυρεῖν. Ἀλλὰ καὶ τὸν μικρὸν ἐν αὐτῷ κόσμον, τὸν ἄνθρωπον, ἔθηκας, δι' ὃν καὶ οὗτος ὁ μέγας κόσμος ἐγένετο, ἀπαθῆ αὐτὸν ἐν ἀπαθεῖ διαιτᾶσθαι καταστήσας χωρίῳ, ἵνα καὶ αὐτὸς καὶ πάντα διαμένωσιν ἄφθαρτα. Ἀλλὰ διὰ τὸ παραβῆναι τὴν ζωηρὰν ἐντολήν σου καὶ φθαρτὸν γεγονέναι καὶ ἡ κτίσις τῇ ματαιότητι καὶ φθορᾷ ὑποτέτακται. Οὐδὲ γὰρ ἦν δυνατὸν ἐν ἀπαθεῖ καὶ ἀφθάρτῳ τὸν θνητὸν διαιτᾶσθαι καὶ φθαρτὸν ἄνθρωπον. Διὸ καὶ ὁ πρὸς οἰκονομίαν καὶ σύστασιν ἡμῶν κόσμος αἴτιος πολλάκις ἡμῖν φθορᾶς δικαίως καθίσταται, ὅτι καὶ φθαρτὸς ὑπῆρξε δι' ἡμᾶς. Ὅθεν ἢ τὸ πῦρ σφοδρότερον ἡμᾶς ἐκθερμαίνει, ἢ ὁ ἀὴρ ὑπὲρ τὸ οἰκεῖον κινεῖται μέτρον, δυσκρασίας καὶ βλάβας φέρων καθ' ἡμῶν, ἢ τὸ ὕδωρ πολλάκις μὲν ἐπιλείπει, πολλάκις δὲ ῥαγδαιότερον καὶ μετὰ πληγῆς καταφέρεται καὶ ἡ γῆ δὲ ἢ κλονεῖται φόβον ἐμποιοῦσα ἡμῖν, ἢ ἵσταται μέν, τοὺς καρποὺς δὲ οὐ κατὰ τὸ προσῆκον τελεσφορεῖ. Πρὸς τούτοις τῇ ἀλλοιώσει τῶν στοιχείων καὶ ἀλλοίωσις ἡμῖν ἐπιγίνεται, ὡς ἐξ αὐτῶν συγκειμένοις, καὶ τὰ σώματα ἡμῶν συμπάσχουσι τούτοις καὶ νόσοι διὰ τοῦτο καὶ θάνατοι γίνονται. Ἀλλ' αὐτός,

Κύριε, ὁ εἰς τοῦτο ταπεινώσας ἡμᾶς, ἵνα σε τὸν αἴτιον ἐπιγνῶμεν καὶ μὴ ἀπονοίᾳ κατεχόμενοι ὑπὲρ τὴν φύσιν ἡμῶν φρονῶμεν, ὁ καὶ οὕτως ἡμῶν ἐχόντων κηδόμενος καὶ πολλάκις ἐν τοῖς στοιχείοις δι' ἡμᾶς ὑπὲρ φύσιν τερατουργῶν, διὸ καὶ ἐν θαλάσσῃ, ὡς ἐπὶ τοῦ Μωυσέως, καὶ ἐν ποταμοῖς καὶ πηγαῖς, ὡς ἐπὶ Ἰησοῦ τοῦ Ναυή, Ἡλία τε καὶ Ἐλισαιέ, καὶ ἐν ἡλίῳ, ὡς ἐπὶ τοῦ Ἰησοῦ πάλιν, καὶ ἐν πυρί, ὡς ἐπὶ τῶν τριῶν Παίδων, ἀφλέκτων μεινάντων ἐν αὐτῷ, καὶ ἐν ἀέρι πολλάκις σημεῖα κατειργάσω παμμέγιστα, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς δεήσεις καὶ συναθροισθεῖσι καὶ ἱκετεύουσι πανδημεί, κλῖνον τὸ οὖς σου ἡμῖν καὶ τὸν ὁρώμενον τοῦτον κόσμον τὴν πρὸς τὸ λυσιτελὲς ἡμῶν κίνησιν κινεῖσθαι κατεύθυνον. Καὶ μὴ ἐπίτασις φλογὸς ἡλιακῆς, οἷον ἐψήσασα τὴν πεπηγυῖαν ἡμῶν ἐκ χυμῶν ταύτην σάρκα, λοιμοὺς καὶ νόσους κατ' αὐτῆς ἐξεγείρῃ καὶ φθορὰ διὰ ταῦτα καὶ θάνατοι γένωνται, μηδὲ ἀέρων ἀκρασίαι ἢ τινος ἄλλου στοιχείου παράλογος κίνησις ἢ τὰ ἡμέτερα σώματα ἢ τὰ πρὸς σύστασιν τούτων δεινῶς παραβλάψῃ καὶ τὰ πρὸς τροφὴν ἡμῶν τε καὶ τῶν ἀλόγων στενώσειε, μηδέ τις ἄλλη προσβολή τινος θλιβεροῦ ἢ ἐχθρῶν ἐπιβουλὴ ἢ δαιμονικὴ μηχανὴ ἢ ἑτέρα ποθὲν ἐπήρεια ἡμῶν καταδραμοῦσα ἰσχὺν ἢ χώραν εὑρήσῃ. Ἄξιοι μὲν γὰρ τούτων ἡμεῖς, ὅτι καὶ τὴν κτίσιν μολύνομεν τοῖς ἔργοις καὶ διὰ τοῦ πλεονεκτικοῦ τρόπου καὶ τῶν ἄλλων πονηρευμάτων καθ' ἡμῶν ταῦτα κινεῖσθαι καταναγκάζομεν. Ἀλλὰ ταῦτα μὲν ἡμῶν ἔργα τῶν ἐναγῶν τε καὶ πονηρῶν, σοῦ δὲ τοῦ ἀγαθοῦ τὸ οἰκτίρειν, τὸ μακροθυμεῖν, τὸ συνέχειν τὸ πᾶν καὶ ὑπὲρ ἡμῶν τῶν ἁμαρτανόντων οἰκονομεῖν. Διὸ μόνον ἡμῶν τὴν πίστιν καὶ τὴν πρὸς σὲ δέξαι ἐλπίδα καὶ μὴ ζητήσῃς ἔργα ἐξ ἡμῶν ἀγαθά, ὡς κτίστης, ὡς πατήρ, ὡς φιλάνθρωπος. Χρῆσαι δὲ συνήθως εἰς ἡμᾶς τῇ σῇ εὐσπλαγνίᾳ καὶ τῶν παρόντων δυσχερῶν καὶ τῶν μελλουσῶν ἐκείνων αἰωνίων κολάσεων ἡμᾶς ἐλευθέρωσον. Διὰ σέ, διὰ τὴν χρηστότητά σου, διὰ τὸ ἄμετρον τοῦ ἐλέους σου, διὰ τὸν σταυρόν, ὃν ὑπέστης, καὶ τὰ λοιπὰ πάθη καὶ τὸν ἐπονείδιστον θάνατον καὶ διὰ τὴν σὴν παναγίαν μητέρα, ἐξ ἧς ἐσαρκώθης, καὶ τὰ τῶν ἁγίων σου ἀγωνίσματα, δι' ὧν οἴκτιρον ἡμᾶς, ἀγαθέ, καὶ ἴασαι

καὶ ἐπίσκεψαι καὶ εἰρήνευσον καὶ σῶσον ὡς ὑπεράγαθος. Ὅτι σοῦ ἐστιν ἡ ἐξουσία καὶ τὸ κράτος καὶ ἡ φιλανθρωπία ἀνείκαστος καὶ σοὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**5. Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Εὐχὴ ἐξομολογήσεως καὶ αἰτήσεως λεγομένη ἐπὶ σεισμῷ καὶ αὐχμῷ καὶ ἐθνῶν ἐπιδρομῇ καὶ ἐπὶ πάσῃ αἰτήσει (Ἰ. Φουντούλη, ἔνθ' ἀνωτ., σελ. 23-25)**

Πολυέλεε καὶ μακρόθυμε Κύριε· ἰδοὺ καὶ πάλιν οἱ ἀσύνετοι ἡμεῖς παιδείαν ἀπειλῆς σου δικαίας δεξάμενοι, φρίκῃ συνεχόμενοι καὶ τρόμῳ κρατούμενοι, ὁμοθυμαδὸν ἅπαντες οἱ τῆς πόλεως ταύτης ἐπισυναθροισθέντες ἐκ πάσης ἡλικίας καὶ γένους, σὺν ἅμα θηλάζουσι, προσερχόμεθά σοι τῷ ἀγαθῷ καὶ πρὸς καταφυγὴν τρέχομεν, πάντες τὴν σκέπην σου καὶ τὸν ἔλεον ἐκκαλούμενοι, οὐ γάρ ἐστιν ἀλλαχόθεν ἐλπίς. Πρὸς τί γὰρ καὶ θαρρήσωμεν τῶν ἡμετέρων ἡμεῖς; Οὐδὲν εἶδος ἀρετῆς ἐν ἡμῖν, οὐ σκιά τινος ἀγαθοῦ, οὐδὲ καθ' ὑπόκρισιν μίμημα, οὐκ ἀληθείας ἴχνος, οὐ δικαιοσύνης καρπός, οὐκ ἀγάπης, ἣν ἐξαιρέτως ἡμῖν παραδέδωκας, οὐκ εἶδος εὐλαβείας, οὐ ταπεινώσεως, οὐ συμπαθείας τῆς πρὸς τοὺς ἀδελφούς, οὐκ ἐλεημοσύνης ἔργον πρὸς τοὺς πενομένους, οὐ καθαρότης σώματος διὰ σωφροσύνην, οὐ προσοχὴ ψυχῆς διὰ τὸν πρὸς σὲ ἢ φόβον ἢ πόθον, ἀγαθέ, οὔτε ἕτερον τῶν θείων ἐν ἡμῖν γνωρισμάτων, ἃ παριστῶσι χριστιανόν. Τἀναντία δὲ μᾶλλον. Ψεύδους καὶ συκοφαντίας καὶ δόλων ἐσμὲν πλήρεις. Ἀδικίας, πλεονεξίας καὶ ἁρπαγῆς ὑπάρχομεν ἐργαστήρια. Μίσους καὶ φθόνου, ἔριδός τε καὶ μάχης, ὑπερηφανίας τε καὶ ἐπάρσεως ὑπάρχομεν ὄργανα. Ἄσπλαγχνοι περὶ τοὺς πάσχοντας, ἀσυμπαθεῖς περὶ τοὺς ὁμοδούλους τυγχάνομεν πένητας. Ἀκαθαρσίας ἁπάσης καὶ μολυσμοῦ γεγενήμεθα σκεύη, τὰς ψυχὰς ἡμῶν ταῖς φιληδονίαις καὶ τὰ σώματα ταῖς ἡδυπαθείας καταχραίνοντες, ἑκουσίως τῆς σῆς ἁγιότητος μακρυνόμεθα. Ῥάθυμοι καὶ ἀναπεπτωκότες πρὸς ἅπαν τελοῦμεν ἀγαθόν, πρόθυμοι δὲ πρὸς ἅπαν πο-

νηρὸν καὶ ὀλέθριον. Καὶ περὶ μὲν τὰς προσευχὰς καὶ τὴν περὶ τοὺς θείους ναοὺς συνδρομὴν τοσοῦτον ἀμελῶς διακείμεθα, ὡς μηδὲ λογιζόμενοι τοῦτο τὸ ἔργον εἶναι ὅλως χριστιανοῦ, πρὸς δὲ μωρολογίαν ἅπασαν, ἀργολογίαν τε καὶ αἰσχρολογίαν, παίγνιά τε καὶ γέλωτας σπουδαῖοι καὶ ἐναγώνιοι πάντες. Οὐδὲν πνευματικόν ἐστιν ἀκοῦσαι ἐκπορευόμενον τῆς γλώσσης ἡμῶν, τοῦτο δὲ μᾶλλον τὸ λαλῆσαί τι θεῖον μεμπταῖόν ἐστι καὶ βδελυκτόν. Τοιαῦτα δὲ τὸ στόμα ἡμῶν ἐξερεύγεται, ὅσα καὶ σὲ παροργίζει τὸν ἀγαθὸν καὶ κατ' ἀλλήλων ἡμᾶς πρὸς μανίαν καὶ ἀσέλγειαν ἐρεθίζει καὶ ὅλως πάντα τὰ ἔργα ἡμῶν καὶ βουλεύματα ἀκαθαρσία εἰσὶ καὶ ἁμαρτία. Διὸ καὶ ἐν μηδενὶ θαρρεῖν ἔχοντες πρὸς σὲ καταφεύγομεν πάλιν, ὃν ἀεὶ παροργίζομεν, πεποιθότες καὶ μετὰ τὸ τοσοῦτον παραλυπῆσαί σε καὶ τηλικαῦτα ἐξαμαρτεῖν, δι' ἃ τὴν δικαίαν σου ἀπειλὴν πολλάκις ἡμῖν ἐπιφέρεις, ἐπανατείνων καὶ τὴν ὀργήν, ἐὰν μὴ μετανοίᾳ διορθωθῶμεν, ὅτι τὸν ἔλεον εὑρήσομεν καὶ τὴν συμπάθειαν τῶν κακῶν, μόνον εἰ προσέλθομέν σοι μετανοοῦντες. 'Αλλὰ καὶ τοῦτο ὄντως μέγιστον τῶν ἁμαρτημάτων ἡμῶν, ὅτι καὶ μετανοεῖν ἐπιχειροῦντες, αὖθις μετ' ὀλίγον τῆς ἀπειλῆς παυομένης ἀδιόρθωτοι μένομεν καὶ τοῖς προτέροις ἢ καὶ χείροσιν ἑαυτοὺς ἐπιρρίπτομεν κακοῖς καὶ φόβος μήπως ἡ ἀπειλὴ εἰς ἔργον ἐξέλθῃ, ἀμετανοήτως ἡμῶν διακειμένων, καὶ ἢ χανοῦσα ἡ γῆ οὕτω δεινῶς σειομένη καταπίῃ ἡμᾶς ὡς πάλαι τοὺς περὶ Δαθὰν ἐκεῖνον καὶ 'Αβειρών, ἢ πυρποληθῶμεν ὑπὸ τῆς ἄγαν τοῦ ἡλίου φλογώσεως, δρόσου μὴ κατερχομένης ἡμῖν, ὡς τοῖς Σοδομίταις συνέβη, ἢ λιμοῦ γενώμεθα παρανάλωμα, ὡς ἐν ταῖς ἡμέραις τοῦ 'Αχαὰβ διὰ τοῦ 'Ηλιοὺ γέγονεν, ἢ θάνατος ἡμᾶς αἰφνηδὸν διαφθείρῃ, ὡς ἐπὶ Δαυὶδ τοῦ προφήτου τῷ ἔθνει τῶν 'Ιουδαίων ὑπῆρξεν. 'Αλλὰ μὴ τῷ θυμῷ σου, Κύριε, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Καὶ ἐὰν ἀνομίας παρατηρήσῃς, τίς ὑποστήσεται; Διὸ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου. 'Απεπάγημεν τῷ δέει, Κύριε, τῆς δικαίας ὀργῆς σου. Τὸ μνῆμα καὶ πρὸ θανάτου προσεδοκήσαμεν. Τοσοῦτον καθ' ἡμῶν ἡ γῆ ἐσαλεύθη, ἀγανακτοῦσα κατὰ τῶν πονηρῶς ἐπάνω ζώντων αὐτῆς. Οἱ συνε-

χεῖς αὐχμοὶ τὰς ψυχὰς ἡμῶν σὺν τοῖς σώμασι θλίβουσιν. Αἱ ἐπιβουλαὶ τῶν ἐχθρῶν καὶ ἐπαναστάσεις φόβον ἡμῖν διηνεκῆ ἐμποιοῦσιν. Ἡ στενοχωρία τῶν χρειῶν καιροὺς ἱκανοὺς ἡμᾶς κατατρύχει. Καὶ δικαίως καὶ μέτρια ταῦτα καὶ ἐν ἐλέει πρὸς τὰς ἀμυθήτους ἡμῶν κακίας. Ἀλλὰ μὴ δι' ἡμᾶς, ἀλλὰ διὰ σὲ ἐπικάμφθητι τοῖς ταλαιπώροις ἡμῖν καὶ ἄνοιξον τὰ θεῖα σπλάγχνα τῆς σῆς χρηστότητος. Ἴδε τὴν πόλιν ταύτην πολυάνθρωπον οὖσαν νῦν ὀλιγωθεῖσαν διὰ τὰς ἁμαρτίας ἡμῶν. Ἴδε τὴν θλῖψιν τῶν ἐν αὐτῇ πενήτων σου. Ἴδε τὴν στένωσιν τῶν πτωχῶν τοῦ λαοῦ σου καὶ ἐπικαμφθείς, ὁ κατὰ φύσιν μόνος ἐλεήμων καὶ συμπαθής, στῆσον τὴν καθ' ἡμῶν δικαίαν ὀργήν σου. Λῦσον ἡμᾶς τῶν συνεχόντων δεινῶν. Ῥῦσαι τὴν πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν σου ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου. Δὸς τῇ γῇ ὑετὸν ἀγαθότητός σου, φιλάγαθε. Διάθρεψον τὰ ὡραῖα ταύτης, τοὺς καρποὺς αὐτῆς πρὸς διατροφὴν ἡμῶν πλουσίως χορήγησον. Στῆσον τὸν κλόνον τῆς γῆς, ὃς ἡμῖν ἐπιγινόμενος συνεχῶς τὰς ψυχὰς ἡμῶν ἐκταράττει καὶ ἀπελπίζειν ποιεῖ. Ἀπάλλαξον ἡμᾶς τῆς καταλαβούσης νυνὶ καὶ ἀπειλούσης μάστιγος τοῦ θανάτου. Οἴδαμεν ὡς πρὸς διόρθωσιν ἡμῶν ταῦτα γίνεται, ἀλλὰ τίς ὁ μὴ φοβούμενος τὴν ὀργήν σου; Διό, συμπαθέστατε Κύριε, δὸς ἡμῖν ἐν εἰρήνῃ καὶ ἐν ἀνέσει τὴν παροῦσαν διεξάγειν ζωὴν καὶ τῆς μελλούσης δόξης σου μὴ στερήσῃς ἡμᾶς, φιλάνθρωπε, μεσιτευούσης πρὸς ταῦτα καὶ τῆς ἀλοχεύτως τεκούσης σε συμπαθεστάτης δεσποίνης ἡμῶν, τῆς Θεοτόκου, δυσωποῦντος καὶ τοῦ μεγάλου ἀγωνιστοῦ σου καὶ κήρυκος Δημητρίου, τοῦ προμάχου τῆσδε τῆς πόλεως, καὶ πάντων τῶν ἁγίων σου σὺν αὐτοῖς· εὐδοκίᾳ καὶ χάριτι τοῦ προαιωνίου καὶ ἀνάρχου Πατρός σου καὶ ἐλέει τοῦ παναγίου καὶ συναϊδίου σου Πνεύματος, ὅτι εὐλογημένος σὺν αὐτοῖς καὶ δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Β'. ΚΟΝΤΑΚΙΟΝ ΡΩΜΑΝΟΥ ΤΟΥ ΜΕΛΩΔΟΥ

**κατανυκτικὸν ψαλλόμενον εἰς ἕκαστον σεισμὸν καὶ ἐμπρησμόν, φέρον ἀκροστιχίδα τήνδε· «Τοῦ ταπεινοῦ Ρωμανοῦ ὁ ψαλμός» (Ν. Τωμαδάκη, Ρωμανοῦ τοῦ μελῳδοῦ ὕμνοι, τ. Α', Ἀθῆναι 1952, σελ. 82-116)**

**Ἦχος δ'. Πρὸς τό· Ἐπεφάνης σήμερον**

Τοὺς ἐν θλίψει, Κύριε,* κατεχομένους* μὴ παρίδῃς κράζοντας* ἐν μετανοίᾳ σοι, Σωτήρ·* Τῇ εὐσπλαγχνίᾳ σου δώρησαι* πᾶσιν ἀνθρώποις* ζωὴν τὴν αἰώνιον.

### Οἱ οἶκοι

### Πρὸς τό· Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν

α'. Τὸ ἰατρεῖον τῶν ψυχῶν* τοῖς γνώμῃ ἀρρωστοῦσι* προέθηκας ἀφθόνως,* ὁ μόνος τῶν σωμάτων* καὶ τῶν ψυχῶν ἰατρευτής,* ἵνα οἱ νοσοῦντες* ἰατρείαν ἐξ αὐτοῦ* αἰτοῦσι καὶ λαμβάνουσιν.* Ὁ ῥύστης μὲν γὰρ σπεύδει* τὰ τραύματα* πάντων θεραπεύειν* καὶ πρὸ πάσης ἱκεσίας* χαρίζεται* πάντα συμφερόντως.* Συστέλλει δέ ποτε* τὴν χεῖρα πρὸς δόσιν* διεγείρων τὸ νωθρὸν* τὸ τῶν ῥᾳθύμων,* πλάττων ὡς σοφὸς* τὴν ἴασιν τῶν πταιόντων,* ἵνα παρέχῃ* ζωὴν τὴν αἰώνιον.

β'. Ὁ τῆς ζωῆς γὰρ χορηγὸς* ἡ πάντων σωτηρία* πρὸς πάντας ἡπλωμένη* οὐ περιγραφομένη* ἀεὶ ἀέναος πηγὴ* πᾶσι μὲν δωρεῖται* ὡς δεσπότης ἀγαθὸς* μεγάλα τὰ χαρίσματα.* Θέλει δὲ αἰτεῖσθαι* τὰς χάριτας,* ἵνα συνεθίσῃ* τοὺς οἰκέτας τοῦ προσφέρειν* τὴν δέησιν* τούτῳ ὡς δεσπότῃ.* Ὀργίζεται δέ που* ἐπὶ ῥᾳθυμίαις,* προσποιούμενος ἀεὶ* ὅπερ οὐκ ἔχει,* χρηστότητος γὰρ* τὸ ἔργον ὑπάρχει τοῦτο,* ἵνα παρέχῃ* ζωὴν τὴν αἰώνιον.

γ'. Ὑπόδειγμα δὲ ἀληθὲς* τῆς τούτου εὐσπλαγχνίας* καὶ ὅτι οὕτως ἔδει* ἐν σχήματι δὲ μόνῳ* ὀργίζεται ὁ ἀγαθός,* τοὺς Ἰσραηλίτας* ἁμαρτήσαντάς ποτε* καλῶν πρὸς ἐπιστροφὴν* πρὸς τὸν Μωυσέα λέγει* τὸν δίκαιον·* «Ἔασόν με, φίλε,* θυμωθῆναι καὶ ἐκτρίψαι* τοῖς νόμοις μου* τοὺς μὴ πειθαρχοῦν-

τας».* Κεκράτητο μὲν γάρ* τῇ φιλανθρωπίᾳ,* ἐπιγράφει δὲ Μωσῇ* δῆθεν τὸ σχῆμα·* «Ἔασον, φησίν,* ἐκτρίψω τοὺς ἀπειθοῦντας,* ἵνα καὶ δώσω* ζωὴν τὴν αἰώνιον».

δ'. Τούτῳ γὰρ δῆθεν τῷ Μωσῇ* τὴν πᾶσαν ἐπιγράφει* κατάστασιν ὁ κτίστης,* δεικνὺς φιλανθρωπίας* μεστὴν ὑπάρχειν τὴν ὀργὴν* τίθησιν εἰς χεῖρας* Μωυσέως τοῦ θυμοῦ* ὁ πλάστης τὴν διοίκησιν,* ἵνα ἀκούων σου* τὸ «ἄφες με»* ἔννοιαν κινήσῃ* ὅτι ὅλως ἐξισχύει* κρατεῖν αὐτοῦ* ὅτ' ἂν ὀργισθείη,* προσπέσῃ δὲ αὐτῷ* καὶ κράξας βοήσῃ·* «Ἀμνησίκακε Θεὲ* καὶ πανοικτίρμον,* οὐ μή σε ἀφῶ,* ἂν μή μοι κατεπαγγείλῃ* τούτοις παρέχων* ζωὴν τὴν αἰώνιον».

ε'. Ἄγαν ἦν οἰκονομικὸν* καὶ τὸ τῆς Χαναναίας,* ὅτι περ θεραπεύειν* ἐπείγετο ὁ κτίστης* τὴν θυγατέρα τὴν αὐτῆς,* «ἆραι γὰρ τὸν ἄρτον* τὸν τῶν τέκνων καὶ βαλεῖν* κυσί, φησίν, οὐ δίκαιον».* Ἔνδοθεν ὁ δεσπότης* φιλάνθρωπος,* ἔξωθεν ὀργίλος,* οὐκ ὀκνεῖ γὰρ ὑπολήψεις* προσκτήσασθαι* τῶν καθυβριζόντων,* σπουδάζων ὡς σοφὸς* τὴν ὑβριζομένην* στεφανῶσαι τὴν καλῶς* ἀνεχομένην·* οὔτε γὰρ ναρκᾷ* τὸ γύναιον πρὸς τὴν ὕβριν,* ἀλλὰ καὶ αἰτεῖ* ζωὴν τὴν ἀληθινήν.

ς'. «Πᾶσα γὰρ δόσις ἀγαθὴ* καὶ πᾶν δώρημα κρεῖττον* ἐξ ὕψους καταβαίνει* ἐκ τοῦ πατρὸς τῶν φώτων»,* ὡς ὁ ἀπόστολός φησιν,* ἀλλ' οὐ κατ' ἀνάγκην·* τῇ αἰτήσει δὲ ἡμῶν* θελήσει παραγίνεσθαι.* Τῷ μὲν γὰρ ἡ ἀνάγκη* ἐχθρά ἐστι* πᾶσά τε ἡ βία·* οὐ γὰρ θέλει τῶν ἀνθρώπων* βιάζεσθαι* γνώμας τὰς ἐν τούτοις.* Αὐτὸς ὡς ἀγαθὸς* τὴν βίαν ἐκ τούτων* ὑπομένει ἐνδιδούς,* χαίρει γὰρ ὄντως* παρὰ βιαστῶν* ἁρπάζεσθαι βασιλείαν* τὴν αἰώνιον.

ζ'. Ἐν τούτοις βούλεται Θεὸς* ἡμεῖς δὲ ἀμελοῦμεν* καὶ φεύγομεν προθέσει* τὴν χάριν τοῦ Σωτῆρος* ἐπιθυμοῦντες τῶν κακῶν.* Πρᾶξις γὰρ ὁποία* εὑρεθήσεται ἡμῖν* ἢ ποῖος λόγος ἄξιος* πρὸς τὸν ὑπὲρ ἀνθρώπων* ἑλόμενον* πάντα ὑπομεῖναι;* τίς ἡμᾶς δὲ ἐξαιλεῖται* καὶ ῥύσεται* ἄρα ἐν ἀνάγκῃ;* καὶ μὴ αὐτὸς ἡμᾶς* Χριστὸς καθ' ἑκάστην* προτρεπόμενος καλεῖ* καὶ οὐ φρονοῦμεν;* ὥσπερ γὰρ πατὴρ* ἐπάγει τὴν σωφροσύνην,* ἵνα παράσχῃ* ζωὴν τὴν αἰώνιον.

η'. Ἰδοὺ ὁποῖα γέγονε* τῷ γένει τῶν ἀνθρώπων* παρὰ τοῦ φιλανθρώπου* καὶ ποῖα ἀντεδόθη* ὑπὲρ ἁπάντων τῷ Θεῷ.* Τὸ φυτὸν τὸ πρῶτον,* ὃ ἐφύτευσεν εὐθὺς* καλὸν τῆς ἀνθρωπότητος, *πῶς ἄκαρπον εὑρέθη* καὶ ἄξιον* τοῦ ἐκριζωθῆναι;* τὸν δὲ φίλον ὅνπερ ἔσχε* συνέστιον* εὕρηκε προδότην;* Ἐκεῖνος μὲν ἐκ τῶν* τῆς δημιουργίας* προοιμίων τυραννεῖν* διενοήθη,* οὗτος, πιστευθεὶς* τὸν πλοῦτον, Χριστὸν ἐπώλει,* ὅθεν οὐκ ἔχει* ζωὴν τὴν αἰώνιον.

θ'. Ναρκοῦν λαμβάνει τὴν ἀρχὴν* τὸ γένος τῶν ἀνθρώπων* ἐκ τῆς τοῦ πρωτοπλάστου* ῥίζης τοῦ ἁμαρτάνειν* ἐξ ἐναντίας τῷ Θεῷ,* ἀλλ' ὁ ἐλεήμων* φιλανθρώπως γεωργεῖ* ἀρδείαις τοὺς χηρεύοντας,* ποτὲ μὲν νουθεσίαις,* ἠπείλει δὲ* ἄλλοτε παιδεύων,* πρὸς δὲ τούτοις καὶ προφήταις* ἐχρήσατο* νόμων ταῖς φυτείαις.* Ὅθεν τῇ ἀρετῇ* τῇ τῆς γεωργίας* ἐξεβλάστησε καλὸν* δένδρον τῷ γένει* ἐκ παρθενικῆς* νηδύος ἐξανατέλλων,* πᾶσι παρέχων* ζωὴν τὴν αἰώνιον.

ι'. Ὁπόσα μὲν οὖν ὁ Χριστὸς* ἐτέλει φιλανθρώπως* εἰς πάντων σωτηρίαν* πᾶσι δῆλον ὑπάρχει* τοῖς πεποιθόσιν ἐπ' αὐτῷ.* Πῶς μὲν τοὺς τελώνας* μαθητεύειν τοῖς αὐτοῦ* ἐδίδαξεν ὡς εὔσπλαγχνος* καὶ ὅπως καὶ τὰς πόρνας* ἐπαίδευσε* χάριν μετανοίας,* ἁλιεύει ἐκ ναμάτων* καὶ γύναιον* ἐκ τῆς Σαμαρείας·* ἐκτρέφει θαυμαστῶς* καὶ τοὺς ἀχαρίστους* καὶ ἐχόρτασεν αὐτοὺς* ἐν τῇ ἐρήμῳ,* οἶνον δὲ αὐτοῖς* ἐξ ὕδατος ἐχορήγει,* πᾶσι παρέχων* ζωὴν τὴν αἰώνιον.

ια'. Ὑπὲρ ἁπάντων τῶν βροτῶν* τὸ χρέος ἀποτίσας* τὸ ἐκ τῆς ἁμαρτίας,* ἐδίδαξε τοὺς πάντας* τηρεῖν αὐτοῦ τὰς ἐντολάς.* Ἀλλ' ἐπείπερ ταύτας* οὐ φυλάττομεν ἡμεῖς* βουλήσει παρατρέχοντες,* ὀργῆς ἡμᾶς πολλάκις* διήγειρεν* ἅπαντας δειλία* ἢ θυμὸς ὁ περιζέων* θερμότητι* πρὸς τὴν τιμωρίαν.* Ἀλλ' ὥσπερ ἰατρὸς* προσφέρει τῷ πάθει* τὸ δριμύτατον ἀεὶ* τὸ τῶν φαρμάκων,* οὕτως ὁ Χριστὸς* παιδεύει καὶ ἰατρεύει* πᾶσι παρέχων* ζωὴν τὴν αἰώνιον.

ιβ'. Ῥᾳδίως ἴδωμεν σαφῶς* πῶς πάντας ἰατρεύει* καὶ πάσαις δὲ ταῖς νόσοις* ἐμπλάστρους προσαρμόζει* ὁ τῶν ψυχῶν ἰατρευτής·* οἶδε ποῖον πάθει* ἐπιτήδειόν ἐστι* καὶ χρήσιμον

παράγγελμα,* ἐπίσταται δὲ* ποῖον χειρούργημα* τραύματι ἁρμόζει.* Εἰ δὲ καὶ ταῖς κολακείαις* ὁ πάσχων δὴ* ἀποστασιάζει,* λοιπὸν ἐφ' ἕτερον* μεταβαίνει τρόπον* καὶ δι' ἔργων τοῦ λοιποῦ* ἀδρανεστέρων* πράττων ὡς σοφὸς* τὴν τέχνην τῆς ἰατρείας,* ἵνα καὶ σχῶμεν* ζωὴν τὴν αἰώνιον.

ιγ'. Ὡς γὰρ οὐ λόγων ἐπῳδαῖς* τὰ πάντων ἰατρεύων* εὕρῃ τοὺς ἀπειθοῦντας,* μετέρχεται ἐν ἔργοις* τὴν θεραπείαν τὴν ἡμῶν·* σείει γὰρ τὴν κτίσιν* καὶ ποιεῖ βρύχειν τὴν γῆν* ἐκ τῶν ἁμαρτιῶν ἡμῶν.* Τὸν χρόνον τοῦ σεισμοῦ δὲ* στενάξαντες* πάλιν πρὸς τὸ ἔθος* ἐκδραμόντες, λησμοσύνῃ* δεδώκαμεν* ἅπαντα τὸν φόβον.* Διὸ προσέταξε* νεφέλαις πολλάκις* τὰς ψεκάδας μηδαμῶς* δοῦναι τὸν ὄμβρον,* ἵνα τῆς ψυχῆς* τὸ ῥάθυμον ἀφυπνίσῃ,* ὥστε αἰτεῖσθαι* ζωὴν τὴν αἰώνιον.

ιδ'. Μίαν δευτέραν τὴν πληγὴν* ὁ κτίστης ἐπιφέρων, *ἀνθρώπους δὲ εὑρίσκων* κρείττους μὴ γινομένους* ἀλλὰ καὶ χείρους ἑαυτῶν,* τότε ἀθυμίαν* ἐπιφέρει εἰς αὐτὴν* τὴν τράπεζαν τῆς χάριτος,* καυθῆναι συγχωρήσας* τὰ ἅγια* τὰ τῆς ἐκκλησίας,* ὡς καὶ πρώην ἀλλοφύλοις* ἐκδέδωκε* κιβωτὸν τὴν θείαν.* Καὶ ἐξεχέετο* ὁ θρῆνος τοῦ πλήθους* ἐν πλατείαις τε ὁμοῦ* καὶ ἐκκλησίαις·* τὰ πάντα γὰρ πῦρ* διέφθειρεν, εἰ μὴ ἔσχον Θεὸν* τὸν παρέχοντα πᾶσι* ζωὴν τὴν αἰώνιον.

ιε'. Ἅπαντες ἴσασιν, εἰκός,* τὰ τότε γεγονότα* ὧν εἰκότως ἡ μνήμη* τὸν νοῦν αἰχμαλωτίζει* καὶ τὴν διάνοιαν ὑμῶν* καὶ ὀκνηροτέραν* καὶ τὴν γλῶτταν τὴν ἡμῶν* ποιεῖ πρὸς τὴν διήγησιν.* Τὸ πῦρ μὲν γὰρ ταῖς ὕλαις* ἐτρέφετο* σπεῦδον διατρέχειν,* ὑπ' ἀνέμων ἐπιφόβων* ὠθούμενον* πρὸς τὸ κατακαίειν.* Ἡμεῖς δὲ πρὸς αὐτὸ* τὸ πάθος ἀλγοῦντες* εἰς κακίαν τὴν ὀργὴν* μεταπιοῦμεν.* Οὐκ ἔγνωμεν γὰρ* κἂν τούτοις μετανοῆσαι,* ὥστε καὶ ἔχειν* ζωὴν τὴν αἰώνιον.

ις'. Νεφέλης δίκην μὲν τὸ πῦρ* ἐν ὅλῳ τῷ ἀέρι* ἐκτύπτει ἐξαστράπτον* καὶ πάντα καταφλέγον,* ἦχον καὶ φόβον ἐμποιοῦν,* οὐκ ἀνέμοις εἶχον* ἐναντίοις καὶ πολλοῖς,* οὐχ ὕδατα φοβούμενον.* Πρὸς τούτοις δὲ τὸ ὕδωρ* ἐγείρετο* τὸ ἐν τῇ θαλάσσῃ,* τῶν ἀνθρώπων δὲ αἱ χεῖρες* ἀνόνητοι* πρὸς ἐπι-

κουρίαν.* 'Αντέτεινεν αὐτοῖς* τὸ πῦρ καὶ ἐνίκα* καὶ ἡ θάλασσα αὐτή* ἐφιλονίκει,* ἐκώλυε γὰρ* τοὺς φεύγειν ἐπειγομένους,* ὅθεν ἐκάλουν* ζωὴν τὴν αἰώνιον.

ιζ΄. Ὅμως, ἵν' εἴπω συνελών,* πάντα τὰ ἐν τῷ ἄστει* σὺν καὶ ταῖς ἐκκλησίαις,* ἅμα τῷ παλατίῳ* πάσης ἐλπίδος ἦν ἐκτός,* ὅσον ἐπ' ἀνθρώποις,* ἀλλὰ πάντα ὁ Θεὸς* συνήθως ἐπεσκέψατο.* Διὰ μὲν τοὺς αἰτοῦντας* τὸ ἔλεος καὶ τοὺς δεομένους* σωφρονίζει καὶ παρέχει* τὸν οἰκτιρμὸν* πᾶσιν ὁ δεσπότης,* διὰ δὲ τοὺς κακοὺς* τοὺς μὴ βουλομένους* ὑπ' αὐτῆς τῆς ἀπειλῆς* σωφρονισθῆναι,* ἐπάγων ὀργὴν* ἐν στόματι μαχαίρας,* ὥστε γνωρίζειν* ζωὴν τὴν αἰώνιον.

ιη΄. Ὑπὸ μὲν τούτων τῶν δεινῶν* κατείχετο ἡ πόλις* καὶ θρῆνον εἶχε μέγαν* Θεὸν οἱ δεδιότες* χεῖρας ἐξέτεινον αὐτῷ,* ἐλεημοσύνην* ἐξαιτοῦντες παρ' αὐτοῦ* καὶ τῶν κακῶν κατάπαυσιν.* Σὺν τούτοις δὲ εἰκότως* ἐπηύχετο* καὶ ὁ βασιλεύων* ἀναβλέψας πρὸς τὸν πλάστην,* σὺν τούτῳ δὲ* σύνευνος ἡ τούτου·* «Δός μοι», βοῶν, «Σῶτερ,* ὡς καὶ τῷ Δαυὶδ σου,* τοῦ νικῆσαι Γολιάθ,* σοὶ γὰρ ἐλπίζω·* σῶσον τὸν πιστὸν* λαόν σου ὡς ἐλεήμων,* οἷσπερ καὶ δώσῃς* ζωὴν τὴν αἰώνιον».

ιθ΄. Ὅτε δὲ ἤκουσε Θεὸς* φωνῆς τῆς τῶν κραζόντων* καὶ τῶν βασιλευόντων,* καὶ ἔδωκε τῷ ἄστει* τοὺς φιλανθρώπους οἰκτιρμούς·* ὀδυρμὸς πικρὸς γὰρ* ἐγεγόνει δι' αὐτοὺς* ἀναιρεθέντας ξίφεσιν·* γυναῖκες χηρείαν* ὠδύροντο,* παῖδες ὀρφανίαν,* οἱ πατέρες ἀτεκνίαν,* οἱ σύγγονοι* στέρησιν συναίμων·* ἄλλοι ἀπώλειαν* ἐθρήνουν πραγμάτων* καὶ τὸ πένθος ἦν κοινὸν* πάσῃ τῇ πόλει.* Ἔκειτο χαμαὶ* ὁ θρόνος τῆς ἐκκλησίας,* ὅστις παρέχει* ζωὴν τὴν αἰώνιον.

κ΄. Ψαλμοῖς ἐγέραιρόν ποτε* Σοφίαν καὶ Εἰρήνην* δυνάμεις τὰς ἐνδόξους* τῆς ἄνω πολιτείας* οἱ τοῦ βαπτίσματος υἱοί,* ἔβλεπον δὲ ἄρτι* τοὺς ναοὺς τοὺς ἱεροὺς* κειμένους εἰς τὸ ἔδαφος.* Τὸ κάλλος τὸ ἐκ τούτων* τὸ ἔνδοξον* πλῆρες ἦν σαπρίας,* ὁ δὲ τόπος ὁ ἐκλάμπων* φαιδρότητα* φόβον νῦν ἠπείλει.* 'Απέστραπτέ ποτε* τὸ φῶς ἐκ τοῦ κάλλους,* ἀπεδίωκε νυνὶ* πῦρ τοὺς ὁρῶντας,* μόνη δὲ ἡμῖν* ἠλπίζετο σωτηρία,* ἥτις παρέχει* ζωὴν τὴν αἰώνιον.

κα΄. Ἀεὶ γὰρ πάντες οἱ πιστοὶ* Θεῷ οἱ πεποιθότες* ἐλπίζουσιν εἰκότως* κρειττόνων ἀξιοῦσθαι,* τοιαῦτα γὰρ τὰ τοῦ Θεοῦ.* Ἂν γάρ τις ἐπίδῃ* πρὸς τὴν Ἱερουσαλὴμ* καὶ τὸν ναὸν τὸν μέγιστον,* ὃν Σολομὼν ἐκεῖνος* ὁ πάνσοφος* χρόνῳ μακροτάτῳ* ἀνεγείρας καὶ κοσμήσας* ἐποίκιλε* πλούτῳ ἀπεράντῳ,* ὅπως καταβληθεὶς* εἰς ὕβριν ἐδόθη* καὶ μένει ἐκπεσὼν* καὶ οὐκ ἀνέστη,* ἴδοι ἂν ταύτης* τὴν χάριν τῆς ἐκκλησίας,* ἥτις παρέχει* ζωὴν τὴν αἰώνιον.

κβ΄. Λαὸς μὲν ὁ τοῦ Ἰσραὴλ* ναοῦ ἀποστερεῖται,* ἡμεῖς δὲ ἀντ' ἐκείνου,* Ἀνάστασιν ἁγίαν* καὶ τὴν Σιὼν ἔχομεν νῦν,* ἥνπερ Κωνσταντῖνος* καὶ Ἑλένη ἡ πιστὴ* τῷ κόσμῳ ἐδωρήσαντο* μετὰ διακοσίους* πεντήκοντα* χρόνους τοῦ πτωθῆναι.* Ἀλλ' ἐνταῦθα μετὰ μίαν* τῆς πτώσεως* ἤρξατο ἡμέραν* τὸ τῆς ἐκκλησίας* ἐγείρεσθαι ἔργον.* Καὶ φαιδρύνεται λαμπρῶς* καὶ τελειοῦται.* Οἱ μὲν βασιλεῖς* δαπάνῃ φιλοτιμοῦνται,* ὁ δὲ δεσπότης παρέχει* ζωὴν τὴν αἰώνιον.

κγ΄. Μεγάλα ὄντως καὶ φαιδρὰ* καὶ ἄξια θαυμάτων* καὶ ὑπερβεβηκότα* ἅπαντας τοὺς ἀρχαίους* βασιλεῖς ἔδειξαν νυνὶ* οἱ ἐν τῷ παρόντι* τῶν Ῥωμαίων εὐσεβῶς* τὰ πράγματα διέποντες.* Ἐν χρόνῳ γὰρ ὀλίγῳ* ἀνέστησαν* ἅπασαν τὴν πόλιν* ὡς καὶ λήθην ἐγγενέσθαι* τοῖς πάσχουσι* πάντων τῶν δυσκόλων·* ὁ οἶκος δὲ αὐτὸς* ὁ τῆς ἐκκλησίας* ἐν τοσαύτῃ ἀρετῇ* οἰκοδομεῖται,* ὡς τὸν οὐρανὸν* μιμεῖσθαι, τὸν θεῖον θρόνον,* ὃς καὶ παρέχει* ζωὴν τὴν αἰώνιον.

κδ΄. Ὅσοι οὖν στέργομεν Χριστὸν* καὶ σπεύδομεν ἐκείνῳ* τὴν δόξαν ἀναπέμπειν,* αἰτοῦμεν τὸν δεσπότην* καὶ ποιητὴν τῶν οὐρανῶν* τὸ τῆς ἐκκλησίας* στερεῶσαι τῆς αὐτοῦ* ἐγχείρημα καὶ ἕδρασμα,* ἵν' ἀξιωθῶμεν* θεάσασθαι* πᾶσαν πληρωθεῖσαν* καὶ βρύουσαν* χάριν τοῖς ὁρῶσιν* ἐν λειτουργίαις τε* ᾠδαῖς καὶ τοῖς ὕμνοις,* ἵνα καὶ οἱ βασιλεῖς* καὶ οἱ πολῖται* καὶ οἱ ἱερεῖς* ἐν ταύτῃ ἀγαλλιῶνται* πᾶσι δοθῆναι* ζωὴν τὴν αἰώνιον.

κε΄. Σῶτερ, ὁ ἄναρχος Υἱὸς* Πατρὸς προαιωνίου,* πᾶσαν σῶσον τὴν πόλιν,* σῶσον τὰς ἐκκλησίας,* σῶσον καὶ τοὺς βασιλεῖς,* λύτρωσαι τὸ ἄστυ* ἀπὸ πάσης ταραχῆς* σεισμοῦ,

λιμοῦ καὶ θνήσεως·* πᾶσαν τὴν πολιτείαν* περίσωσον,* πάνσοφε δυνάστα,* καὶ ἐμοὶ δὲ τῷ ἀθλίῳ* τὴν ἄφεσιν* δὸς τὴν τῶν πταισμάτων.* Τῶν περιεχόντων* δεινῶν ἐξελοῦ με* καὶ θεράπευσον ἐμοῦ* τὴν ἀθυμίαν·* ταύτην τὴν ζωὴν* ἀπρόσκοπον διοδεῦσαι,* δός μοι, κἀκεῖ δὲ* ζωὴν τὴν αἰώνιον.

## Γ'. ΕΚΛΟΓΗ ΕΚ ΤΩΝ ΨΑΛΜΩΝ ΕΙΣ ΣΕΙΣΜΟΝ

Καὶ ποιῶν αὐτὴν τρέμειν. Ἀλληλούϊα.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἀπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἀλληλούϊα.

Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τὴν οἰκουμένην· εἶδε καὶ ἐσαλεύθη ἡ γῆ. Ἀλληλούϊα.

Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός. Ἀλληλούϊα.

Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται· ἄνθρακες ἀνήφθησαν ὑπ' αὐτοῦ. Ἀλληλούϊα.

Καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου. Ἀλληλούϊα.

Ἐταράχθησαν ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ· ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ. Ἀλληλούϊα.

Ὁ Θεὸς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς· ὠργίσθης καὶ οἰκτίρησας ἡμᾶς. Ἀλληλούϊα.

Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι τὰ συντρίμματα αὐτῆς ὅτι ἐσαλεύθη. Ἀλληλούϊα.

Ἔδειξας τῷ λαῷ σου σκληρά· ἐπότισας ἡμᾶς οἶνον κατανύξεως. Ἀλληλούϊα.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἀλληλούϊα.

Ἱνατί, Κύριε, ἀφέστηκας μακρόθεν; ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν; Ἀλληλούϊα.

'Ωδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου. 'Αλληλούϊα.

Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγὺς καὶ οὐκ ἔστιν ὁ βοηθῶν μοι. 'Αλληλούϊα.

'Εξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου καὶ εἰς χοῦν θανάτου κατήγαγές με. 'Αλληλούϊα.

'Εταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. 'Αλληλούϊα.

'Η καρδία μου ἐταράχθη ἐν ἐμοὶ καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. 'Αλληλούϊα.

Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ καὶ ἐκάλυψέ με σκότος· καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω; 'Αλληλούϊα.

'Ιδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν Θεὸν τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος. 'Αλληλούϊα.

'Απὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. 'Αλληλούϊα.

'Ηγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. 'Αλληλούϊα.

"Οτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. 'Αλληλούϊα.

'Απὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με. 'Αλληλούϊα.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. 'Αλληλούϊα.

'Εκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου. 'Αλληλούϊα.

'Επλανήθησαν ἐν τῇ ἐρήμῳ· ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. 'Αλληλούϊα.

Πεινῶντες καὶ διψῶντες· ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπε. 'Αλληλούϊα.

'Εταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων· καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. 'Αλληλούϊα.

Θλῖψιν καὶ ὀδύνην εὗρον καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην· Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου. Ἀλληλούϊα.

Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς. Ἀλληλούϊα.

Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα. Ἀλληλούϊα.

Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. Ἀλληλούϊα.

Σὺ ἀναστὰς οἰκτιρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτιρῆσαι αὐτήν, ὅτι ἥκει καιρός. Ἀλληλούϊα.

Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς καὶ τὸν χοῦν αὐτῆς οἰκτιρήσουσι. Ἀλληλούϊα.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα. Ἀλληλούϊα.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. Ἀλληλούϊα.

Φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ· ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσῃς με. Ἀλληλούϊα.

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου. Ἀλληλούϊα.

Ὁ Θεός μου βοηθός μου καὶ ἐλπιῶ ἐπ' αὐτόν· ὑπερασπιστὴς καὶ κέρας σωτηρίας μου καὶ ἀντιλήπτωρ μου. Ἀλληλούϊα.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν ταῖς θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Ἀλληλούϊα.

Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράττεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Ἀλληλούϊα.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἀλληλούϊα.

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων εἰσιν. Ἀλληλούϊα.

Ἀνδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον. Ἀλληλούϊα.

Εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἀλληλούϊα.

Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωΐ πρωΐ. Ἀλληλούϊα.

Ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτοὺς καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ἀλληλούϊα.

Ἱνατὶ περίλυπος εἶ, ἡ ψυχή μου; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου. Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Ἀλληλούϊα.

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ
# ΕΥΧΕΛΑΙΟΥ

# ΕΙΣΑΓΩΓΗ

Ἡ «ἀκολουθία τοῦ ἁγίου ἐλαίου» ἢ «τοῦ (ἁγίου) εὐχελαίου» ἤ, λαϊκώτερον, «τὸ ἑπταπάπαδον» εἶναι ἀπὸ τὰς νεωτέρας καὶ μακροτέρας ἀκολουθίας τοῦ βυζαντινοῦ Εὐχολογίου. Ὑπὸ τοῦ κώδικος Ἐθνικῆς Βιβλιοθήκης Ἀθηνῶν 661 τοῦ ΙΕ΄ αἰῶνος αὕτη ἀποδίδεται εἰς τὸν ἅγιον Ἰάκωβον τὸν ἀδελφόθεον («Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ἣν ἐποίησεν ἀληθῶς ὁ ἀπόστολος, ἀδελφόθεος καὶ μέγας Ἰάκωβος Ἱεροσολύμων»). Ὅτι βεβαίως ὁ ἅγιος Ἰάκωβος δὲν εἶναι ὁ συγγραφεὺς αὐτῆς δὲν εἶναι ἀνάγκη κἂν νὰ λεχθῇ. Εἰς τὴν καθολικὴν ὅμως ἐπιστολὴν τοῦ ἀποστόλου τούτου εὕρηται ἡ πρώτη μαρτυρία περὶ τοῦ εὐχελαίου· «Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ» (ε΄ 14-15). Ἐκ τούτου ἐξηγεῖται τὸ μὲν ἡ ἀπόδοσις τῆς συγγραφῆς τῆς ἀκολουθίας εἰς τὸν ἀδελφόθεον, τὸ δὲ ἡ μνεία αὐτοῦ εἰς τὰς εὐχὰς καὶ ἡ παρεμβολὴ τροπαρίων πρὸς τιμὴν αὐτοῦ εἰς αὐτήν. Τὸ χωρίον τοῦτο πάντως, ὡς θὰ εἴδωμεν, ἐπέδρασεν οὐσιαστικῶς ἐπὶ τῆς διαμορφώσεως τῆς ἀκολουθίας τοῦ εὐχελαίου.

Ἀρχικῶς ἡ ἀκολουθία ἀπηρτίζετο ἀπὸ μίαν καὶ μόνην εὐχὴν εὐλογίας τοῦ ἐλαίου, τὴν ὁποίαν συνώδευεν ἡ χρῖσις τοῦ ἀσθενοῦς. Οὕτως εἰς τὴν Αἰγυπτιακὴν Διάταξιν, εἰς τὰς Ἀποστολικὰς Διαταγάς, εἰς τὴν Διαθήκην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸ Εὐχολόγιον τοῦ Σεραπίωνος ἐπισκόπου Θμούεως εὕρηται μία μόνον εὐχή, χαρακτηριζομένη ὡς «Εὐχαριστία ὕδατος καὶ ἐλαίου» ἢ «Εὐχὴ περὶ τῶν προσφερομένων ἐλαίων». Δι' αὐτῆς ἐπεζητεῖτο ἡ εὐλογία τοῦ ἐλαίου πρὸς ἴασιν τῶν χριομένων δι' αὐτοῦ ἢ καὶ πινόντων αὐτὸ ἀσθενῶν. Ηὐλόγει δὲ τὸ ἔλαιον, κατὰ ρητὴν

διάταξιν τῶν Ἀποστολικῶν Διαταγῶν, ὁ ἐπίσκοπος ἤ, ἀπόντος αὐτοῦ, «ὁ πρεσβύτερος, παρεστῶτος τοῦ διακόνου» ἤ, κατὰ τὴν Διαθήκην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, «ὁ ἱερεύς». Ἡ εὐλογία ἐγίνετο κατὰ τὴν θείαν λειτουργίαν, εἴτε κατὰ τὴν πρόθεσιν τῶν ἄρτων (Ἀποστολικαὶ Διαταγαὶ) εἴτε εἰς ἄλλο σημεῖον αὐτῆς (Εὐχολόγιον Σεραπίωνος) ἢ καὶ ἀνεξαρτήτως αὐτῆς, ὡς ὑπονοεῖται ἐκ τῆς 17ης εὐχῆς τοῦ Σεραπίωνος «εἰς ἔλαιον νοσούντων ἢ εἰς ἄρτον ἢ εἰς ὕδωρ».

Εἰς τὸ ἀρχαιότερον σωζόμενον βυζαντινὸν Εὐχολόγιον, τὸν Βαρβερινὸν κώδικα 336 τοῦ Η΄ αἰῶνος, ἀπαντᾷ σειρὰ πέντε σχετικῶν εὐχῶν· ἡ πρώτη «ἐπὶ ἀρρώστου» εἶναι ἡ γνωστὴ εὐχὴ τῆς χρίσεως τῆς σημερινῆς ἀκολουθίας «Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων...» (φ. 195r-195v)· ἡ δευτέρα καὶ ἡ τρίτη ἐπιγράφονται «εἰς νοσοῦντας ἄλλη» («Ὁ Θεὸς ὁ δυνατὸς καὶ ἐλεήμων...» φ. 195v-196r καὶ «Δέσποτα, δέσποτα πανάγιε...» φ. 196r-197r)· ἡ τετάρτη εἶναι ἡ καθαγιαστικὴ «εὐχὴ ἐπὶ ἐλαίου ἀρρώστου» τοῦ Εὐχολογίου («Κύριε, ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου...» φ. 197r-197v)· ἡ πέμπτη «εὐχὴ ἐπὶ ἐλαίου ἀρρώστου β΄» («Ὁ πολὺς ἐν ἐλέει...» φ. 197v-198r) εἶναι ἡ μητρικὴ μορφὴ τῆς μετὰ τὸ τέταρτον Εὐαγγέλιον εὐχῆς «Ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε καὶ πολυέλεε...» τῆς σημερινῆς ἀκολουθίας. Ἐξ ὅλων τῶν εὐχῶν τούτων μόνον δύο, ἡ τετάρτη καὶ ἡ πέμπτη, εἶναι εὐχαὶ εὐχελαίου. Ἐλέγοντο ἄρα γε καὶ αἱ δύο κατὰ τὴν εὐλογίαν τοῦ ἐλαίου ἢ μόνον μία ἐξ αὐτῶν κατὰ τὴν προτίμησιν τοῦ λειτουργοῦ; Εἰς χειρόγραφα πάντως κατὰ ἕνα ἢ δύο αἰῶνας μεταγενέστερα, ὡς τὸ Σινᾶ 957 τοῦ Θ΄-Ι΄ αἰῶνος καὶ τὸ Σινᾶ 958 τοῦ Ι΄ αἰῶνος, ὑπάρχουν.καὶ πάλιν μόνον μία εὐχὴ εἰς τὸ πρῶτον «ἐπὶ ἀρρώστου» (ἡ «Πάτερ ἅγιε...») καὶ δύο εἰς τὸ δεύτερον «ἐπὶ ἐλαίου ἀρρώστου» (ἡ «Κύριε, ὁ ἐν τῷ ἐλέει...» καὶ ἡ «Ὁ πολὺς ἐν ἐλέει...»).

Εἰς χειρόγραφα τοῦ ΙΑ΄-ΙΒ΄ αἰῶνος ἀρχίζει νὰ σημειοῦται ἀνάπτυξις τῆς ἀκολουθίας τοῦ εὐχελαίου. Αὕτη ὀφείλεται ἀφ' ἑνὸς μὲν εἰς τὴν προσπάθειαν ἐξωραϊσμοῦ τῆς

ἀκολουθίας καὶ ἐντάξεως αὐτῆς εἰς τὰ πλαίσια εἰδικῆς διὰ τὸν ἀσθενῆ λειτουργίας, ἀφ' ἑτέρου δὲ εἰς τὴν ἐπίδρασιν τῆς κατὰ γράμμα ἑρμηνείας τοῦ προαναφερθέντος χωρίου τῆς ἐπιστολῆς τοῦ ἁγίου Ἰακώβου. Ὁ ἅγιος Ἰάκωβος ὁμιλεῖ περὶ τοῦ πρεσβυτερίου τῆς Ἐκκλησίας ἀορίστως. Ἡ χρῆσις τοῦ πληθυντικοῦ ἀριθμοῦ ἐθεωρήθη ὅτι ἀποκλείει τὴν τέλεσιν τοῦ εὐχελαίου ὑπὸ ἑνὸς μόνον πρεσβυτέρου («τοὺς πρεσβυτέρους»). Ὁ ἀριθμὸς τῶν πολλῶν αὐτῶν πρεσβυτέρων προσδιωρίσθη, διὰ τὸ ἱερὸν τοῦ ἀριθμοῦ, εἰς ἑπτά. Ἀργότερον ὁ *Συμεὼν Θεσσαλονίκης* σχολιάζων τοῦτο παρατηρεῖ· «Καὶ ὁ μὲν θεάδελφος οὔ φησι τούτων (τῶν πρεσβυτέρων) τὸν ἀριθμόν· ἡ δέ γε συνήθεια ἑπτὰ παρέδωκε προσκαλεῖσθαι· οἶμαι δὲ διὰ τὰ ἑπταχῶς ἀριθμούμενα ἐν Ἡσαΐᾳ δῶρα τοῦ Πνεύματος· ἢ καὶ διὰ τοὺς ἑπτὰ ἐκείνους τοῦ νόμου παλαιοὺς ἱερεῖς, κύκλῳ σαλπίσαντας τῆς Ἱεριχὼ ἑπτάκις προστάγματι θεϊκῷ καὶ καταβαλόντας τὰ τείχη, ὡς ἂν καὶ τὴν πονηρὰν οὗτοι πόλιν καὶ τὰ σκληρὰ τείχη τῶν τῆς ἁμαρτίας ὑψωμάτων καθέλωσιν· ἢ καὶ ὡς νεκρᾶς οὔσης τῆς ψυχῆς κατὰ μίμησιν τοῦ προφήτου, ὡς ἐπὶ τοῦ παιδὸς ἐκείνης τῆς Σουμανίτιδος, εὐξαμένων τῶν ἱερέων ἑπτάκις, ταύτην ἐγείρωσι, καθὰ δὴ καὶ ὁ Ἐλισσαῖος τὸν παῖδα ἑπτάκις ἐπανακάμψας καὶ ἑπτάκις εὐξάμενος· ἢ καὶ ὡς ὁ Ἠλίας ἑπτάκις εὐξάμενος, τὸν οὐρανὸν ὃν ἔκλεισε τοῖς ἁμαρτήμασι πάλιν ἤνοιξε καὶ κατήγαγεν ὑετόν, καὶ οὗτοι, ἑπτάκις εὐξάμενοι, λύσωσι μὲν τὸν τῆς ἁμαρτίας αἰχμόν, ἀνοίξωσι δὲ κατὰ τὸν Πέτρον τὸν οὐρανόν, τὴν κλεῖδα βαλόντες τῆς χάριτος, καὶ τὸν ἔλεον ἐκ Θεοῦ τῆς ἀφέσεως ὡς ὑετὸν καταγάγωσιν. Οὗτος μὲν οὖν ὁ νοῦς, ὡς ἐμοὶ δοκεῖ, περὶ τῶν ἑπτὰ» (Διάλογος κατὰ πασῶν τῶν αἱρέσεων καὶ περὶ...τῶν ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς Ἐκκλησίας, κεφ. ΣΠΓ', *Migne* PG 155, 516C-517A). Οὕτω, μετεῖχον μὲν εἰς τὴν ἀκολουθίαν ἑπτὰ πρεσβύτεροι, αἱ εὐχαὶ ὅμως παρέμειναν ἀρχικῶς δύο καὶ ἐλέγοντο καὶ ὑπὸ τῶν ἑπτά. Εἰς τὸν κώδικα Παρισίων Κοισλ. 213 τοῦ ΙΑ' αἰῶνος αἱ εὐχαὶ εἶναι αἱ εἰς τοὺς παλαιοὺς κώδικας ἤδη ἀπαντῶσαι

«Κύριε, ὁ ἐν τῷ ἐλέει...» καὶ «Πάτερ ἅγιε...», ἐλέγοντο δὲ ὑπὸ τῶν ἑπτὰ πρεσβυτέρων ἀλληλοδιαδόχως, ἡ μὲν πρώτη κατὰ τὸν καθαγιασμὸν τοῦ ἐλαίου, ἡ δὲ δευτέρα κατὰ τὴν χρῖσιν. Ὁ καθαγιασμὸς τοῦ ἐλαίου ἐγίνετο, κατὰ τὸν αὐτὸν κώδικα, μετὰ τὴν προσκομιδὴν καὶ πρὸ τῆς ἐνάρξεως τῆς θείας λειτουργίας· κατ' αὐτὴν ἐψάλλοντο ὕμνοι σχετιζόμενοι πρὸς τὸ εὐχέλαιον (ἀπολυτίκιον καὶ κοινωνικὸν) καὶ ἀνεγινώσκοντο κατάλληλα ἀναγνώσματα (Ἰακ. ε΄ 10-16 καὶ Ματθ. ι΄ 1. 5-8). Ἡ χρῖσις ἐγίνετο μετὰ τὸ τέλος τῆς θείας λειτουργίας.

Κατὰ τὸν ΙΒ΄ καὶ ΙΓ΄ αἰῶνα παρατηρεῖται τάσις ἔτι μεγαλυτέρας ἀναπτύξεως τῆς ἀκολουθίας. Αἱ εὐχαὶ πολλαπλασιάζονται καὶ τείνουν νὰ φθάσουν ἢ καὶ νὰ ὑπερβοῦν τὰς ἑπτά, διὰ νὰ δοθῇ εἰς ἕκαστον ἱερέα ἡ δυνατότης νὰ εἴπῃ ἰδίαν εὐχήν. Συντίθενται τροπάρια καὶ κανόνες εἰδικοὶ διὰ τὸ εὐχέλαιον ἢ ἀνθολογοῦνται σχετικὰ τροπάρια ἐκ προϋφισταμένων ἀκολουθιῶν ὡς καὶ εἰδικαὶ συναπταί. Οὕτως εἰς τὸν κώδικα Σινᾶ 961 τοῦ ΙΑ΄-ΙΒ΄ αἰῶνος δι' ἕκαστον ἱερέα προβλέπεται τρισάγιον, ὁ 50ὸς ψαλμός, ἓν ψαλμικὸν ἀντίφωνον, συναπτὴ καὶ εὐχή. Εἰς τὸν κώδικα Σινᾶ 973 τοῦ ΙΒ΄ αἰῶνος ἀπαντᾷ ὁ κανὼν τοῦ Ἀρσενίου εἰς τὸ εὐχέλαιον· εἰς τὸν Σινᾶ 960 τοῦ ΙΓ΄ αἰῶνος ἄλλος κανὼν εἰς τὸ εὐχέλαιον· εἰς τὸν Βαρβερινὸν 329 τέσσαρες εὐχαὶ κ.ο.κ.

Κατὰ τὴν μαρτυρίαν τοῦ *Νικηφόρου Β΄ πατριάρχου Κωνσταντινουπόλεως* (1260-1261) ὁ προκάτοχος αὐτοῦ Ἀρσένιος ὁ Αὐτωρειανὸς (1255-1260) «τὴν ἀκολουθίαν ταύτην ἐνομοθέτησε γίνεσθαι δι' ἑπτὰ ἱερέων κἂν ἐπίσκοποι ὦσι κἂν μητροπολῖται· διὸ καὶ ἐν ἴσῳ τὰς εὐχὰς αὐτὸς ὁ ρηθεὶς πεποιηκὼς» (Περὶ τῶν λεγόντων ὅτι χρὴ καὶ μετὰ τὸν θάνατον εὐχέλαιον ποιεῖν ἐν νεκρῷ, *Migne* PG 140, 808 Α-Β). Ἐν συνδυασμῷ πρὸς ὅσα ἤδη ἐσημειώσαμεν ἐπὶ τῆς πορείας τῆς ἐξελίξεως τῆς ἀκολουθίας, ὁ ρόλος τοῦ Ἀρσενίου φαίνεται ὅτι συνίστατο εἰς τὸ νὰ ἐπιβάλῃ ὡς ὑποχρεωτικὴν («ἐνομοθέτησε») τὴν ἐξ ἔθους ὑφισταμένην πρᾶξιν τῆς συμμετοχῆς εἰς τὸ εὐχέλαιον ἑπτὰ ἱερέων. Συνεκέντρωσε δὲ

προφανῶς παλαιὰς εὐχὰς καὶ συνεπλήρωσεν αὐτάς, συνέθεσε δὲ καὶ ἰδίας, οὕτως ὥστε δι' ἕκαστον τῶν ἑπτὰ ἱερέων νὰ ἀντιστοιχῇ μία ἴσου περίπου μήκους εὐχὴ («ἐν ἴσῳ»), ὡς θὰ ἴδωμεν κατωτέρω. Ὁ Νικηφόρος παραθέτει δύο ἀποσπάσματα ἐκ τῶν ὑπὸ τοῦ Ἀρσενίου «πεποιημένων» εὐχῶν, τὸ πρῶτον ἐλευθέρως καὶ τὸ δεύτερον κατὰ λέξιν: «Τῷ Πνεύματί σου σκήνωσον ἐπὶ τὸν δοῦλόν σου, ὅπως τὸν ὑπόλοιπον χρόνον ἐν τοῖς δικαιώμασί σου πορεύηται» καὶ «Ἐξέγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς καὶ ἀπὸ στρωμνῆς κακώσεως» (ἔνθ' ἀνωτ., *Migne* 140, 808C). Καὶ αἱ δύο παραθέσεις ὑπάρχουν εἰς τὰ ἐμβόλιμα μέρη τῆς δευτέρας καὶ τῆς τρίτης εὐχῆς τῆς σημερινῆς ἀκολουθίας.

Κατὰ μίμησιν τῶν ἑπτὰ εὐχῶν καὶ τὰ ζεύγη τῶν ἀναγνωσμάτων ἀπὸ ἓν ηὐξήθησαν ὀλίγον ἀργότερον εἰς ἑπτά.

Ὁ σύνδεσμος μετὰ τῆς θείας λειτουργίας παρέμεινε στενός, καίτοι δὲν ἦτο παντοῦ καὶ πάντοτε ὁ ἴδιος. Οὕτως ἔχομεν ἔνταξιν τῶν εὐχῶν εἰς τὴν ἀρχὴν τῆς λειτουργίας, ὅπου ἐψάλλετο ὁ 50ὸς ψαλμὸς καὶ ἑπτὰ ἀντίφωνα, ἑπτὰ συναπταὶ καὶ ἑπτὰ εὐχαὶ καὶ ἐπηκολούθει τὸ τρισάγιον ἢ τὸ «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε...», τὸ ἓν ζεῦγος τῶν ἀναγνωσμάτων καὶ τὰ λοιπὰ τῆς θείας λειτουργίας (κῶδ. Ἀθημῶν 680 ΙΒ' αἰῶνος) ἢ μετὰ τὰ εἰρηνικὰ ἐλέγοντο αἱ εὐχαί, τὰ ἀναγνώσματα καὶ ἐφεξῆς ἐτελεῖτο ἡ θεία λειτουργία (κῶδ. Σινᾶ 982 ΙΓ' αἰῶνος) ἢ μετὰ τὰ εἰρηνικὰ ἐγίνετο ἡ εὐλογία τοῦ ἐλαίου, ἐπηκολούθει ἡ εἴσοδος, τὰ ἀναγνώσματα, αἱ εὐχαὶ τοῦ εὐχελαίου καὶ τὰ λοιπὰ τῆς λειτουργίας κ.ο.κ.

Παραλλήλως ἡ ἀνάπτυξις τοῦ εὐχελαίου ἐπεξετάθη καὶ εἰς τὴν ἀκολουθίαν τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου. Εἴς τινα χειρόγραφα ἔχομεν ἑσπερινὸν μὲ εἰδικὰ στιχηρὰ εἰς τὸ «Κύριε, ἐκέκραξα» καὶ εἰδικὰ ἀπόστιχα. Ὁμοίως καὶ ὄρθρον μὲ εἰδικὰ τροπάρια, κανόνα καὶ αἴνους· εἰς αὐτὸν μάλιστα αἱ συνήθεις εὐχαὶ ἀντικαθίστανται διὰ τῶν εὐχῶν τοῦ εὐχελαίου (κώδ. Βαρβερινὸς 329, Πάτμου 686, Σινᾶ 961, Μετοχίου Π. Τάφου Κωνσταντινουπόλεως 8/182).

Παρὰ τὴν ὑπὸ τοῦ Ἀρσενίου γενομένην προσπάθειαν

ἀποκρυσταλλώσεως τῆς ἀκολουθίας τοῦ εὐχελαίου, αὕτη παρέμενεν ρευστὴ καθ' ὅλην σχεδὸν τὴν βυζαντινὴν περίοδον. Περὶ τὸ τέλος αὐτῆς ὁ Συμεὼν Θεσσαλονίκης (+1429) γνωρίζει τὴν ἑπταδικὴν ἀκολουθίαν καὶ μαρτυρεῖ μορφὴν αὐτῆς ἀνάλογον πρὸς τὴν σημερινήν. Καὶ πάλιν ὅμως εἰς μεταγενέστερα χειρόγραφα συναντῶνται ἀρκεταὶ παραλλαγαί, ὀφειλόμεναι εἰς κατὰ τόπους παραδόσεις καὶ λειτουργικὰ ἔθιμα.

Οὕτως αἱ μέχρι τοῦ Ι' αἰῶνος ἀρχικαὶ καταβολαὶ καὶ ἡ ἀπὸ τοῦ ΙΑ' καὶ ἰδιαίτατα κατὰ τὸν ΙΓ' αἰῶνα ἀναπτυχθεῖσα ἀκολουθία, ἔδωκαν τὸ διάγραμμα καὶ τὰ βασικὰ ἐκεῖνα στοιχεῖα, βάσει τῶν ὁποίων ἡ ἀκολουθία τοῦ εὐχελαίου, ἀποδεσμευθεῖσα τελικῶς ἀπὸ τῆς θείας λειτουργίας, καὶ διὰ πολλῶν φάσεων καὶ διαφοροποιήσεων διελθοῦσα, κατέληξεν εἰς τὴν δημιουργίαν μακρᾶς ἑπταδικῆς ἀκολουθίας. Αὕτη, περιληφθεῖσα εἰς τὰ ἔντυπα Εὐχολόγια καὶ παγιωθεῖσα, εἶναι ἡ καὶ σήμερον ἐν χρήσει.

Πρακτικὸν πρόβλημα ἀνέκυψεν ὡς πρὸς τὸν ἀριθμὸν τῶν μετεχόντων εἰς τὴν ἀκολουθίαν ἱερέων. Ἤδη ὁ κῶδιξ Σινᾶ 973 τοῦ ΙΒ' αἰῶνος ἀπαιτεῖ μὲν τὴν παρουσίαν ἑπτὰ ἱερέων («συνάγονται ἑπτὰ πρεσβύτεροι»), σημειώνει ὅμως, ὅτι «εἰ δὲ τύχῃ καὶ οὐ πάρεισιν ἑπτὰ πρεσβύτεροι, ποιοῦσι τὴν ἀκολουθίαν δύο ἢ τρεῖς». Ὁ πατριάρχης Ἀρσένιος ὑπῆρξε κατηγορηματικὸς καὶ ἀπῄτησε τὴν συμμετοχὴν ἑπτὰ ἱερέων «κἂν ἐπίσκοποι ὦσι κἂν μητροπολῖται» (ἔνθ' ἀνωτ.). Ἐπὶ τῇ βάσει τῆς ἀρχῆς ταύτης εἴδομεν ὅτι διεμορφώθη ἡ ἑπταδικὴ ἀκολουθία. Ἀλλ' ἐν τῇ πράξει ἐδείχθη, ὅτι δὲν ἦτο δυνατὸν νὰ συναθροίζωνται πάντοτε τόσοι πολλοὶ ἱερεῖς. Ὁ *Συμεὼν Θεσσαλονίκης* δέχεται κατ' οἰκονομίαν τὴν τέλεσιν τοῦ εὐχελαίου καὶ ὑπὸ τριῶν μόνον· «Τινὲς δέ, ἔνθα σπάνις ἱερέων, καὶ τρεῖς προσκαλοῦνται μόνους. Καὶ τοῦτο οὐ μεμπτέον. Ἔσται γὰρ πρῶτον μὲν διὰ δύναμιν τῆς Τριάδος· ἔπειτα δὲ καὶ διὰ τὸ εἰς μαρτυρίαν καὶ κήρυγμα τῆς Τριάδος παρὰ τοῦ Ἠλιοῦ πάλιν γεγονός, ὅτε νεκρωθέντα τὸν υἱὸν Σαραφθίας ἀνέστησε, τρὶς προσευξάμενος καὶ

τρὶς ἐπιπεσὼν αὐτῷ...'Αλλ' οὐ πολυπραγμονητέον περὶ τοῦ ἀριθμοῦ· ἐπεὶ οὐδὲ ἀριθμὸς γράφεται. Πλὴν εἰ καὶ οὐ γέγραπται, ἀλλ' ἀναγκαῖον τὴν ἀρχαίαν τηρεῖσθαι παράδοσιν. Καὶ ἔστωσαν μὲν ἑπτά, ὡς ἔθος ἀρχαῖον· εἰ δ' ἀνάγκη, τὸ ἔλαττον τρεῖς» (ἔνθ' ἀνωτ., *Migne* PG 155, 517 A-B). Κατωτέρω ἀφήνει νέα περιθώρια οἰκονομίας, ἐπιμένων μόνον εἰς τὴν μὴ τέλεσιν τοῦ εὐχελαίου ὑπὸ ἑνὸς ἱερέως· «Εἷς δὲ πρεσβύτερος μὴ ποιήτω εὐχέλαιον· ὅτι ὡς περὶ ἐπισκόπου γέγραπται μὴ χειροτονεῖσθαι παρ' ἑνός, οὕτω καὶ περὶ εὐχελαίου, μὴ παρὰ πρεσβυτέρου ἑνὸς τελεῖσθαι· 'Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς 'Εκκλησίας', φησί, καὶ οὐχ ἕνα πρεσβύτερον· 'καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ'» (ἔνθ' ἀνωτ., *Migne* PG 155, 517 B-C). Τὰ αὐτὰ ἐπαναλαμβάνει ἀπαντῶν καὶ εἰς τὴν ἐρώτησιν τοῦ Πενταπόλεως Γαβριὴλ «Ἆρα δυνατὸν ἕνα ἱερέα ποιεῖν εὐχέλαιον;»: «Οὐ χρὴ ἕνα ἱερέα ποιεῖν εὐχέλαιον...οὕτως οὐδ' εὐχέλαιον ποιεῖ εἷς πρεσβύτερος» ('Ερώτησις ΜΗ', *Migne* PG 155, 893C). Καὶ τοῦτο ὅμως κατὰ τοὺς χρόνους τῆς τουρκοκρατίας ἀπεδείχθη ἐνίοτε ἀνεφάρμοστον· ὁ ὅσιος *Νικόδημος ὁ 'Αγιορείτης* θεωρεῖ «συγκεχωρημένον νὰ γίνεται καὶ τὸ ἅγιον εὐχέλαιον ἔν τισι χωρίοις καὶ τόποις τῆς Βουλγαρίας ἢ καὶ ἄλλης ἐπαρχίας ὄχι μόνον ἀπὸ τρεῖς ἱερεῖς, ἀλλὰ καὶ ἀπὸ δύο καὶ ἀπὸ ἕνα διὰ ὀλιγότητα τῶν ἱερέων ὁποῦ εἶναι εἰς τοὺς τόπους ἐκείνους, ταὐτὸν εἰπεῖν, διὰ τὴν ἀνάγκην. Καλήτερογ γὰρ εἶναι νὰ γίνεται τὸ μυστήριον καὶ ἀπὸ ἕνα μόνον ἱερέα, πάρεξ νὰ τὸ ὑστεροῦνται παντάπασιν οἱ ἐκεῖσε χριστιανοὶ καὶ μάλιστα οἱ ἀσθενεῖς καὶ ἐνταυτῷ νὰ ὑστεροῦνται τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ὁποῦ χαρίζει εἰς αὐτούς. Ἔπειτα, ἂν ἕνας ἱερεὺς μόνος ἐκτελῇ ὅλα τὰ ἄλλα μυστήρια καὶ τὰ μείζονα τοῦ εὐχελαίου, διὰ τί καὶ μόνος δὲν δύναται νὰ ἐκτελέσῃ τὸ θεῖον εὐχέλαιον; 'Εκεῖνο δὲ ὁποῦ λέγει ὁ θεῖος 'Ιάκωβος 'Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς 'Εκκλησίας', τοὺς ὄντας ἐννοεῖ, ἀλλ' οὐχὶ τοὺς μὴ ὄντας μηδὲ εὑρισκομένους ἐκεῖσε. 'Η τοίνυν ἀνάγκη κανόσι καὶ νόμοις οὐχ ὑπόκειται, ἕως οὗ

ἀνάγκη ἐστὶν» (Ὑποσημείωσις εἰς τὸν ιγ' κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου, Πηδάλιον, Ἀθῆναι 1957, σελ. 470). Τοῦτο ἐφαρμόζεται ἐν τῇ πράξει καὶ σήμερον. Ἡ πρᾶξις ἐπέστρεψεν εἰς τὴν ἀρχικὴν παράδοσιν. Ἡ ἀκολουθία ὅμως παρέμεινεν ἑπταδική. Ἤδη ὁ *Συμεὼν* σημειώνει ὅτι οἱ τρεῖς πρεσβύτεροι πρέπει νὰ λέγουν «πάντα...ὅσα παραδέδοται λέγεσθαι», καὶ τὰ τῶν ἑπτὰ δηλαδὴ ἱερέων (Διάλογος..., *Migne* PG 155, 517 B).

Ἐκ τῆς ἀνωτέρω συνοπτικῆς σχετικῶς διαδρομῆς εἰς τὴν ἐξέλιξιν τῆς ἀκολουθίας τοῦ εὐχελαίου κατενοήθη, νομίζω, ἐπαρκῶς ἡ πορεία, τὴν ὁποίαν ἠκολούθησεν αὕτη διὰ μέσου τῶν αἰώνων, διαφωτίζεται δὲ ἐν μέρει ἡ μορφὴ καὶ τὰ ἐπὶ μέρους προβλήματα αὐτῆς.

Κατωτέρω ἐκδίδεται τὸ κείμενον τῆς ἀκολουθίας τοῦ εὐχελαίου. Ὡς βάσις τῆς ἐκδόσεως ἐτέθη ἡ ἐν τῷ ἐντύπῳ Εὐχολογίῳ μορφὴ αὐτῆς. Δὲν διεκδικεῖ δηλαδὴ ἡ παροῦσα ἔκδοσις χαρακτῆρα κριτικῆς ἐκδόσεως, ἀλλ' ἀποβλέπει εἰς τὴν παρουσίασιν τοῦ ἐν χρήσει κειμένου, διῃρημένου κατὰ τὰς ἐπὶ μέρους ἑνότητας αὐτοῦ διὰ νὰ εἶναι κατάλληλον διὰ τὸν διδακτικὸν σκοπὸν τῆς παρούσης σειρᾶς. Ἀφ' ἑτέρου ἡ χρῆσις γραμμάτων διαφόρων στιγμῶν διευκολύνει εἰς τὴν διάκρισιν τοῦ σχετικῶς παλαιοῦ στοιχείου ἀπὸ τὸ νεώτερον. Ἡ τέλεσις ἐξ ἄλλου τῆς ἀκολουθίας ἐπὶ πολλῶν πιστῶν, ὡς καὶ εἰς τὰς ἐν τῷ ναῷ ἀσκήσεις τῶν φοιτητῶν, ἐγέννησε τὴν ἀνάγκην τροπῆς τῶν ὕμνων καὶ τῶν εὐχῶν αὐτῆς εἰς πληθυντικὸν ἀριθμόν. Τοῦτο γίνεται ὑπὸ τῶν ἱερέων εἰς παρομοίας περιστάσεις ἐκ τοῦ προχείρου, ἀλλὰ τότε οὔτε εὐχερὲς εἶναι οὔτε ἄνευ σφαλμάτων εἶναι δυνατὸν νὰ γίνῃ. Γενικῶς οἱ ὕμνοι καὶ αἱ εὐχαί, λόγῳ ἀκριβῶς τοῦ συμπιληματικοῦ χαρακτῆρος τῆς ἀκολουθίας, ἄλλαι μὲν εἶναι συντεταγμέναι εἰς ἑνικόν, ἄλλαι δὲ εἰς πληθυντικὸν ἀριθμόν. Καὶ εἰς ἑνιαῖα φαινομενικῶς κείμενα, ὡς εἶναι ὁ κανὼν καί τινες τῶν εὐχῶν, οἱ ἀριθμοὶ ἐναλλάσσονται, ἐνῷ εἰς πολλὰ χειρόγραφα εὕρηνται εἰς πληθυντικόν. Ἡ διόρ-

θωσις ἐλήφθη πρόνοια νὰ γίνεται μὲ ἐλαχίστας ἀλλαγάς, χωρὶς φυσικὰ νὰ διαταράσσεται τὸ μέτρον τῶν ποιητικῶν κειμένων.

Ἡ ἀνὰ χεῖρας ἔκδοσις ἀποβλέπει καὶ εἰς ἕνα δεοντολογικὸν σκοπόν. Πλῆθος τελετουργικῶν, ὡς γνωστὸν προβλημάτων ἀνακύπτουν ἐν τῇ πράξει κατὰ τὴν τέλεσιν αὐτῆς, διὰ τὴν ἐπίλυσιν τῶν ὁποίων λαμβάνονται ὑπὸ τῶν λειτουργῶν πρωτοβουλίαι ἀποβαίνουσαι ἐνίοτε εἰς βάρος τῆς λειτουργικῆς οἰκονομίας τῆς ἀκολουθίας (βλ. *Κ. Παπαγιάννη*, Λειτουργικὴ - Τελετουργική, Ἀθῆναι 1973, σελ. 351). Ἡ παράδοσις δύναται νὰ ἀποβῇ πολύτιμος ὁδηγὸς διὰ τὴν ὀρθὴν ρύθμισιν τῶν δυσκολιῶν τούτων καὶ διὰ τὴν διευθέτησιν τῶν δημιουργουμένων ἀδιεξόδων. Ἐπὶ τῆς βάσεως ταύτης εἰσάγονται καὶ ὡρισμέναι ἀλλαγαὶ εἰς τὸ ἐν χρήσει κείμενον, πολλαὶ τῶν ὁποίων ἔχουν ἤδη ἐν τῇ πράξει ἐπικρατήσει. Κατωτέρω ἀναλύονται ὡρισμένα σημεῖα τῆς ἐν χρήσει ἀκολουθίας καὶ ἐπεξηγοῦνται αἱ γενόμεναι διευθετήσεις.

Ἡ ἀκολουθία τοῦ εὐχελαίου, κατὰ τὰς ἐνδείξεις τῶν χειρογράφων καὶ τῶν ἐντύπων, τελεῖται «ἐ ν  ἐ κ κ λ η σ ί ᾳ ἢ ἐ ν  ο ἴ κ ῳ». Ἀρχικῶς ἐτελεῖτο ἐν τῷ ναῷ συνδεδεμένη μετὰ τῆς θείας λειτουργίας. Καὶ ἐὰν μὲν ὁ ἀσθενὴς ἦτο εἰς θέσιν νὰ μετακινηθῇ, παρίστατο καὶ αὐτὸς εἰς τὸν ναὸν κατὰ τὴν τέλεσίν της. Εἰ δέ μή, μετὰ τὸ τέλος τῆς θείας λειτουργίας οἱ ἱερεῖς μετέβαινον εἰς τὸν οἶκον, ὅπου ὁ ἀσθενής, καὶ ἔχριον αὐτὸν ἐκεῖ. Κατὰ τὸν κώδικα Παρισίων Κοισλ. 213 τοῦ ΙΑ΄ αἰῶνος εἰς τὸν οἶκον ἐτελεῖτο καὶ μικρά τις ἀκολουθία, περιλαμβάνουσα πλὴν τῆς εὐχῆς τῆς χρίσεως καὶ τροπάρια τῶν ἁγίων Ἀναργύρων, Εὐαγγέλιον, ἐκτενῆ καὶ ἀπόλυσιν. Παρόμοια εὑρίσκομεν καὶ εἰς ἄλλους κώδικας. Ἡ ἀποδέσμευσις τῆς ἀκολουθίας τοῦ εὐχελαίου ἐκ τῆς θείας λειτουργίας ὡδήγησεν εἰς τὴν γενίκευσιν τῆς τελέσεως αὐτῆς εἰς τοὺς οἴκους. Τότε πλέον ἡ θεία λειτουργία ἐτελεῖτο μετὰ τὴν ἀκολουθίαν τοῦ εὐχελαίου ἐπὶ ἑπτὰ ἡμέρας, κατὰ

τάς ὁποίας ἐλειτούργουν ἀλληλοδιαδόχως οἱ ἑπτὰ ἱερεῖς. Κατ' ἄλλην διάταξιν, μετὰ τὸν ἑσπερινὸν καὶ τὴν παννυχίδα καὶ τὴν εἰδικὴν διὰ τὸ εὐχέλαιον ἀκολουθίαν τοῦ ὄρθρου, οἱ ἑπτὰ ἱερεῖς ἐλειτούργουν εἰς ἑπτὰ διαφόρους ναούς, εἶτα δὲ συναγόμενοι εἰς μίαν ἐκκλησίαν ἐτέλουν τὴν ἀκολουθίαν τοῦ εὐχελαίου (Σινᾶ 973).

Τὸ ἀγγεῖον τοῦ ἐλαίου ἢ ἡ «κανδήλα» ἐτίθετο ἀρχικῶς «πρὸ τοῦ θυσιαστηρίου» ἢ «ἐν τῇ ἁγίᾳ τραπέζῃ», ὅπου καὶ ηὐλογεῖτο (Διαθήκη τοῦ Κυρίου..., κῶδ. Σινᾶ 960). Ἡ τοποθέτησις αὐτῆς «ἐν τῷ μέσῳ ἐπὶ τετράποδος» προϋποθέτει τὴν μεταγενεστέραν ἐξέλιξιν τῆς ἀκολουθίας. Ἦτο δὲ ἡ κανδήλα «καινὴ» καὶ «μεγάλη, χωροῦσα λίτρας ἑπτὰ» (κῶδ. Βαρβερινὸς 329). Τὸ ἔλαιον ἐρρίπτετο ἐν αὐτῇ, κατὰ πολλοὺς κώδικας, ὑπὸ τοῦ πρώτου τῶν ἱερέων «κατ' ὀλίγον» ἐξ ἄλλου δοχείου, λεγομένης τῆς εὐχῆς τοῦ καθαγιασμοῦ τοῦ ἐλαίου. Ἐντὸς αὐτῆς ὑπῆρχε καὶ οἶνος, κατὰ τὸ ἔθος τῆς Μεγάλης Ἐκκλησίας, ἢ καὶ «ὕδωρ τῶν ἁγίων Θεοφανείων». Ἡ θρυαλὶς ἦτο κατ' ἀρχὰς μία καὶ ἠνάπτετο μετὰ τὴν ἀνάγνωσιν τῆς καθαγιαστικῆς εὐχῆς. Ὕστερον ηὐξήθησαν εἰς ἑπτά, κατὰ τὸν ἀριθμὸν τῶν ἱερέων· ἕκαστος τούτων μετὰ τὴν ἀνάγνωσιν τῆς μετὰ τὸ Εὐαγγέλιον εὐχῆς του ἧναπτε καὶ τὴν θρυαλίδα του καὶ τὴν ἔσβενε μετὰ τὴν τέλεσιν ὑπ' αὐτοῦ τῆς θείας λειτουργίας. Ἐκ τούτου ἐξηγεῖται ἡ χρῆσις μεγάλης ποσότητος ἐλαίου, τόσης ὅσης ἀπητεῖτο διὰ νὰ διαρκέσῃ ἡ ἀφὴ τῆς κανδήλας ἐπὶ ἑπτὰ ἡμέρας καὶ διὰ νὰ ἐπαρκέσῃ εἰς τὴν χρῖσιν τοῦ ἀσθενοῦς, τῶν παρισταμένων, τοῦ οἴκου κλπ. Κατὰ τὸν *Συμεὼν Θεσσαλονίκης* «ἑπτὰ ἀνάπτεται φῶτα κατ' ἀριθμὸν τῶν ἱερέων καὶ εἰς τύπον τῶν χαρισμάτων τοῦ Πνεύματος καὶ ὅτι ὡς λυχνία θεία διὰ τοῦ ἁγίου ἐλαίου γίνεται καὶ ὡς ὁλοκάρπωσις καὶ θυσία καθαρὰ Θεῷ ἀναφέρεται, ἵνα τύχοιμεν ἐλέους αὐτοῦ» (Διάλογος..., κεφ. ΣΠΗ', *Migne* PG 155, 524 Β).

Ἡ τοποθέτησις τῆς λυχνίας ἐπὶ σκεύους πλήρους σίτου (ἢ ἀλεύρου, κατὰ τὰ νεώτερα ἔντυπα Εὐχο-

λόγια) ἐξηγεῖται ἐκ τοῦ ὅτι ἐπ' αὐτοῦ ἐπήγνυον τὰ ἄλειπτρά των οἱ ἱερεῖς μετὰ τὴν χρῖσιν, ἀνάπτοντες αὐτά.

Οἱ ἱερεῖς «φοραίνουσι (ἢ ἐνδύονται) τὰς στολὰς αὐτῶν», κατὰ τὰ χειρόγραφα καὶ τὸν Συμεὼν Θεσσαλονίκης (ἔνθ' ἀνωτ.) προφανῶς διὰ τὴν τέλεσιν τῆς θείας λειτουργίας ἢ λόγῳ τῆς ἀρχικῆς συνδέσεως τοῦ εὐχελαίου πρὸς αὐτήν.

Ἡ εἰς τὰ ἔντυπα Εὐχολόγια περιλαμβανομένη ἀκολουθία τοῦ εὐχελαίου σαφῶς διακρίνεται εἰς τὰ ἑξῆς ἐπὶ μέρους στοιχεῖα:

α') τὰ προκαταρκτικὰ (ὄρθρος)

β') τὸν καθαγιασμὸν τοῦ ἐλαίου

γ') τὰ τῶν ἑπτὰ ἱερέων

δ') τὴν συγχώρησιν.

α'. Εἰς τὸ προκαταρκτικὸν μέρος δύναται σαφῶς νὰ διακρίνῃ τις τὸ διάγραμμα καὶ πολλὰ στοιχεῖα τῆς ἀκολουθίας τοῦ ὄρθρου. Μετὰ τὸ ἐναρκτήριον τρισάγιον ἕπεται ὁ 142ος ψαλμός, ὡς ἐπιτομὴ τοῦ ἑξαψάλμου, τὸ «Ἀλληλούϊα» μετὰ τῶν τροπαρίων, ὁ κανὼν μὲ τὰ καθίσματα ἀπὸ γ' ᾠδῆς καὶ τὸ κοντάκιον ἀφ' ς', τὸ ἐξαποστειλάριον, τὰ στιχηρὰ τῶν αἴνων καὶ τὸ ἀπολυτίκιον. Εἰς τὰ χειρόγραφα ἔχομεν ἢ πλήρη ἀκολουθίαν ὄρθρου ἢ ἐπιτομὰς αὐτῆς, ποικιλούσας κατὰ τὰς τοπικὰς παραδόσεις. Ὑπὸ τοῦ Συμεὼν Θεσσαλονίκης καί τινων χειρογράφων ἡ ἀκολουθία αὕτη ἀποκαλεῖται «παννυχίς». Ἐτελεῖτο δὲ ὁ ὄρθρος οὗτος ἢ ἡ ἐπιτομὴ αὐτοῦ ἀφ' ἑσπέρας ἤ, συναπτῶς πρὸς τὴν καθ' αὐτὸ ἀκολουθίαν τοῦ εὐχελαίου, τὸ πρωΐ. Παρελείπετο δὲ τελείως ἂν τὸ εὐχέλαιον ἐτελεῖτο κατὰ ἑορτασίμους ἡμέρας ἢ μνήμας μεγάλων ἁγίων, κατὰ ρητὴν μαρτυρίαν, τοῦ ἁγίου Θεοδώρου κατὰ τὸ Α' Σάββατον τῶν Νηστειῶν καὶ κατὰ τὸ Σάββατον τοῦ Λαζάρου, προφανῶς δὲ καὶ κατὰ Μεγάλην Ἑβδομάδα· τότε ἐψάλλοντο «ἁπλῶς...πρῶτον τὰ τῆς ἡμέρας καὶ εἶτα τὰ τῶν ζ' πρεσβυτέρων» (κῶδ. Παρισίων Κοισλ. 213).

Κατὰ τὸν κώδικα Πάτμου 686 ἡ ψαλμῳδία τοῦ προ-

καταρκτικοῦ τούτου μέρους ἦτο καί κατά τόν ΙΕ' ἀκόμη αἰῶνα προαιρετική («εἰ θέλωσι ψάλλαι»).

Κατά τόν Βαρβερινόν κώδικα 329 εἰς τήν ἀκολουθίαν τοῦ ὄρθρου ἐνεσωματοῦτο τό εὐχέλαιον· αἱ εὐχαί αὐτοῦ ἐλέγοντο πρό τῶν ἐκφωνήσεων τῆς μεγάλης συναπτῆς, τῶν συναπτῶν ἀπό γ' καί ς' ᾠδῆς καί τῶν αἴνων. Εἰς τόν κώδικα Ἀθηνῶν 661 τοῦ ΙΕ' αἰῶνος ἀπαντᾷ καί ἀκολουθία ἑσπερινοῦ μέ εἰδικά στιχηρά εἰς τό «Κύριε, ἐκέκραξα», τά τῶν αἴνων, καί μέ εἰδικά ἀπόστιχα προσόμοια τοῦ «Ἤθελον δάκρυσιν ἐξαλεῖψαι» μετά δοξαστικῶν καί θεοτοκίων. Παρομοίαν ἀκολουθίαν ἑσπερινοῦ βλέπε καί εἰς τούς κώδικας Μετοχίου Π. Τάφου Κωνσταντινουπόλεως 8 (182) καί Πάτμου 686.

Ἐκ τῶν ἐπί μέρους παραλλαγῶν τῶν χειρογράφων σημειοῦμεν τάς κυριωτέρας.

Τό ἐναρκτήριον τρισάγιον παραλείπεται ὑπό πολλῶν χειρογράφων. Ἄλλα παραλείπουν τόν 142ον ψαλμόν, μετά τοῦ «Θεός Κύριος» ἤ τοῦ «Ἀλληλούϊα» καί τῶν τροπαρίων, καί ἡ ἀκολουθία ἄρχεται διά τοῦ 50οῦ ψαλμοῦ. Ἄλλα ἀντί τοῦ 142ου ψαλμοῦ προβλέπουν τόν 90όν («Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου...»), τόν πρῶτον ψαλμόν τῆς ᾀσματικῆς παννυχίδος.

Ἡ μετά τόν ἑξάψαλμον μεγάλη συναπτή τοῦ ὄρθρου ἀπαντᾷ εἰς τόν κώδικα Μ. Λαύρας 189 («λέγει ὁ πρωτοπαπᾶς τήν συναπτήν ὅλην»). Εἰς ἄλλους κώδικας, προφανῶς διά συντομίαν, προβλέπεται. ἡ μικρά συναπτή. Εἴς τινα νεώτερα ἔντυπα, ἐνῷ διατηρεῖται ἡ διάταξις «εἶτα ἡ μικρά συναπτή», ἀντ' αὐτῆς τίθεται ἐσφαλμένως ἡ ἐκτενής («Ἐλέησον ἡμᾶς, ὁ Θεός...»). Εἰς τά πλεῖστα τῶν χειρογράφων δέν ἀπαντᾷ οὔτε ἡ μεγάλη οὔτε ἡ μικρά συναπτή. Τοῦτο εἶναι καί τό ὀρθότερον, ἐφ' ὅσον δέν τελεῖται τελεία ἀκολουθία ὄρθρου.

Ἀντί τοῦ «Ἀλληλούϊα» εἰς πλεῖστα χειρόγραφα προβλέπεται ἡ ψαλμῳδία τοῦ «Θεός Κύριος». Ἐπεκράτησε τό «Ἀλληλούϊα» ὡς κατανυκτικώτερον. Κατά τόν κώδικα

Σινᾶ 988 τοῦ ΙΕ' αἰῶνος τὸ «'Αλληλούϊα» ἐψάλλετο κατὰ τὴν Μεγάλην μόνον Τεσσαρακοστὴν ἐκτὸς Σαββάτου καὶ Κυριακῆς. Κατὰ τὰς δύο αὐτὰς ἡμέρας καὶ ἐκτὸς Τεσσαρακοστῆς, ὅταν ἐτελεῖτο τὸ εὐχέλαιον, ἐψάλλετο τὸ «Θεὸς Κύριος».

'Αντὶ τῶν κατανυκτικῶν τροπαρίων «'Ελέησον ἡμᾶς...», «Κύριε, ἐλέησον ἡμᾶς...» καὶ «Τῆς εὐσπλαγχνίας τὴν πύλην...» εἴς τινα χειρόγραφα ἀπαντοῦν τὸ «Τῇ Θεοτόκῳ ἐκτενῶς...» καὶ τὸ «Οὐ σιωπήσωμεν ...» ἢ τὸ ἀπολυτίκιον τῶν ἁγίων 'Αναργύρων μετὰ θεοτοκίου ἢ τὸ ἀπολυτίκιον τοῦ εὐχελαίου «Ταχὺς εἰς ἀντίληψιν...»

'Ο κανὼν τοῦ ἐντύπου τοῦ δ' ἤχου «'Ελαίῳ τῆς εὐσπλαγχνίας, δέσποτα...», ἔχει ἀκροστιχίδα «Εὐχῆς ἐλαίου ψαλμὸς ἐξ 'Αρσενίου». 'Ο ποιητὴς τοῦ κανόνος 'Αρσένιος δὲν δύναται νὰ εἶναι ὁ ἀνωτέρω μνημονευθεὶς πατριάρχης 'Αρσένιος ὁ Αὐτωρειανὸς (1255-1260), ἐπειδὴ εὕρηται εἰς τὸν κώδικα Σινᾶ 973 τοῦ ἔτους 1152-1153, ἀλλὰ πιθανὸν ὁ 'Αρσένιος Κερκύρας (Ι' αἰών. Βλ. *J. Mateos*, A' la recherche de l' auteur du canon de l' Euchélaion, ἐν Orientalia Christiana Periodica, τ. 22 (1956), σελ. 361-383).

'Ως πρόψαλμα τῶν τροπαρίων, ἀντὶ τοῦ συνήθους «Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου» μαρτυρεῖται καὶ τὸ «Κύριε, ἐπίσκεψαι τὸν δοῦλόν σου». 'Ο κῶδιξ 'Αθηνῶν 661 τοῦ ΙΕ' αἰῶνος ἔχει ἄλλον κανόνα ἤχου β' «Τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης οὐσίας...», ἔχοντα ἀκροστιχίδα «Τοῖς ἀσθενοῦσι ρῶσιν, Σῶτερ, δίδου», ἀνώνυμον, συμψαλλόμενον μετὰ τοῦ γνωστοῦ παρακλητικοῦ κανόνος εἰς τὴν Θεοτόκον «Πολλοῖς συνεχόμενος πειρασμοῖς...». Οἱ κώδικες Μετοχίου Π. Τάφου Κωνσταντινουπόλεως 8 (182) καὶ Πάτμου 686 ἔχουν ἄλλον κανόνα τοῦ β' ἤχου «Βοηθὸς ἐν πειρασμοῖς...». 'Ο δὲ Σινᾶ 960 τοῦ ΙΓ' αἰῶνος ἄλλον, πάλιν τοῦ β' ἤχου, «Πάντες πιστοὶ ὑμνήσωμεν...».

'Αντὶ τῶν ἀπὸ γ' ᾠδῆς καθισμάτων τοῦ ἐντύπου ἀπαντοῦν καὶ ἄλλα («'Ιατρὲ τῶν νοσούντων νόσοις δεινοῖς...» καὶ «'Ελέησον, Σωτήρ, ἐν ἐλαίῳ σου θείῳ...») ὡς καὶ ἄλλα

κοντάκια ἀφ' ς' ᾠδῆς («Ὡς ἀγαθός, ὡς συμπαθὴς καὶ εὔσπλαγχνος...» καὶ τὸ «Προστασία τῶν Χριστιανῶν...») ὡς καὶ ὁ οἶκος «Ἧκεν ἡμῖν ἐκ πλήθους πταισμάτων...».

Τὸ ἐξαποστειλάριον εἰς πλεῖστα χειρόγραφα παραλείπεται.

Ἀντὶ τῶν στιχηρῶν τῶν αἴνων τοῦ ἐντύπου μερικὰ χειρόγραφα ἔχουν ἄλλας σειρὰς στιχηρῶν, τοῦ δ' ἤχου πρὸς τὸ «Ἤθελον δάκρυσιν ἐξαλεῖψαι», τοῦ α' πρὸς τὸ «Τῶν οὐρανίων ταγμάτων», τοῦ πλ. β' πρὸς τὸ «Ἡ ἀπεγνωσμένη» κ.ἄ.

Μετὰ τὸ τρισάγιον καὶ τὸ ἀπολυτίκιον ἐπηκολούθει καθ' ὅλα τὰ χειρόγραφα καὶ κατὰ τὸν Συμεὼν Θεσσαλονίκης «ἐκτενὴς καὶ ἀπόλυσις», μετὰ τὴν ὁποίαν ὁ ἀσθενὴς «προσπίπτων τρὶς παρὰ πάντων αἰτεῖται συγχώρησιν...καὶ τρὶς παρὰ τῶν ἱερέων συγχωρεῖται». Ὁ κῶδιξ Ἀθηνῶν 664 δίδει καὶ τὸν τύπον τῆς αἰτήσεως τῆς συγχωρήσεως: «Εὐλογήσατε, πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ καὶ εὔξασθε ὑπὲρ ἐμοῦ» (πρβλ. καὶ Σινᾶ 972 καὶ 981: «Εὐλογήσατε, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ εἴ τι ἥμαρτον ἐν λόγῳ, ἐν ἔργῳ, ἐν γνώσει, ἐν ἀγνοίᾳ, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ». Παρόμοια ἀπαντῶνται καὶ εἰς ἄλλα χειρόγραφα).

β'. Ὁ καθαγιασμὸς τοῦ ἐλαίου, τὸ κύριον δηλαδὴ μέρος τῆς ἀκολουθίας, κατὰ τὰ πλεῖστα τῶν χειρογράφων ἄρχεται διὰ τοῦ «Εὐλογημένη ἡ βασιλεία...», εἴτε τὸ εὐχέλαιον ἐτελεῖτο ἐντὸς τῆς θείας λειτουργίας εἴτε ἐκτὸς αὐτῆς (κώδ. Ἀθηνῶν 664, 672, 1910, S. 14, S. 690, S. 724, Βαρβερινὸς 329, Διονυσίου 450, Κωνσταμονίτου 19 (20), Μ. Λαύρας Θ 88, Παρισίων Κοισλ. 213, Σινᾶ 960, 973, 981). Κατ' ἄλλα ἄρχεται διὰ τοῦ «Εὐλογητὸς ὁ Θεός...». Κατ' ἄλλα τέλος, ὡς καὶ εἰς τὰ ἔντυπα, ἄνευ ἰδιαιτέρας εὐλογίας ἐνάρξεως. Διὰ τοῦ «Εὐλογημένη ἡ βασιλεία...» ἐξαίρεται τὸ μυστηριακὸν μέρος τῆς ἀκολουθίας, κατ' ἀναλογίαν μάλιστα πρὸς τὰ κρατοῦντα καὶ εἰς τὰ ἄλλα μυστήρια, ὡς τοῦ ἁγίου βαπτίσματος καὶ τοῦ γάμου.

Ἡ μεγάλη συναπτὴ εἶναι ἡ τῆς θείας λειτουργίας, εἰς τὴν ὁποίαν προστίθενται δύο ἢ περισσότεραι, κατά τινα χειρόγραφα, εἰδικαὶ αἰτήσεις, ὡς γίνεται καὶ εἰς ἄλλας παρομοίας περιστάσεις. Ἡ αἴτησις ὑπὲρ «τοῦ περιεστῶτος λαοῦ», ἡ ὁποία ὑπάρχει εἴς τινα ἔντυπα εἰς κακὴν μάλιστα θέσιν (πρὸ τῆς αἰτήσεως ὑπὲρ «τοῦ εὐλογηθῆναι τὸ ἔλαιον») δὲν μαρτυρεῖται ἀπὸ τὰ χειρόγραφα. Τὰς αἰτήσεις τῆς συναπτῆς καὶ τῶν ἐκτενῶν «Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (δεῖνος)» ἀντικατεστήσαμεν, κατὰ τὰ ἀνωτέρω λεχθέντα, διὰ τῆς φράσεως «Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τούτων».

Μετὰ τὰ εἰρηνικὰ ἐπακολουθεῖ ἡ ἐκφώνησις αὐτῶν «Ὅτι πρέπει σοι...» καὶ ταύτην ὁ καθαγιασμὸς τοῦ ἐλαίου διὰ τῆς ἀρχαίας εὐχῆς, τῆς συστατικῆς τοῦ μυστηρίου, «Κύριε, ὁ ἐν τῷ ἐλέει...» καὶ τῆς κατ' αὐτὴν ἱερατικῆς εὐλογίας. Κατά τινα χειρόγραφα ἡ εὐχὴ ἐλέγετο ὑπὸ τῶν ἱερέων, ἐνῷ ἔχεον τὸ ἔλαιον εἰς τὴν κανδήλαν. Τὸ κείμενον τῆς εὐχῆς ἀποκαθίσταται κατὰ τὸν Βαρβερινὸν κώδικα 336.

Τὰ ἀπακολουθοῦντα τροπάρια εἶναι τὰ μετὰ τὴν εἴσοδον τῆς θείας λειτουργίας συνήθως ψαλλόμενα. Μετὰ τὸ ἀρχικὸν ἀπολυτίκιον τοῦ εὐχελαίου («Ταχὺς εἰς ἀντίληψιν...») καὶ πρὸ τοῦ «Δόξα...Καὶ νῦν...» καὶ τοῦ θεοτοκίου κοντακίου («Πρεσβεία θερμὴ...») παρενέβαλλον ἀπολυτίκια καὶ κοντάκια «ὅσα θέλουν» (κῶδ. Μ. Λαύρας 189) ἢ «οἷα βούλει» (κῶδ. Σινᾶ 981), κατὰ τὴν ἰδιαιτέραν εὐλάβειαν τῶν τελούντων τὸ εὐχέλαιον πρὸς ὡρισμένους ἁγίους ἢ ἄλλα, εἰς τὰ ὁποῖα γίνεται λόγος μερὶ θαυμάτων, ἰαμάτων, ἐλέους κλπ. Οὕτως ἐκτὸς τῶν εἰς τὰ ἔντυπα περιληφθέντων τροπαρίων τοῦ τυφλοῦ, τοῦ παραλύτου, τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου, τοῦ ἁγίου Νικολάου, τοῦ ἁγίου Παντελεήμονος, τῶν Ἀναργύρων καὶ Ἰωάννου τοῦ Θεολόγου, εἰς τὰ χειρόγραφα ἀπαντοῦν ἀπολυτίκια καὶ κοντάκια τῶν Ἀρχαγγέλων, τοῦ Προδρόμου, τοῦ τιμίου Σταυροῦ, μεγάλων Ἱεραρχῶν, τοῦ ἁγίου Γεωργίου, τῶν ἁγίων Θεοδώρων, τὰ πρῶτα θεοτοκία τῶν ὀκτὼ ἤχων, ἄλλα θεοτοκία, κατανυκτικὰ κα-

θίσματα καὶ πλῆθος ἄλλα. Εἶναι καταφανὴς ὁ λαϊκὸς χαρακτὴρ τοῦ τμήματος τούτου τῆς ἀκολουθίας. Ὅταν τὸ εὐχέλαιον ἐτελεῖτο κατὰ τὴν Μεγάλην Ἑβδομάδα, παρελείποντο πάντα ταῦτα καὶ ἐλέγοντο τὰ ἀπολυτίκια καὶ τὰ κοντάκια ἢ μόνον τὰ κοντάκια ἑκάστης ἡμέρας (κῶδ. Σινᾶ 981).

Εἴς τινα χειρόγραφα μετὰ τὰ τροπάρια παρεμβάλλεται ἡ αἴτησις συγχωρήσεως ὑπὸ τοῦ τελοῦντος τὸ εὐχέλαιον.

γ΄. Μετὰ τὴν εὐλογίαν τοῦ ἐλαίου ἐπακολουθοῦν ἑπτὰ ὅμοια τμήματα, κατὰ τοὺς ἑπτὰ ἱερεῖς, περιλαμβάνοντα ἓν ζεῦγος ἀναγνωσμάτων μετὰ τοῦ προκειμένου καὶ τοῦ ἀλληλουαρίου αὐτῶν, ἐκτενῆ, εὐχὴν καὶ τὴν εὐχὴν τῆς χρίσεως. Προφανῶς ταῦτα εἶναι τὸ ἰδιάζον διὰ τὸ εὐχέλαιον μέρος τῆς θείας λειτουργίας, τὴν ὁποίαν ἐτέλει εἷς ἕκαστος ἱερεὺς κατὰ τὰς ἑπτὰ μετὰ τὴν τέλεσιν τοῦ εὐχελαίου ἡμέρας. Εἴς τινα χειρόγραφα τὰ ἑπτὰ ταῦτα μέρη παρουσιάζονται περισσότερον ἀνεπτυγμένα, μεριλαμβάνοντα, ἐκτὸς τῶν ἀνωτέρω, καὶ τὰ εἰρηνικά, τροπάρια καὶ εἰδικὰ ψαλμικὰ ἀντίφωνα. Μεθ' ἑκάστην λειτουργίαν ἐχρίετο καὶ πάλιν ὁ ἀσθενής. Βραδύτερον τὰ ἑπτὰ αὐτὰ μέρη συνεδέθησαν καὶ ἀπετέλεσαν ἑνιαίαν ἀκολουθίαν, ἀναγινωσκόμενα ὅλα ὁμοῦ πρὸ τῆς θείας λειτουργίας ἢ ἀνεξαρτήτως αὐτῆς, ὡς σήμερον.

Τὰ προκείμενα καὶ τὰ ἀλληλουάρια λαμβάνονται ἐκ κατανυκτικῶν ψαλμῶν, δὲν εἶναι δὲ εἰς ὅλους τοὺς κώδικας τὰ αὐτά. Εἰς τὰ ἔντυπα, περισσότερον ὅμως εἰς τὰ χειρόγραφα, παρατηρεῖται τάσις διευθετήσεως τῆς ψαλμῳδίας αὐτῶν κατὰ τὴν σειρὰν τῶν ὀκτὼ ἤχων, μὴ τελείως ὁλοκληρωθεῖσα. Διετηρήσαμεν τὰ τοῦ ἐντύπου, προσαρμόσαντες αὐτὰ πρὸς τὴν σειρὰν τῶν ἤχων, κατὰ τὰ πλεῖστα χειρόγραφα. Εἰς τὰ ἀλληλουάρια προσεθέσαμεν καὶ ἕνα ἀκόμη στίχον ἐκ τοῦ αὐτοῦ ψαλμοῦ, διὰ νὰ ψάλλεται τὸ «Ἀλληλούϊα», κατὰ τὸν ἀρχαῖον τύπον, τρὶς ἐκ τρίτου καὶ νὰ παρέχεται ὁ ἀπαιτούμενος χρόνος διὰ τὴν κατ' αὐτὰ θυμίασιν. Ἡ ψαλμῳδία τῶν προκειμένων κατὰ τὸν ἀρχαιό-

τερον τύπον καὶ τῶν ἀλληλουαρίων μετὰ τῶν στίχων αὐτῶν καὶ κατὰ τοὺς ἤχους αὐτῶν διακοσμεῖ παραδοσιακῶς τὴν ἀκολουθίαν τοῦ εὐχελαίου, ἡ ὁποία, ὅταν μάλιστα τελῆται κεχωρισμένως τοῦ ὄρθρου, ὑστερεῖ ἀπὸ ἐπόψεως ψαλμῳδίας.

Αἱ ἀποστολικαὶ καὶ αἱ εὐαγγελικαὶ περικοπαὶ δὲν εἶναι αἱ αὐταὶ εἰς ὅλους τοὺς κώδικας, οὔτε τίθενται πάντοτε κατὰ τὴν αὐτὴν σειράν.

Ἡ μεθ' ἕκαστον ζεῦγος ἀναγνωσμάτων ἐπαναλαμβανομένη ἐκτενὴς εἶναι ἡ μετὰ τὸ εὐαγγέλιον ἐκτενὴς τῆς θείας λειτουργίας. Εἴς τινας κώδικας προστίθενται καὶ ἄλλα αἰτήματα καὶ ἡ εὐχὴ τῆς ἐκτενοῦς «Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν...».

Τὸ θέμα τῶν εὐχῶν παρουσιάζεται περισσότερον περιπεπλεγμένον. Εἰς τοὺς κώδικας παρατηροῦνται πλεῖσται διαφοραὶ καὶ ὡς πρὸς τὴν θέσιν καὶ ὡς πρὸς τὸ μέγεθος ἢ τὴν μορφὴν τῶν εὐχῶν αὐτῶν.

Ἡ πρώτη εὐχὴ («Ἄναρχε, ἀδιάδοχε...») εἶναι σύντομος (μέχρι τοῦ «εἰς βασιλείας οὐρανῶν κληρονομίαν»). Εἰς αὐτὴν ὑπάρχει καὶ πάλιν ἐπίκλησις τοῦ ἁγίου Πνεύματος («κατάπεμψον τὸ ἅγιόν σου Πνεῦμα καὶ ἁγίασον τὸ ἔλαιον τοῦτο»), διὸ καὶ ὁ *Συμεὼν Θεσσαλονίκης* θεωρεῖ καὶ αὐτὴν «τελεστικὴν» καὶ παραλληλίζει τὸ εὐχέλαιον πρὸς τὸ βάπτισμα, τὴν χειροτονίαν καὶ τὸ μοναχικὸν σχῆμα, ὅπου ὑπάρχουν διπλαῖ ἁγιαστικαὶ εὐχαί. Θεολογεῖ δὲ ὅτι αἱ δύο τελεστικαὶ εὐχαὶ «σημαίνουσι τὸν διφυῆ Ἰησοῦν» καὶ τὸν διπλοῦν ἁγιασμόν, τῆς ψυχῆς καὶ τοῦ σώματος, τὸν ὁποῖον παρέχουν τὰ μυστήρια εἰς τοὺς πιστοὺς (Διάλογος..., κεφ. ΣΠΘ'- Σϛ', *Migne* PG 155, 524D-525A). Τοῦτο δικαιολογεῖ μέν πως θεολογικῶς τὴν σημερινὴν πρᾶξιν, εἰς τὴν πραγματικότητα ὅμως πρόκειται περὶ μιᾶς διαφόρου προελεύσεως εὐχῆς, ἡ ὁποία, ὡς καὶ ἡ «Κύριε, ὁ ἐν τῷ ἐλέει...», ἐλέγετο πρὸς καθαγιασμὸν τοῦ ἐλαίου ἀνεξαρτήτως ἐκείνης. Κατὰ τὴν νεωτέραν σύνθεσιν τῆς ἀκολουθίας περιελήφθησαν καὶ αἱ δύο εἰς τὴν γενομένην ἀνθολογίαν. Ἡ

εὐχὴ κατακλείεται διὰ τῆς ἐκφωνήσεως «Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν...» ἤ, κατὰ τὸν Συμεών, «Ὅτι Θεὸς ἐλέους...». Ἡ εὐχὴ ἐλέγετο ὑπὸ τοῦ πρώτου τῶν ἱερέων καὶ κατὰ τὴν ἐπίκλησιν «ἐσφράγιζον» τὸ ἔλαιον καὶ οἱ ἑπτὰ ἱερεῖς.

Ἡ φερομένη εἰς τὰ ἔντυπα, ὡς συνέχεια τῆς πρώτης, μακρὰ εὐχὴ «Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν...» δὲν ἀπαντᾷ εἰς τὰ πλεῖστα τῶν χειρογράφων διὸ καὶ ἐκτυποῦται ἐνταῦθα διὰ μικροτέρων στοιχείων. Καὶ εἰς αὐτὰ τὰ ἔντυπα μετὰ τὸ τέλος τῆς πρώτης ὑπάρχει ἡ δήλωσις, ὅτι «τινὲς ἕως ὧδε μόνον λέγουσι...τινὲς δὲ ἕως τέλους». Πολλοὶ ὑπαινιγμοὶ ὑπάρχοντες εἰς τὸ κείμενον αὐτῆς («ἀναγεννήσας...φωτίζων... ἀνακαινίσας...ἔλαμψε...τέκνα Θεοῦ γενέσθαι...εἰς τὸ γενέσθαι ἡμᾶς Χριστοῦ ποίμνιον...καθαρίσας ἡμᾶς ἐν ὕδατι καὶ ἁγιάσας ἐν τῷ ἁγίῳ Πνεύματι...ἀποδυσάμενοι...ἐνδυσάμενοι ... ἀποθάνωμεν ... ζήσωμεν ... ἔλαιον ἀγαλλιάσεως ... ἔνδυμα ... θώραξ ... σφραγὶς ... ἀγαλλίαμα ... εὐφροσύνη ...ἀναγεννήσεως ἐλαίῳ» κ.λ.π.) μαρτυροῦν ὅτι πρόκειται μερὶ ἀρχαίας εὐχῆς (βλέπε καὶ τὸν παλαιὸν ὅρον «ἁγίου σου παιδὸς Ἰησοῦ Χριστοῦ»), ἀσχέτου πρὸς τὸ εὐχέλαιον, ἀναφερομένης δὲ εἰς τὴν χρῖσιν διὰ τοῦ ἐπορκιστοῦ ἐλαίου τῶν κατηχουμένων, τοῦ «ἐλαίου ἀγαλλιάσεως».

Μετὰ τὴν ἐκφώνησιν τῆς εὐχῆς ταύτης, ὡς καὶ τῶν ἑτέρων ἕξ, προβλέπεται ὑπὸ τῶν ἐντύπων καὶ πολλῶν χειρογράφων ἡ χρῖσις τοῦ ἀσθενοῦς, λεγομένης τῆς εὐχῆς «Πάτερ ἅγιε...». Περὶ αὐτῆς βλέπε κατωτέρω.

Ὅ,τι παρετηρήσαμεν διὰ τὴν πρώτην εὐχήν, ἰσχύουν κατ' ἀναλογίαν καὶ διὰ τὰς δύο ἑπομένας, τὴν δευτέραν καὶ τὴν τρίτην εὐχήν. Αἱ ἀρχικαὶ εὐχαὶ εἶναι μικραὶ καὶ εἶναι συντεταγμέναι εἰς πληθυντικὸν ἀριθμόν. Ἡ ἐπαύξησις αὐτῶν ἐγένετο ὑπὸ τοῦ συντάκτου τῆς ἀκολουθίας, πιθανῶς τοῦ Ἀρσενίου, εἴτε διὰ τῆς συνθέσεως συνεχείας τινός, εἴτε καὶ διὰ τῆς προσθήκης ἄλλης παλαιᾶς εὐχῆς, ὡς εἰς τὴν πρώτην. Αἱ συνέχειαι εἶναι εἰς ἑνικὸν ἀριθμὸν καὶ δὲν ἀπαντοῦν εἰς ὅλους τοὺς κώδικας. Ἡ σύνδεσις

πρὸς τὰς παλαιὰς γίνεται ὁμοιομόρφως διὰ τοῦ «Ναί, Κύριε...». Αἱ παλαιαὶ εὐχαὶ ἐκτυποῦνται διὰ μεγαλυτέρων τυπογραφικῶν στοιχείων.

Ἡ τετάρτη εὐχὴ «Ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε καὶ πολυέλεε, Κύριε, ὁ πολὺς ἐν ἐλέει...» ἀποτελεῖ ἐπεξεργασίαν καὶ ἀνάπτυξιν τῆς «εὐχῆς ἐπὶ ἐλαίου ἀρρώστου β'» τοῦ Βαρβερινοῦ Εὐχολογίου «Ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι, Κύριε...». Εἰς τὸ κείμενον παραθέτομεν τὴν ἀρχαίαν μὲν εὐχὴν διὰ μεγαλυτέρων στοιχείων καὶ τὴν νεωτέραν διὰ μικροτέρων διὰ νὰ εἶναι δυνατὴ ἡ σύγκρισις αὐτῶν.

Ἰδίαν περίπτωσιν ἀποτελοῦν ἡ πέμπτη, ἕκτη καὶ ἑβδόμη εὐχή. Αὗται, ἐν ἀντιθέσει πρὸς τὴν πρώτην καὶ τὴν δευτέραν, εἶναι φιλολογικῶς ἑνιαῖαι. Εἶναι συντεταγμέναι εἰς ἑνικὸν ἀριθμὸν καὶ παρουσιάζουν ἑνότητα ὕφους καὶ γλώσσης. Ἴσως συνεγράφησαν ὑπὸ τοῦ πατριάρχου Ἀρσενίου. Ὑπὸ τῶν ἱερέων σήμερον, ὡς ἐπὶ τὸ πλεῖστον, λέγονται «μυστικῶς» (παραπείπονται) καὶ διὰ τὸ μῆκος αὐτῶν καὶ διὰ τὴν ἀναφορὰν εἰς τὰ ποικίλα εἴδη τῶν ἁμαρτημάτων, τὰ ὁποῖα ἀπαριθμεῖ ἡ ἕκτη. Οὕτως ὅμως καταστρέφεται ἡ λειτουργικὴ δομὴ τῆς ἀκολουθίας, ἡ ὁποία συμμετρικῶς εἰς ἑκάστην τῶν ἑπτὰ ἑνοτήτων προβλέπει εὐχὴν καὶ μάλιστα ἴσου περίπου μήκους. Εἴς τινα τῶν χειρογράφων ἀπαντοῦν ἄλλαι σύντομοι εὐχαί, τὰς ὁποίας προετάξαμεν τῶν ἐκτενῶν. Ἡ πέμπτη («Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος...») ἐλήφθη ἐκ τῶν κωδίκων Ἀθηνῶν 661 τοῦ ΙΕ' αἰῶνος, Μ. Λαύρας 189 τοῦ ΙΓ', Σινᾶ 960 τοῦ ΙΓ' καὶ Σινᾶ 973 τοῦ ΙΑ'-ΙΒ' αἰῶνος. Ἡ ἕκτη («Ὁ Θεὸς ὁ δυνατὸς καὶ ἐλεήμων...») ἐκ τῶν κωδίκων Ἀθηνῶν 661, Βαρβερινὸν 336, Βησσαριανὸν Κρυπτοφέρρης καὶ Μ. Λαύρας 189. Τὸ κείμενον αὐτῆς ἐλήφθη ἐκ τοῦ Βαρβερινοῦ κώδικος. Ἡ ἑβδόμη («Ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν...») ἐκ τοῦ κώδικος Σινᾶ 973.

Μετὰ τὸ τέλος τῆς ἑπταδικῆς ἀκολουθίας εἶναι ὀρθότερον νὰ γίνεται ἡ χρῖσις καὶ νὰ ἕπεται ἡ συγχωρητικὴ

εὐχή. Οὕτω μαρτυρεῖται ὑπὸ τῶν πλείστων χειρογράφων καὶ τοῦ Συμεὼν Θεσσαλονίκης. Ἀρχικῶς ἡ χρῖσις ἐγίνετο ὑπὸ ἑνὸς ἑκάστου τῶν ἱερέων μετὰ τὴν θείαν λειτουργίαν. Ἡ εἰς τὰ ἔντυπα καὶ εἰς ἱκανὰ χειρόγραφα μαρτυρουμένη πρᾶξις, ἡ χρῖσις δηλαδὴ μεθ' ἑκάστην τῶν ἑπτὰ ἑνοτήτων, ἡ ὁποία ἐν τῇ σημερινῇ πράξει δὲν τηρεῖται πλέον, σημαίνει ἀκριβῶς τὴν μεθ' ἑκάστην τῶν ἑπτὰ λειτουργιῶν χρῖσιν. Ἡ εὐχὴ τῆς χρίσεως «Πάτερ ἅγιε...» ἐδέχθη μεταγενεστέραν ἐπαύξησιν διὰ τῆς προσθήκης τῶν ὀνομάτων πολλῶν ἁγίων. Εἴς τινα χειρόγραφα ἀναγράφονται καὶ ἄλλα πολλὰ ὀνόματα, ἐκτὸς τῶν εἰς τὰ ἔντυπα περιληφθέντων. Ἡ φράσις «κατὰ τὸ σοὶ εὐάρεστον, τὴν ὀφειλομένην σοι εὐχαριστίαν ἐν ἀγαθοεργίᾳ ἀποπληροῦντα» ἔχει ἐκπέσει εἰς νεώτερα χειρόγραφα καὶ εἴς τινα τῶν ἐντύπων. Τὸ κείμενον ἀποκατεστάθη κατὰ τὸν Βαρβερινὸν κώδικα. Ἡ εὐχὴ ἐλέγετο ὑπὸ πάντων τῶν ἱερέων εἴτε κατὰ τὴν χρῖσιν εἴτε πρὸ αὐτῆς, ἐνῷ εἶχον τὴν χεῖρα «ἐπικειμένην» ἐπὶ τῆς κεφαλῆς τοῦ ἀσθενοῦς, κατὰ τὸν Συμεὼν Θεσσαλονίκης. Χρίοντες δὲ ἢ ἔψαλλον τὸν 50ὸν ψαλμὸν ἢ ἔλεγον τὸν ψαλμικὸν στίχον «Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου (τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν)» (Ψαλμ. 120, 2. Ἡ προσθήκη «ἐν ὀνόματι» προφανῶς προῆλθεν ἐκ τοῦ Ἰακ. ε΄ 14: «ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου») ἢ «Ἡ χάρις καὶ ἡ βοήθεια τοῦ παναγίου Πνεύματος εἴη μετὰ σοῦ» ἤ, κατὰ νεωτέραν συνήθειαν, «(Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ) εἰς ἴασιν ψυχῆς καὶ σώματος». Ἐπικρατέστερον φαίνεται τὸ «Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου».

Ἡ χρῖσις, κατὰ τὴν ἐπικρατοῦσαν πρᾶξιν, ἐγίνετο σταυροειδῶς εἰς τὸ πρόσωπον καὶ εἰς τὰς χεῖρας, ἐπεξετείνετο ὅμως καὶ εἰς ἄλλα μέλη τοῦ σώματος, ὡς εἰς τὴν κεφαλήν, τὸ στῆθος, τὰ γόνατα «καὶ εἰ δυνατὸν (εἰς) ὅλον τὸ σῶμα». Ἐχρίετο ἐπίσης σταυροειδῶς ἡ θύρα, αἱ παραστάδες καὶ τὰ ὑπέρθυρα, αἱ θυρίδες καὶ οἱ πεσσοὶ «μέχρι μαγειρίου καὶ τοῦ σταύλου, ἐὰν ἔστιν», κατὰ τὸν κώδικα Παρισίων Κοισλ. 213.

δ'. Μετὰ τὴν χρῖσιν ἐπηκολούθει ἡ αἴτησις συγγνώμης ὑπὸ τοῦ τελοῦντος τὸ εὐχέλαιον ἀσθενοῦς τρίς, ἐτίθετο τὸ Εὐαγγέλιον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ ἀνεγινώσκετο ὑπὸ τοῦ πρώτου τῶν ἱερέων ἡ συγχωρητικὴ εὐχὴ «Βασιλεῦ ἅγιε...», ἡ ὁποία ὅμως δὲν ἀπαντᾷ εἰς ὅλα τὰ χειρόγραφα.

Τέλος ἡ ὅλη ἀκολουθία κατεκλείετο δι' ἐκτενοῦς καὶ ἀπολύσεως. Τὰ τροπάρια «Πηγὴν ἰαμάτων...» καὶ «Νεῦσον παρακλήσεσι...» δὲν ἀπαντοῦν εἰς ὅλα τὰ χειρόγραφα, ἀρχικῶς δὲ φαίνεται ὅτι ἐψάλλοντο εἰς τὸν οἶκον τοῦ ἀσθενοῦς.

Εἰς τὸ Παράρτημα περιελάβομεν:

1. Τὰς δύο εὐχὰς τοῦ Εὐχολογίου τοῦ Σεραπίωνος ἐπισκόπου Θμούεως «περὶ τῶν προσφερομένων ἐλαίων» καὶ «εἰς ἔλαιον νοσούντων ἢ εἰς ἄρτον ἢ εἰς ὕδωρ».

2. Τὴν «Εὐχαριστίαν περὶ ὕδατος καὶ ἐλαίου» τῶν Ἀποστολικῶν Διαταγῶν.

3. Ἀποκατάστασιν τῆς ἀκολουθίας τοῦ εἰδικοῦ ἑσπερινοῦ καὶ τοῦ εἰδικοῦ ὄρθρου τοῦ εὐχελαίου κατὰ τὰ χειρόγραφα.

4. Ἀποκατάστασιν τῆς μετὰ τῆς θείας λειτουργίας συνδεδεμένης ἀκολουθίας τοῦ εὐχελαίου κατὰ τὰ χειρόγραφα.

5. Τὴν κατ' ἐπιτομὴν τάξιν τῆς τελέσεως τῆς ἀκολουθίας τοῦ εὐχελαίου καὶ τὴν εἰς κίνδυνον θανάτου κατὰ τὸ Ἁγιασματάριον Ρώμης.

Περὶ τῆς ἀκολουθίας τοῦ εὐχελαίου βλέπε *Π. Ν. Τρεμπέλα*, Μικρὸν Εὐχολόγιον, τ. Α', Ἀθῆναι 1950, σελ. 97-191 καὶ *Ἰ. Μ. Φουντούλη*, Ἀπαντήσεις εἰς λειτουργικὰς ἀπορίας, τ. Α', Θεσσαλονίκη 1973², ἐρώτ. 64. τ. Β', Θεσσαλονίκη 1975², ἐρώτ. 134. τ. Δ', ἐρώτ. 312, 313 καὶ 314. *E. Mélia*, Le sacrement de l' Onction des malades dans son développement historique et quelques considérations sur la pratique actuelle, ἐν «La maladie et la mort du Chrétien dans la Liturgie», Roma 1975, σελ. 193-228.

*Α.* = *'Αναγνώστης*
*Δ.* = *Διάκονος*
*Ι.* = *'Ιερεὺς*
*Ια'.* = *'Ο α' 'Ιερεὺς*
*Λ.* = *Λαὸς*
* = *'Αλλαγὴ στίχου (ἐπὶ ἐμμέτρου κειμένου)*

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΛΑΙΟΥ

**Συναχθέντων τῶν ἑπτὰ πρεσβυτέρων, προτίθεται ἐν τῷ μέσῳ τετράπους καὶ ἐπάνω αὐτοῦ σκεῦός τι ἔχον σῖτον καὶ ἐπ' αὐτοῦ κανδήλα μετὰ οἴνου καὶ ἐλαίου καὶ ἄρχεται ἡ ἀκολουθία οὕτως·**

### ΤΑ ΠΡΟΚΑΤΑΡΚΤΙΚΑ

#### ΕΝΑΡΞΙΣ

Ια'. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. 'Αμήν.

Ια'. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Βασιλεῦ οὐράνιε...

Α. 'Άγιος ὁ Θεός... (γ').
Δόξα Πατρὶ...Καὶ νῦν...
Παναγία Τριάς...
Κύριε, ἐλέησον (γ').
Δόξα Πατρὶ...Καὶ νῦν...
Πάτερ ἡμῶν...

Ια'. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Λ. 'Αμήν.

Α. Κύριε, ἐλέησον (ιβ').
Δόξα Πατρὶ...Καὶ νῦν...
Δεῦτε προσκυνήσωμεν...(γ').

#### ΨΑΛΜΟΣ ΡΜΒ'

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου· ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

## ΤΟ «ΑΛΛΗΛΟΥ·Ι·Α» ΚΑΙ ΤΑ ΤΡΟΠΑΡΙΑ

### Α. Τὸ «Ἀλληλούϊα». Ἦχος πλ. β'

Ἀλληλούϊα (γ').

**Στίχ.** Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἀλληλούϊα (γ').

**Στίχ.** Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι.
Ἀλληλούϊα (γ').

**Καὶ τὰ τροπάρια. Ἦχος πλ. β'**

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Κύριε, ἐλέησον ἡμᾶς·* ἐπὶ σοὶ γὰρ πεποίθαμεν·* μὴ ὀργισθῇς ἡμῖν σφόδρα,* μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·* ἀλλ' ἐπίβλεψον καὶ νῦν, ὡς εὔσπλαγχνος,* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν* καὶ ἡμεῖς λαός σου·* πάντες ἔργα χειρῶν σου* καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

## Ο Ν' ΨΑΛΜΟΣ

**Α. Ἀναγινώσκει τὸν ν' ψαλμὸν**

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς μὲ ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντεριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Ο ΚΑΝΩΝ

**Λ. Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς· «Εὐχῆς ἐλ(ε)αίο(θ)υ ψα(π)λμό(π)ς ἐξ(ς) Ἀρσενίου».**

**Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ Ἐρυθραῖον**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

᾿Ελαίῳ* τῆς εὐσπλαγχνίας, δέσποτα,* ὁ ἱλαρύνων ἀεὶ* ψυχὰς ὁμοῦ καὶ σώματα βροτῶν* καὶ φρουρῶν ἐν ἐλαίῳ πιστούς,* αὐτὸς καὶ νῦν οἰκτίρησον* τοὺς δι᾿ ἐλαίου προσιόντας σοι.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

῾Υπάρχει* σοῦ τοῦ ἐλέους, δέσποτα,* πλήρης ἡ σύμπασα γῆ·* ὅθεν ἐλαίῳ θείῳ σου σεπτῷ* οἱ χριόμενοι σήμερον,* τὸν ὑπὲρ νοῦν σου ἔλεον* πιστῶς αἰτοῦμέν σε δοθῆναι ἡμῖν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Χρισμόν σου* τὸν ἱερόν, φιλάνθρωπε,* ὁ ἀποστόλοις τοῖς σοῖς* ἐπ᾿ ἀσθενοῦσι δούλοις σου τελεῖν* συμπαθῶς ἐντειλάμενος,* ταῖς δι᾿ αὐτῶν ἐντεύξεσι* πάντας σφραγῖδί σου ἐλέησον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

῾Η μόνη* τὸ τῆς εἰρήνης πέλαγος,* ἁγνή, πλουτήσασα,* ταῖς πρὸς Θεὸν πρεσβείαις σου ἀεὶ* νοσημάτων καὶ θλίψεων* τοὺς σοὺς οἰκέτας λύτρωσαι,* ὅπως ἀπαύστως ἀνυμνῶμέν σε.

**᾿Ωδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοὶ**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Σὺ μόνος ὢν θαυμαστὸς* καὶ ἐν ἀνθρώποις τοῖς πιστοῖς ἵλεως,* τοῖς ἀσθενοῦσι δεινῶς* δός, Χριστέ, τὴν χάριν σου ἄνωθεν.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

᾿Ελαίας κάρφος ποτὲ* πρὸς ἀνοχὴν κατακλυσμοῦ θείᾳ σου* δείξας ῥοπῇ, Κύριε,* σῶσον ἐν ἐλέει τοὺς κάμνοντας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Λαμπάδι θείᾳ φωτὸς* ἐν τῷ ἐλέει σου, Χριστέ, φαίδρυνον,* τοὺς ἐν τῇ χρίσει καὶ νῦν* πίστει τοῦ ἐλαίου σου σπεύδοντας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Ἐπίβλεψον εὐμενῶς,* μήτηρ τοῦ πάντων ποιητοῦ, ἄνωθεν* καὶ τὴν πικρὰν κάκωσιν* λῦσον τῶν νοσούντων πρεσβείαις σου.

**Κάθισμα. Ἦχος πλ. δ΄. Αὐλῶν ποιμενικῶν**

Ὡς θεῖος ποταμὸς* τοῦ ἐλέους ὑπάρχων,* ὡς ἄβυσσος πολλῆς* συμπαθείας, οἰκτίρμον·* δεῖξον τοῦ σοῦ ἐλέους* τὰ θεῖα ῥεῖθρα* καὶ πάντας ἴασαι·* βλῦσον τὰς τῶν θαυμάτων* πηγὰς ἀφθόνως καὶ πλύνον ἅπαντας·* σοὶ γὰρ ἀεὶ προστρέχοντες θερμῶς,* τὴν χάριν ἐξαιτούμεθα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Ἕτερον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ**

Ὁ ἰατρὸς καὶ βοηθὸς τῶν ἐν πόνοις,* ὁ λυτρωτής τε καὶ σωτὴρ τῶν ἐν νόσοις,* αὐτὸς τῶν ὅλων δέσποτα καὶ Κύριε,* δώρησαι τὴν ἴασιν τοῖς νοσοῦσί σου δούλοις·* οἴκτιρον, ἐλέησον τοὺς πολλὰ ἐπταικότας* καὶ τῶν σφαλμάτων λύτρωσαι, Χριστέ,* ὅπως ὑμνῶσι τὴν θείαν σου δύναμιν.

**Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ἀδιάφθορον ὡς μύρον, Σωτήρ, ὑπάρχων,* τὸ κενωθὲν ἐν χάριτι* καὶ κόσμον καθαῖρον,* οἴκτιρον, ἐλέησον* τοὺς τῇ θείᾳ πίστει σου* μώλωπας σαρκὸς ἐπαλείφοντας.

Δέσποτα Χριστέ, ἐλέησόν τοὺς δούλους σου.

Ἱλαρότητι σφραγῖδος τοῦ σοῦ ἐλέους* νῦν τὰς αἰσθήσεις, δέσποτα,* σφραγίσας σῶν δούλων,* ἄβατον, ἀπρόσιτον* τὴν εἴσοδον ποίησον* πάσαις ἐναντίαις δυνάμεσιν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ προσκαλεῖσθαι κελεύων τοὺς ἀσθενοῦντας* ἱερουρ-

γους ἐνθέους σου* καὶ τούτων ἐντεύξει* καὶ χρίσει ἐλαίου σου,* φιλάνθρωπε, σώζεσθαι,* σῶσον σῷ ἐλέει τοὺς κάμνοντας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Θεοτόκε ἀειπάρθενε Παναγία,* σκέπη στερρὰ καὶ φύλαξ,* λιμήν τε καὶ τεῖχος,* κλῖμαξ καὶ προπύργιον,* ἐλέησον, οἴκτιρον,* πρὸς σὲ γὰρ καὶ μόνην κατέφυγον.

**Ὠδὴ ε΄. Σύ, Κύριέ μου, φῶς**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ὑπάρχων, ἀγαθέ,* τοῦ ἐλέους ἡ ἄβυσσος,* ἐλέησον, ἐλεῆμον,* σοῦ τῷ θείῳ ἐλέει* τοὺς κάμνοντας, ὡς εὔσπλαγχνος.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ψυχὰς ἡμῶν, Χριστέ,* καὶ τὰ σώματα ἄνωθεν* σφραγῖδός σου θείῳ τύπῳ* ἁγιάσας ἀφράστως,* χειρί σου πάντας ἴασαι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἀφάτῳ σου στοργῇ,* ὑπεράγαθε Κύριε,* δεξάμενος τὰς τοῦ μύρου* διὰ πόρνης ἀλείψεις,* οἰκτίρησον τοὺς δούλους σου.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Πανύμνητε ἁγνή,* ὑπεράγαθε δέσποινα,* ἐλέησον τοὺς τῷ θείῳ* χριομένους ἐλαίῳ* καὶ σῶσον τοὺς οἰκέτας σου.

**Ὠδὴ ς΄. Θύσω σοι μετὰ φωνῆς**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Λόγοις σου* ὁ δι᾽ ἐλαίου δείξας, φιλάνθρωπε,* ἐν βασιλεῦσι τὴν χρῖσιν* καὶ ἀρχιερεῦσι ταύτην τελέσας,* σφραγισμῷ σου* καὶ τοὺς πάσχοντας σῶσον ὡς εὔσπλαγχνος.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Μέθεξις* μὴ ἐκ πικρῶν δαιμόνων ἐφάψοιτο* τῶν ἐπ' ἀλείψει ἐνθέῳ* τὰς αἰσθήσεις, Σῶτερ, σημειουμένων,* ἀλλ' ἐν σκέπῃ* περιτείχισον τούτους τῆς δόξης σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὄρεξον* χεῖρα τὴν σὴν ἐξ ὕψους, φιλάνθρωπε,* καὶ σοῦ τὸ ἔλαιον, Σῶτερ,* ἁγιάσας, δίδου τοῖς σοῖς οἰκέταις* εἰς ὑγείαν* καὶ νοσημάτων πάντων ἐκλύτρωσιν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Πέφηνας* ἐν τῷ Θεοῦ σου οἴκῳ κατάκαρπος,* μήτηρ τοῦ κτίστου, ἐλαία,* δι' ἧς πλήρης ὤφθη κόσμος ἐλέους·* ὅθεν σῶζε* πρεσβειῶν ἐπαφῆς σου τοὺς κάμνοντας.

**Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν**

Ἐλέους πηγὴ ὑπάρχων, ὑπεράγαθε,* τοὺς πίστει θερμῇ ἐλέῳ τῷ ἀφάτῳ σου* προσπεσόντας, εὔσπλαγχνε,* ἐκ παντοίας λύτρωσαι κακώσεως* καὶ τὰς αὐτῶν νόσους ἀράμενος,* παράσχου τὴν θείαν χάριν ἄνωθεν.

**Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Σὺ ἐν ἐλέει* καὶ οἰκτιρμοῖς σου, Σῶτερ, μόνος Θεός,* πάντων ἰατρεύων πάθη τε τῶν ψυχῶν* καὶ σωμάτων τὰ συντρίμματα,* αὐτὸς θεράπευσον* καὶ τοὺς ἐν νόσοις πάσχοντας, εὔσπλαγχνε.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ἐν τῷ λιπαίνειν* ἐλαίου χρίσει πάντων τὰς κεφαλάς,* δίδου εὐφροσύνης τούτοις τὴν χαρμονὴν* τοῖς τὸν ἔλεον ζητοῦσί σου* τῆς ἐκλυτρώσεως,* τῷ πλουσίῳ ἐλέει σου, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ξίφος ὑπάρχει* κατὰ δαιμόνων, Σῶτερ, σοῦ ἡ σφραγίς,* πῦρ δὲ ἀναλίσκον πάθη τὰ τῶν ψυχῶν* ἱερέων ταῖς ἐντεύ-

ξεσιν·* ὅθεν πιστῶς ὑμνοῦμέν σε,* οἱ δεδεγμένοι τὴν ἴασιν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
**Θεοτοκίον**

Σὺ τὸν κρατοῦντα* ἐν τῇ δρακὶ τὰ πάντα, μήτηρ Θεοῦ,* ἔνδον ἐν κοιλίᾳ σχοῦσα θεοπρεπῶς* καὶ ἀφράστως σωματώσασα,* ὑπὲρ τῶν δούλων σου* ἐξιλέωσαι τοῦτον, δεόμεθα.

**Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιὴλ**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ἅπαντας ἐλέησον, Σωτήρ,* κατὰ τὸ μέγα σου* καὶ θεῖον ἔλεος·* τούτου τὸν τύπον γάρ, δέσποτα,* μυστικῶς ὑπαινιττόμενοι,* τὴν δι' ἐλαίου ἱεροῦ* χρῖσιν προσάγομεν* τοῖς νοσοῦσι,* οὕσπερ δυνάμει τῇ σῇ πάντας ἴασαι.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ῥείθροις τοῦ ἐλέους σου, Χριστέ,* καὶ ἐπαλείμμασι* τῶν ἱερέων σου* πλῦνον ὡς εὔσπλαγχνος, Κύριε,* τὰς ὀδύνας καὶ τὰ τραύματα* καὶ ἀλγεινῶν ἐπιφορὰς* τῶν ἐν ἀνάγκαις παθῶν* τρυχομένων,* ὅπως ἐν σοὶ καθαρθέντες ὑμνῶσί σε.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Σύμβολον τῆς ἄνωθεν ῥοπῆς* καὶ ἱλαρότητος* ἔλαιον θεῖον ἡμῖν* τοῖς διαγράφουσι, δέσποτα,* μὴ μακρύνῃς σου τὸ ἔλεος,* μηδὲ παρίδῃς τοὺς πιστῶς* ἀεὶ κραυγάζοντας·* Εὐλογεῖτε,* πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
**Θεοτοκίον**

Ἔνδοξον ὡς στέφανον, ἁγνή,* ἡ φύσις εἴληφε* τὸν θεῖον τόκον σου,* ἐχθρῶν ἀπείργοντα φάλαγγας* καὶ νικῶντα κατὰ κράτος αὐτούς·* διὸ χαρίτων σου φαιδραῖς* καταστεφόμενοι* ἀγλαΐαις,* σὲ ἀνυμνοῦμεν, πανύμνητε δέσποινα.

**Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Νεῦσον οὐρανόθεν, οἰκτίρμον,* δεῖξόν σου τὸ ἔλεος πᾶσι,* δὸς νῦν τὴν ἀντίληψιν τὴν σὴν* καὶ τὴν ἰσχύν σου* τοῖς προσιοῦσί σοι* διὰ τοῦ θείου χρίσματος* τῶν ἱερέων σου, φιλάνθρωπε.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ἴδομεν, πανάγαθε Σῶτερ,* ἀγαλλιώμενοι τὸ θεῖον* ἔλαιον ῥοπῇ σου ἐνθέῳ* ὑπὲρ μετόχους,* ὅπερ προσείληφας* καὶ τυπικῶς μετέδωκας* λουτροῦ τοῦ θείου τοῖς μετέχουσιν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Οἴκτιρον, ἐλέησον, Σῶτερ,* ῥῦσαι δεινῶν καὶ ἀλγηδόνων,* λύτρωσαι βελῶν τοῦ πονηροῦ* τοὺς σοὺς οἰκέτας,* ψυχὰς καὶ σώματα,* ὡς ἐλεήμων Κύριος,* χάριτι θείᾳ ἐξιώμενος.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Ὕμνους καὶ δεήσεις, παρθένε,* προσδεχομένη τῶν σῶν δούλων,* ῥῦσαι χαλεπῶν παθημάτων* καὶ ἀλγηδόνων* ταῖς ἱκεσίαις σου* τοὺς δι' ἡμῶν, πανάχραντε,* τῇ θείᾳ σκέπῃ σου προστρέχοντας.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον* σὲ μεγαλύνομεν.

## ΤΟ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΚΑΙ ΟΙ ΑΙΝΟΙ

**Ἐξαποστειλάριον. Ἦχος γ΄. Ἐπεσκέψατο ἡμᾶς**

Ἐν ἐλέῳ, ἀγαθέ,* ἐπίβλεψον σῷ ὄμματι* ἐπὶ τὴν δέη-

σιν ἡμῶν* τῶν συνελθόντων ἐν τῷ ναῷ σου* τῷ ἁγίῳ σήμερον·* χρίσαι θείῳ ἐλαίῳ* νοσοῦντας τοὺς δούλους σου.

**Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.**
**Ἦχος δ'. Ἔδωκας σημείωσιν**

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Ἔδωκας τὴν χάριν σου* διὰ τῶν σῶν, εὐδιάλλακτε,* ἀποστόλων, φιλάνθρωπε,* ἐλαίῳ ἁγίῳ σου* θεραπεύειν πάντων* πληγάς τε καὶ νόσους·* διὸ ἐλαίῳ σου πιστῶς* τοὺς προσιόντας καὶ νῦν, ὡς εὔσπλαγχνος,* ἁγίασον, ἐλέησον,* παντοίας νόσου καθάρισον* καὶ τρυφῆς τῆς ἀφθάρτου σου* καταξίωσον, Κύριε.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Βλέψον, ἀκατάληπτε,* ἐξ οὐρανοῦ σου, ὡς εὔσπλαγχνος* ἐν χειρὶ ἀοράτῳ σου* σφραγίσας, φιλάνθρωπε,* τὰς ἡμῶν αἰσθήσεις* ἐλαίῳ σου θείῳ* τοὺς προσδραμόντας σοι πιστῶς* καὶ ἐξαιτοῦντας πταισμάτων ἄφεσιν* καὶ δώρησαι τὴν ἴασιν* τὴν τῆς ψυχῆς καὶ τοῦ σώματος,* ἵνα πόθῳ δοξάζοντες,* ἀνυμνῶμεν τὸ κράτος σου.

Δέσποτα Χριστέ, ἐλέησον τοὺς δούλους σου.

Χρίσει τοῦ ἐλαίου σου* καὶ ἱερέων, φιλάνθρωπε,* ἐπαφῇ τοὺς οἰκέτας σου* ἁγίασον ἄνωθεν,* νοσημάτων ῥῦσαι,* ψυχῆς τε τὸν ῥύπον* κάθαρον, ἔκπλυνον, Σωτήρ,* καὶ πολυπλόκων σκανδάλων λύτρωσαι,* τοὺς πόνους παραμύθησον,* τὰς περιστάσεις ἐκδίωξον* καὶ τὰς θλίψεις ἀφάνισον,* ὡς οἰκτίρμων καὶ εὔσπλαγχνος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Σέ, τὸ καθαρώτατον* τοῦ βασιλέως παλάτιον,* δυσωπῶ, πολυΰμνητε·* τὸν νοῦν μου καθάρισον* τὸν ἐσπιλωμένον* πάσαις ἁμαρτίαις* καὶ καταγώγιον τερπνὸν* τῆς ὑπερθέου Τριάδος ποίησον·* ὅπως τὴν δυναστείαν σου* καὶ τὸ ἀμέ-

τρητον ἔλεος* μεγαλύνω σωζόμενος* ὁ ἀχρεῖος οἰκέτης σου.

## ΤΟ ΤΡΙΣΑΓΙΟΝ

**Α. Τὸ τρισάγιον**

Ἅγιος ὁ Θεός...(γ΄).
Δόξα Πατρί...Καὶ νῦν...
Παναγία Τριάς...
Κύριε, ἐλέησον (γ΄).
Δόξα Πατρί...Καὶ νῦν...
Πάτερ ἡμῶν...

Ι. Ὅτι σοῦ ἐστιν...

**Α. Τὸ ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε**

Ταχὺς εἰς ἀντίληψιν* μόνος ὑπάρχων, Χριστέ,* ταχεῖαν τὴν ἄνωθεν* δεῖξον ἐπίσκεψιν* τοῖς πάσχουσι δούλοις σου·* λύτρωσαι νοσημάτων* καὶ πικρῶν ἀλγηδόνων,* ἔγειρον τοῦ ὑμνεῖν σε* καὶ δοξάζειν ἀπαύστως,* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε.

**Ἐκτενὴς καὶ ἀπόλυσις.**

# Ο ΚΑΘΑΓΙΑΣΜΟΣ ΤΟΥ ΕΛΑΙΟΥ

## ΕΝΑΡΞΙΣ

Δ. Εὐλόγησον, δέσποτα.

Ια΄. Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## Η ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ

Δ. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν **(δεῖνος)**, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸ ἔλαιον τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ τῆς ἐν Θεῷ ἐπισκέψεως αὐτῶν καὶ ὑπὲρ τοῦ ἐλθεῖν ἐπ᾽ αὐτοὺς τὴν χάριν τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτούς τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Λ. Κύριε, ἐλέησον.

Δ. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λ. Σοί, Κύριε.

Ια΄. (ἐκφώνως) Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## Η ΕΥΧΗ ΤΟΥ ΕΛΑΙΟΥ

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

**Ια΄. Λέγει τὴν εὐχὴν τοῦ ἁγίου ἐλαίου. Καὶ ἐν τῷ λέγειν αὐτὸν τὴν εὐχὴν ταύτην, λέγουσιν αὐτὴν μυστικῶς καὶ οἱ λοιποὶ ἱερεῖς, καὶ ἐν τῷ εὐλογεῖν αὐτὸν τὸ ἔλαιον εἰς τὸ «αὐτός, δέσποτα, ἁγίασον τὸ ἔλαιον τοῦτο», εὐλογοῦσιν αὐτὸ καὶ οἱ λοιποί.**

Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος τὰ συντρίμματα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· αὐτός, δέσποτα, ἁγίασον καὶ τὸ ἔλαιον τοῦτο, ὥστε γενέσθαι τοῖς χριομένοις ἐξ αὐτοῦ εἰς θεραπείαν, εἰς ἀπαλλαγὴν παντὸς πάθους, νόσου σωματικῆς, μολυσμοῦ σαρκὸς

καὶ πνεύματος καὶ παντὸς κακοῦ· ἵνα καὶ ἐν τούτῳ δοξασθῇ σου τὸ πανάγιον ὄνομα.

**(ἐκφώνως)** Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## ΤΑ ΤΡΟΠΑΡΙΑ

Λ. **Καὶ ψάλλονται τὰ τροπάρια ταῦτα**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε**

Ταχὺς εἰς ἀντίληψιν* μόνος ὑπάρχων, Χριστέ,* ταχεῖαν τὴν ἄνωθεν* δεῖξον ἐπίσκεψιν* τοῖς πάσχουσι δούλοις σου·* λύτρωσαι νοσημάτων* καὶ πικρῶν ἀλγηδόνων,* ἔγειρον τοῦ ὑμνεῖν σε* καὶ δοξάζειν ἀπαύστως,* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε.

**Ἦχος δ΄. Ἐπεφάνης σήμερον**

Τῆς ψυχῆς τὰ ὄμματα* πεπηρωμένος,* σοί, Χριστέ, προσέρχομαι,* ὡς ὁ τυφλὸς ἐκ γενετῆς* ἐν μετανοίᾳ κραυγάζων σοι·* Ἱλάσθητι, μόνε* ἡμῖν εὐδιάλλακτε.

**Ἦχος γ΄. Ἡ παρθένος σήμερον**

Τὴν ψυχήν μου, Κύριε,* ἐν ἁμαρτίαις παντοίαις* καὶ ἀτόποις πράξεσι* δεινῶς παραλελυμένην,* ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ,* ὥσπερ καὶ τὸν παράλυτον ἤγειρας πάλαι,* ἵνα κράζω σεσωσμένος·* Οἰκτίρμον, δός μοι,* Χριστέ, τὴν ἴασιν.

**Ἦχος πλ. δ΄**

Ὡς τοῦ Κυρίου μαθητὴς* ἀνεδέξω, δίκαιε, τὸ εὐαγγέ-

λιον,* ὡς μάρτυς ἔχεις τὸ ἀπαράγραπτον,* τὴν παρρησίαν ὡς ἀδελφόθεος,* τὸ πρεσβεύειν ὡς ἱεράρχης·* ἱκέτευε Χριστὸν τὸν Θεὸν* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος δ'. Ὁ ὑψωθεὶς**

Ὁ τοῦ Πατρὸς μονογενὴς Θεὸς Λόγος* ἐπιδημήσας πρὸς ἡμᾶς ἐπ' ἐσχάτων* τῶν ἡμερῶν, Ἰάκωβε θεσπέσιε,* πρῶτόν σε ἀνέδειξε* τῶν Ἱεροσολύμων* ποιμένα καὶ διδάσκαλον* καὶ πιστὸν οἰκονόμον* τῶν μυστηρίων τῶν πνευματικῶν·* ὅθεν σε πάντες* τιμῶμεν, ἀπόστολε.

**Ἦχος γ'. Ἡ παρθένος σήμερον**

Ἐν τοῖς Μύροις, ἅγιε,* ἱερουργὸς ἀνεδείχθης·* τοῦ Χριστοῦ γάρ, ὅσιε,* τὸ εὐαγγέλιον πληρώσας,* ἔθηκας* τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου,* ἔσωσας* τοὺς ἀθῴους ἐκ τοῦ θανάτου·* διὰ τοῦτο ἡγιάσθης,* ὡς μέγας μύστης* Θεοῦ τῆς χάριτος.

**Ἦχος γ'. Θείας πίστεως**

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις* σὲ ὑπέρμαχον ἡ οἰκουμένη,* ἀθλοφόρε, τὰ ἔθνη τροπούμενον·* ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν,* ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα,* οὕτως, ἅγιε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Ἦχος γ'**

Ἀθλοφόρε ἅγιε* καὶ ἰαματικὲ Παντελεῆμον,* πρέσβευε τῷ ἐλεήμονι Θεῷ,* ἵνα πταισμάτων ἄφεσιν* παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Ἦχος πλ. δ'.**

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί,* ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν·* δωρεὰν ἐλάβετε,* δωρεὰν δότε ἡμῖν.

**Ἦχος β'**

Τὰ μεγαλεῖά σου,* παρθένε, τίς διηγήσεται;* βρύεις

γὰρ θαύματα* καὶ πηγάζεις ἰάματα* καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν,* ὡς θεολόγος καὶ φίλος Χριστοῦ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Ἦχος β'**

Πρεσβεία θερμὴ* καὶ τεῖχος ἀπροσμάχητον,* ἐλέους πηγή,* τοῦ κόσμου καταφύγιον,* ἐκτενῶς βοῶμέν σοι·* Θεοτόκε δέσποινα, πρόφθασον* καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς,* ἡ μόνη ταχέως προστατεύουσα.

## ΤΑ ΤΩΝ ΕΠΤΑ ΙΕΡΕΩΝ

### Α' ΙΕΡΕΥΣ

Α. **Προκείμενον. Ἦχος α'. Ψαλμὸς λβ'**

Δ. Πρόσχωμεν.

Λ. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς,* καθάπερ ἠλπίσαμεν ἐπὶ σὲ **(δίς)**.

Α. **Στίχ.** Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.

Λ. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.
Καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Δ. Σοφία.

Α. Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα **(ε' 10-16)**.

Δ. Πρόσχωμεν.

Α. **Ἀναγινώσκει τὸν πρῶτον Ἀπόστολον**

Ἀδελφοί, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας

καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν ἡμῖν ἐν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολυεύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων. Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανόν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ, ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω· ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη.

I. Εἰρήνη σοι.

**Α. Ἀλληλούϊα. Ἦχος α΄. Ψαλμὸς ρ΄**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ΄)

Α. Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε, ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.

Λ. Ἀλληλούϊα (γ΄).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.
Ι. Εἰρήνη πᾶσι.
Λ. Καὶ τῷ πνεύματί σου.
Ι. Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (ι΄ 25-38).
Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ πρῶτον Εὐαγγέλιον**

Τῷ καιρῷ ἐκείνῳ νομικός τις προσῆλθε τῷ Ἰησοῦ, πειράζων αὐτὸν καὶ λέγων· Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθείς, εἶπεν· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ τὸν πλησίον σου ὡς σεαυτόν». Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσει. Ὁ δὲ θέλων δικαιοῦν ἑαυτόν, εἶπε πρὸς τὸν Ἰησοῦν· Καὶ τίς ἐστί μου πλησίον; Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ καὶ λησταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον ἀφέντες αὐτὸν ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ καὶ ἰδὼν αὐτόν, ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ λευΐτης γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδών, ἀντιπαρῆλθε. Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν καὶ ἰδὼν αὐτόν, ἐσπλαγχνίσθη· καὶ προσελθών, κα-

τέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ· καὶ ἐπὶ τὴν αὔριον ἐξελθών, ἐκβαλὼν δύο δηνάρια, ἔδωκε τῷ πανδοχεῖ καὶ εἶπεν αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς οὖν τῶν τριῶν τούτων δοκεῖ σοι γεγονέναι πλησίον τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου καὶ σὺ ποίει ὁμοίως.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Δ. Τὴν ἐκτενῆ**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ΄).

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε, ἐλέησον (γ΄).

Ι. **(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

**I. Τὴν εὐχὴν**

Ἄναρχε, ἀδιάδοχε, ἅγιε ἁγίων, ὁ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας, ἰώμενον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, κατάπεμψον τὸ ἅγιόν σου Πνεῦμα καὶ ἁγίασον τὸ ἔλαιον τοῦτο καὶ ποίησον αὐτὸ χριομένοις τοῖς δούλοις σου τούτοις εἰς τελείαν ἀπολύτρωσιν τῶν ἁμαρτιῶν αὐτῶν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν.

Σὺ γὰρ εἶ ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε, ὁ διδοὺς λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου παιδὸς Ἰησοῦ Χριστοῦ, ὁ ἀναγεννήσας ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας, ὁ φωτίζων τοὺς τυφλοὺς καὶ ἀνορθῶν τοὺς κατερραγμένους, ὁ ἀγαπῶν τοὺς δικαίους καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ ἀνακαινίσας ἡμᾶς ἐκ σκότους καὶ σκιᾶς θανάτου, λέγων τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύπτεσθε. Ἔλαμψε γὰρ ἐν ταῖς καρδίαις ἡμῶν τὸ φῶς τῆς γνώσεως τοῦ μονογενοῦς σου Υἱοῦ, ἀφ᾽ οὗ δι᾽ ἡμᾶς ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη καὶ τοῖς δεξαμένοις αὐτὸν ἔδωκεν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, διὰ λουτροῦ παλιγγενεσίας τὴν υἱοθεσίαν ἡμῖν χαρισάμενος, καὶ ἀμετόχους ἡμᾶς ἐποίησεν ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου· ἐπεὶ οὐκ εὐδόκησεν ἐν αἵματι καθαρίζεσθαι, ἀλλ᾽ ἐν ἐλαίῳ ἁγίῳ ἔδωκε τὸν τύπον τοῦ σταυροῦ αὐτοῦ, εἰς τὸ γενέσθαι ἡμᾶς Χριστοῦ ποίμνιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, καθαρίσας ἡμᾶς ἐν ὕδατι καὶ ἁγιάσας ἐν τῷ ἁγίῳ Πνεύματι. Αὐτός, δέσποτα Κύριε, δὸς χάριν εἰς τὴν διακονίαν σου ταύτην, ὡς ἔδωκας Μωσεῖ τῷ θεράποντί σου καὶ Σαμουὴλ τῷ ἠγαπημένῳ σου καὶ Ἰωάννῃ τῷ ἐκλεκτῷ σου καὶ πᾶσι τοῖς καθ᾽ ἑκάστην γενεὰν καὶ γε-

νεὰν εὐαρεστήσασί σοι· οὕτω ποίησον καὶ ἡμᾶς γενέσθαι διακόνους τῆς καινῆς τοῦ Υἱοῦ σου διαθήκης ἐπὶ τὸ ἔλαιον τοῦτο, ὃ περιεποιήσω τῷ τιμίῳ αὐτοῦ αἵματι, ἵνα ἀποδυσάμενοι τὰς κοσμικὰς ἐπιθυμίας, ἀποθάνωμεν τῇ ἁμαρτίᾳ καὶ ζήσωμεν τῇ δικαιοσύνῃ, ἐνδυσάμενοι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, διὰ τῆς χρίσεως τοῦ ἁγιασμοῦ τοῦ μέλλοντος ἐλαίου ἐπάγεσθαι. Γένοιτο, Κύριε, τὸ ἔλαιον τοῦτο ἔλαιον ἀγαλλιάσεως, ἔλαιον ἁγιασμοῦ, ἔνδυμα βασιλικόν, σφραγὶς ἀνεπιβούλευτος, ἀγαλλίαμα καρδίας, εὐφροσύνη αἰώνιος· ἵνα καὶ ἐν τούτῳ οἱ χριόμενοι τῷ τῆς ἀναγεννήσεως ἐλαίῳ, φοβεροὶ ὦσι τοῖς ὑπεναντίοις καὶ λάμψωσιν ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα, καὶ εἰσδεχθῶσιν εἰς τὰς αἰωνίους σου ἀναπαύσεις καὶ δέξωνται τὸ βραβεῖον τῆς ἄνω κλήσεως.

**(ἐκφώνως)** Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

### Β' ΙΕΡΕΥΣ

**Α. Προκείμενον. Ἦχος β'. Ψαλμὸς ριζ'.**

Δ. Πρόσχωμεν.

Λ. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος* καὶ ἐγένετο μοι εἰς σωτηρίαν **(δίς)**.

Α. **Στίχ.** Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.

Λ. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
Καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

Δ. Σοφία.

Α. Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνω-

σμα (ιε΄ 1-7).

Δ. Πρόσχωμεν.

Α. **Ἀναγινώσκει τὸν δεύτερον Ἀπόστολον**

Ἀδελφοί, ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν καὶ μὴ ἑαυτοῖς ἀρέσκειν· ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν· καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται· «Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ». Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχωμεν. Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν Θεοῦ.

Ι. Εἰρήνη σοι.

Α. **Ἀλληλούϊα. Ἦχος β΄. Ψαλμὸς πη΄**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θρόνου σου· ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ

προσώπου σου.

Λ. Ἀλληλούϊα (γ').

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (ιθ' 1-10).

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ δεύτερον Εὐαγγέλιον**

Τῷ καιρῷ ἐκείνῳ διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχώ. Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος· καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. Καὶ προσδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομορρέαν, ἵνα ἴδῃ αὐτόν, ὅτι δι' ἐκείνης ἤμελλε διέρχεσθαι. Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς καὶ ἰδὼν αὐτόν, εἶπεν αὐτῷ· Ζακχαῖε, σπεύσας κατάβηθι, σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Καὶ σπεύσας κατέβη καὶ ὑπεδέξατο αὐτὸν χαίρων. Καὶ ἰδόντες πάντες διεγόγγυζον, λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. Σταθεὶς δὲ Ζακχαῖος, εἶπε πρὸς τὸν Ἰησοῦν· Ἰδού, τὰ ἡμίσυ τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, ὅτι· Σήμερον σωτηρία τῷ οἴκῳ τού-

τῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν· ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Δ. Τὴν ἐκτενῆ**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε, ἐλέησον (γ').

Ι. **(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

**Ι. Τὴν εὐχὴν**

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ὑπὸ πάσης κτίσεως προσκυνούμενος, ἡ τῆς σοφίας πηγή, ἡ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστος ἄβυσσος καὶ τῆς εὐσπλαγχνίας ἀπεριόριστον πέλαγος· αὐτός, φιλάνθρωπε δέσποτα, ὁ τῶν προαιωνίων καὶ θαυμασίων Θεός, ὃν οὐδεὶς ἀνθρώπων ἐννοῶν ἰσχύει καταλαβέσθαι, ἐπίβλεψον,

εἰσάκουσον ἡμῶν τῶν ἀναξίων δούλων σου· καὶ ὅπου ἐπὶ τῷ ὀνόματί σου τῷ μεγάλῳ τὸ ἔλαιον τοῦτο προσάγομεν, κατάπεμψον τῆς σῆς δωρεᾶς τὰ ἰάματα καὶ ἄφεσιν ἁμαρτιῶν καὶ ἴασαι αὐτοὺς ἐν τῷ πλήθει τοῦ ἐλέους σου.

Ναί, Κύριε εὐδιάλλακτε, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος, ὁ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, ὁ εἰδὼς ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, ὁ διὰ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν ἐνανθρωπήσας, Θεὸς ὤν, καὶ πλασθεὶς διὰ τὸ πλάσμα σου· σὺ εἶ ὁ εἰπών· «Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν»· σὺ εἶ ὁ τὸ πρόβατον ζητήσας τὸ ἀπολωλός· σὺ εἶ ὁ τὴν ἀπολλυμένην δραχμὴν ἐπιμελῶς ζητήσας καὶ εὑρών· σὺ εἶ ὁ εἰπὼν ὅτι «Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλλω ἔξω»· σὺ εἶ ὁ τὴν πόρνην τοὺς τιμίους σου πόδας δάκρυσι βρέξασαν μὴ βδελυξάμενος· σὺ εἶ ὁ εἰπών· «Ὁσάκις ἂν πέσῃς, ἔγειραι καὶ σωθήσῃ»· σὺ εἶ ὁ εἰπὼν ὅτι «Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι». Αὐτὸς ἔπιδε, εὔσπλαγχνε δέσποτα, ἐξ ὕψους ἁγίου σου, συνεπισκιάσας ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου ἐν χάριτι τοῦ ἁγίου Πνεύματος ἐν τῇ ὥρᾳ ταύτῃ καὶ κατασκήνωσον ἐπὶ τοὺς δούλους σου τούτους τοὺς ἐπεγνωκότας τὰ ἴδια πλημμελήματα καὶ προσιόντας σοι πίστει καὶ προσδεξάμενος τῇ ἰδίᾳ σου φιλανθρωπίᾳ, εἴ τι ἐπλημμέλησαν ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, συγχωρήσας ἐξάλειψον καὶ κάθαρον αὐτοὺς ἀπὸ πάσης ἁμαρτίας καὶ ἀεὶ συμπαρὼν αὐτοῖς, διαφύλαξον τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς αὐτῶν, πορευομένους ἐν τοῖς δικαιώμασί σου, πρὸς τὸ μηκέτι ἐπίχαρμα γενέσθαι αὐτοὺς τῷ διαβόλῳ, ἵνα καὶ ἐπ' αὐτοῖς δοξασθῇ τὸ πανάγιον ὄνομά σου.

**(ἐκφώνως)** Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν

ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## Γ' ΙΕΡΕΥΣ

Α. **Προκείμενον. Ἦχος γ'. Ψαλμὸς κϛ'**

Δ. Πρόσχωμεν.

Λ. Κύριος φωτισμός μου καὶ σωτήρ μου·* τίνα φοβηθήσομαι; **(δίς).**

Α. **Στίχ.** Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;

Λ. Κύριος φωτισμός μου καὶ σωτήρ μου.
Τίνα φοβηθήσομαι;

Δ. Σοφία.

Α. Πρὸς Κορινθίους Α' ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα **(ιβ' 27 - ιγ' 8).**

Δ. Πρόσχωμεν.

Α. **Ἀναγινώσκει τὸν τρίτον Ἀπόστολον**

Ἀδελφοί, ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους· καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ

πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμί. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Ι. Εἰρήνη σοι.

**Α. Ἀλληλούϊα. Ἦχος γ΄. Ψαλμὸς λ΄**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου· Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.

Λ. Ἀλληλούϊα (γʹ).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (ιʹ 1. 5-8).

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ τρίτον Εὐαγγέλιον**

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Δ. Τὴν ἐκτενῆ**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γʹ).

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρ-

τιῶν τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε ἐλέησον (γ').

Ι. **(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

**Ι. Τὴν εὐχὴν**

Δέσποτα παντοκράτορ, ἅγιε βασιλεῦ, ὁ παιδεύων καὶ μὴ θανατῶν, ὁ ὑποστηρίζων τοὺς καταπίπτοντας καὶ ἀνορθῶν τοὺς κατερραγμένους, ὁ τὰς σωματικὰς θλίψεις διορθούμενος τῶν ἀνθρώπων, αἰτούμεθά σου, ὁ Θεὸς ἡμῶν, ὅπως ἐπαγάγῃς τὸ ἔλεός σου ἐπὶ τὸ ἔλαιον τοῦτο καὶ τοὺς χριομένους ἐξ αὐτοῦ ἐν τῷ ὀνόματί σου, ἵνα γένηται αὐτοῖς εἰς ἴασιν ψυχῆς τε καὶ σώματος καὶ εἰς καθαρισμὸν καὶ ἀπαλλαγὴν παντὸς πάθους καὶ πάσης νόσου καὶ μαλακίας καὶ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος.

Ναί, Κύριε, τὴν ἰατρικήν σου δύναμιν οὐρανόθεν ἐξαπόστειλον· ἅψαι τοῦ σώματος, σβέσον τὸν πυρετόν, πράϋνον τὸ πάθος καὶ πᾶσαν λανθάνουσαν ἀσθένειαν ἀποδίωξον· γενοῦ ἰατρὸς τῶν δούλων σου τούτων· ἐξέγειρον αὐτοὺς ἀπὸ κλίνης ὀδυνηρᾶς καὶ στρωμνῆς κακώσεως· σῴους καὶ ὁλοκλήρους χάρισαι αὐτοὺς τῇ Ἐκκλησίᾳ σου, εὐαρεστοῦντας καὶ ποιοῦντας τὸ θέλημά σου.

**(ἐκφώνως)** Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ΄ ΙΕΡΕΥΣ

Α. **Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ρα΄**

Δ. Πρόσχωμεν.

Λ. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ* ἐπάκουσόν μου **(δίς)**.

Α. **Στίχ.** Κύριε εἰσάκουσον τῆς προσευχῆς μου καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Λ. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε.
Ταχὺ ἐπάκουσόν μου.

Δ. Σοφία.

Α. Πρὸς Κορινθίους Β΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα **(ς΄ 16 - ζ΄ 1)**.

Δ. Πρόσχωμεν.

Α. **Ἀναγινώσκει τὸν τέταρτον Ἀπόστολον**

Ἀδελφοί, ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς ὅτι «ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν Θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός». Διὸ «ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε», λέγει Κύριος, «καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς καὶ ἔσομαι ὑμῖν εἰς πατέρα καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντο-

κράτωρ». Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

Ι. Εἰρήνη σοι.

**Α. Ἀλληλούϊα. Ἦχος δ΄. Ψαλμὸς λθ΄**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντιλάβοιντό μοι.

Λ. Ἀλληλούϊα (γ΄).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (η΄ 14-23).

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ τέταρτον Εὐαγγέλιον**

Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν καὶ ἥψατο τῆς χειρὸς αὐτῆς καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς καὶ ἠγέρθη

καὶ διηκόνει αὐτῷ. Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλοὺς καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· «Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασεν». Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτόν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.

Καὶ προσελθὼν εἷς γραμματεύς, εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Δ. Τὴν ἐκτενῆ**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε, ἐλέησον (γ').

Ι. **(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος

Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

**I. Τὴν εὐχὴν**

Ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι, Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, ὁ ἐνηχήσας ἡμῖν διὰ τῶν ἁγίων σου ἀποστόλων ἐλαίῳ μετὰ προσευχῆς τῶν τοῦ λαοῦ πρεσβυτέρων τὰς ἀσθενείας θεραπεύεσθαι, σύνταξον τὸ ἔλαιον τοῦτο εἰς ἴασιν τοῖς ἐξ αὐτοῦ χριομένοις, εἰς ἀπαλλαγὴν πάσης νόσου καὶ πάσης μαλακίας, εἰς ἀπόλαυσιν τῶν ἀπεκδεχομένων τὴν παρὰ σοῦ σωτηρίαν. Ναί, δέσποτα ὁ Θεός, δεόμεθά σου, παντοδύναμε, Κύριε τοῦ σώζειν· ὁ μόνος ψυχῶν καὶ σωμάτων ἰατρός, ἴασαι καὶ τοὺς δούλους σου τούτους διὰ τοῦ ἐλαίου τῆς σῆς χρηστότητος, ὅπως καὶ νῦν μετασχόντες τῆς σῆς φιλανθρωπίας, δοξάζωμέν σε τὸν ποιοῦντα μεγάλα καὶ θαυμαστά, ἔνδοξά τε καὶ ἐξαίσια.

**(ἐκφώνως)** Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε καὶ πολυέλεε Κύριε,

ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, ὁ ἐνισχύσας ἡμᾶς διὰ τῶν ἁγίων σου ἀποστόλων ἐλαίῳ μετὰ προσευχῆς τὰς ἀσθενείας τοῦ λαοῦ θεραπεύεσθαι· αὐτὸς καὶ τὸ ἔλαιον τοῦτο σύνταξον εἰς ἴασιν τοῖς ἐξ αὐτοῦ χριομένοις, εἰς ἀπαλλαγὴν πάσης νόσου καὶ πάσης μαλακίας, εἰς ἀπολύτρωσιν τῶν κακῶν τῶν ἀπεκδεχομένων τὴν παρὰ σοῦ σωτηρίαν. Ναί, δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δεόμεθά σου, παντοδύναμε, τοῦ σώζειν πάντας ἡμᾶς· ὁ μόνος ψυχῶν τε καὶ σωμάτων ἰατρός, ἁγίασον πάντας ἡμᾶς· ὁ πᾶσαν νόσον ἰώμενος, ἴασαι καὶ τοὺς δούλους σου τούτους· ἐξέγειρον αὐτοὺς ἀπὸ κλίνης ὀδυνηρᾶς διὰ ἐλέους τῆς σῆς χρηστότητος· ἐπίσκεψαι αὐτοὺς ἐν ἐλέει καὶ οἰκτιρμοῖς σου· ἀποδίωξον ἀπ' αὐτῶν πᾶσαν ἀρρωστίαν καὶ ἀσθένειαν, ἵνα, ἐξαναστάντες τῇ χειρί σου τῇ κραταιᾷ, δουλεύουσί σοι μετὰ πάσης εὐχαριστίας· ὅπως καὶ νῦν, μετέχοντες τῆς σῆς ἀφάτου φιλανθρωπίας, ὑμνῶμεν καὶ δοξάζωμέν σε τὸν ποιοῦντα μεγάλα καὶ θαυμαστά, ἔνδοξά τε καὶ ἐξαίσια. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## Ε' ΙΕΡΕΥΣ

**Α. Προκείμενον. Ἦχος πλ. α'. Ψαλμὸς ια'**

Δ. Πρόσχωμεν.

Λ. Σύ, Κύριε, φυλάξαις ἡμᾶς* καὶ διατηρήσαις ἡμᾶς **(δίς).**

Α. **Στίχ.** Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Λ. Σύ, Κύριε, φυλάξαις ἡμᾶς.
Καὶ διατηρήσαις ἡμᾶς.

Δ. Σοφία.

Α. Πρὸς Κορινθίους Β′ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα (α′ 8-11).

Δ. Πρόσχωμεν.

**Α. Ἀναγινώσκει τὸν πέμπτον Ἀπόστολον**

Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς· ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ὑμῶν.

Ι. Εἰρήνη σοι.

**Α. Ἀλληλούϊα. Ἦχος πλ. α′. Ψαλμὸς μ′**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ′).

Α. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Κύριος φυλάξαι αὐτὸν καὶ ζῆσαι αὐτόν.

Λ. Ἀλληλούϊα (γ′).

Α. Κύριος βοηθήσαι αὐτὸν ἐπὶ κλίνης ὀδύνης αὐτοῦ· ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.

Λ. Ἀλληλούϊα (γ′).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (κε΄ 1-13).

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ πέμπτον Εὐαγγέλιον**

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον, αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ αἱ

ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Δ. Τὴν ἐκτενῆ**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε, ἐλέησον (γ').

Ι. **(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

**Ι. Τὴν εὐχὴν**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ ἐπιβλέπων ἀβύσσους, ἔπιδε ἐπὶ τοὺς δούλους σου τούτους καὶ ἐπίσκεψαι αὐτοὺς

ἐν τῇ φιλανθρωπίᾳ σου καὶ τῇ ἀμετρήτῳ σου δυνάμει ἐξ ἁγίου ὑψώματός σου καὶ ἀπόστησον ἀπ' αὐτῶν πᾶσαν νόσον καὶ πᾶσαν ἁμαρτίαν, ἣν ἐποίησαν, καὶ ἀποκατάστησον αὐτοὺς ὑγιαίνοντας πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν.

**(ἐκφώνως)** Ὅτι σὺ εἶ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, ὁ τῶν ὀρφανῶν πατὴρ καὶ τῶν χειμαζομένων λιμὴν καὶ τῶν νοσούντων ἰατρός, ὁ τὰς ἀσθενείας ἡμῶν ἀπόνως βαστάζων καὶ τὰς νόσους ἡμῶν λαμβάνων, ὁ ἐν ἱλαρότητι ἐλεῶν, ὁ ὑπερβαίνων ἀνομίας καὶ ἐξαίρων ἀδικίας, ὁ ταχὺς εἰς βοήθειαν καὶ βραδὺς εἰς ὀργήν, ὁ ἐμφυσήσας εἰς τοὺς ἑαυτοῦ μαθητὰς καὶ εἰπών· «Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς», ὁ δεχόμενος τῶν ἁμαρτωλῶν τὴν μετάνοιαν καὶ ἐξουσίαν ἔχων συγχωρεῖν ἁμαρτίας πολλὰς καὶ χαλεπὰς καὶ ἴασιν παρέχων πᾶσι τοῖς ἐν ἀσθενείᾳ καὶ μακρονοσίᾳ διάγουσιν· ὁ καὶ ἐμὲ τὸν ταπεινὸν καὶ ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλόν σου, τὸν ἐν πολλαῖς ἁμαρτίαις συμπεπλεγμένον καὶ πάθεσιν ἡδονῶν συγκυλινδούμενον, καλέσας εἰς τὸν ἅγιον καὶ ὑπερμέγιστον βαθμὸν τῆς ἱερωσύνης καὶ εἰσελθεῖν εἰς τὸ ἐνδότερον τοῦ καταπετάσματος, εἰς τὰ ἅγια τῶν ἁγίων, ὅπου παρακύψαι οἱ ἅγιοι ἄγγελοι ἐπιθυμοῦσι καὶ ἀκοῦσαι τῆς εὐαγγελικῆς φωνῆς Κυρίου τοῦ Θεοῦ καὶ θεάσασθαι αὐτοψεὶ τὸ πρόσωπον τῆς ἁγίας ἀναφορᾶς καὶ ἀπολαῦσαι τῆς θείας καὶ ἱερᾶς λειτουργίας· ὁ καταξιώσας με ἱερουργῆσαι τὰ ἐπουράνιά σου μυστήρια καὶ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτη-

μάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων καὶ μεσιτεῦσαι ὑπὲρ τῶν λογικῶν σου προβάτων, ἵνα διὰ τῆς πολλῆς καὶ ἀφάτου σου φιλανθρωπίας τὰ παραπτώματα αὐτῶν ἐξαλείψῃς. Αὐτός, ὑπεράγαθε βασιλεῦ, ἐνώτισαι τὴν προσευχήν μου ἐν ταύτῃ τῇ ὥρᾳ τε καὶ ἁγίᾳ ἡμέρᾳ καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου καὶ τῶν δούλων σου τούτων, τῶν ἐν ἀσθενείᾳ ψυχῆς καὶ σώματος ὄντων, τὴν ἴασιν δώρησαι, παρέχων ἄφεσιν ἁμαρτιῶν αὐτοῖς καὶ συγχώρησιν πλημμελημάτων, ἑκουσίων τε καὶ ἀκουσίων, θεραπεύων αὐτῶν πληγὰς ἀνιάτους, πᾶσάν τε νόσον καὶ πᾶσαν μαλακίαν. Δώρησαι αὐτοῖς ψυχικὴν ἴασιν, ὁ ἀψάμενος τῆς πενθερᾶς τοῦ Πέτρου καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς καὶ ἠγέρθη καὶ διηκόνει σοι. Αὐτός, δέσποτα, καὶ τοῖς δούλοις σου τούτοις παράσχου ἰατρείαν καὶ ἀπαλλαγὴν πάσης φθοροποιοῦ ἀλγηδόνος καὶ μνήσθητι τῶν πλουσίων σου οἰκτιρμῶν καὶ τοῦ ἐλέους σου. Μνήσθητι, ὅτι ἐπιμελῶς ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ καὶ οὐδεὶς εὑρίσκεται ἀναμάρτητος ἐπὶ τῆς γῆς. Σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις, ὁ ἐλθὼν καὶ σώσας τὸ ἀνθρώπινον γένος καὶ ἐλευθερώσας ἡμᾶς ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ἐὰν γὰρ εἰς κρίσιν ἔλθῃς μετὰ τῶν δούλων σου, οὐδεὶς εὑρεθήσεται καθαρὸς ἀπὸ ῥύπου, ἀλλὰ πᾶν στόμα φραγήσεται, μὴ ἔχον τι ἀπολογήσασθαι, ὅτι ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν ἐνώπιόν σου· διὰ τοῦτο ἁμαρτίας νεότητος ἡμῶν μὴ μνησθῇς, Κύριε. Σὺ γὰρ ὑπάρχεις ἐλπὶς τῶν ἀπηλπισμένων καὶ ἀνάπαυσις τῶν κοπιώντων καὶ πεφορτισμένων ἐν ἀνομίαις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

**Α. Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς ν΄**

Δ. Πρόσχωμεν.

Λ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου* καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου (**δίς**).

Α. **Στίχ.** Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Λ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου.
Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Δ. Σοφία.

Α. Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα (**ε΄ 22-ς΄ 2**).

Δ. Πρόσχωμεν.

**Α. Ἀναγινώσκει τὸν ἕκτον Ἀπόστολον**

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων

τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ι. Εἰρήνη σοι.

**Α. Ἀλληλούϊα. Ἦχος πλ. β΄. Ψαλμὸς ρια΄**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Λ. Ἀλληλούϊα (γ΄).

Α. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν· ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.

Λ. Ἀλληλούϊα (γ΄).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (ιε΄ 21-28).

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ ἕκτον Εὐαγγέλιον**

Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Καὶ ἰδού, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν αὐτῷ, λέγουσα· Ἐλέησόν με, Κύριε, υἱὲ Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ ἠρώτων αὐτόν, λέγοντες· Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθείς, εἶπεν· Οὐκ ἀπεστάλην, εἰμὴ εἰς τὰ

πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα, προσεκύνει αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθείς, εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναί, Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Δ. Τὴν ἐκτενῆ**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ΄).

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε, ἐλέησον (γ΄).

Ι. **(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε ἐλέησον.

I. **Τὴν εὐχὴν**

Ὁ Θεὸς ὁ δυνατὸς καὶ ἐλεήμων, ὁ πάντα οἰκονομῶν ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, ἐπίσκεψαι τοὺς δούλους σου τούτους τοὺς ἐπικεκλημένους τὸ ὄνομα τοῦ Χριστοῦ σου καὶ ἴασαι αὐτῶν πᾶσαν ἀσθένειαν σωματικήν τε καὶ ψυχικήν· ἄφες αὐτοῖς τὰς ἁμαρτίας καὶ τὰ ἐξ ἁμαρτιῶν ἐπίπονα· πάντα πειρασμὸν καὶ πᾶσαν ἐπανάστασιν τοῦ ἀντικειμένου ἀπόστησον ἀπὸ τῶν δούλων σου τούτων καὶ ἀνάστησον αὐτοὺς ἀπὸ τῆς κλινηρᾶς ἀρρωστίας καὶ ἀποκατάστησον τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ ψυχῇ καὶ σώματι ὑγιαίνοντας καὶ προκόπτοντας ἐν ἔργοις καλοῖς καὶ λόγοις ἀγαθοῖς δοξάζοντας μετὰ παντὸς τοῦ λαοῦ σου τὸ ὄνομα τοῦ Χριστοῦ σου, τῆς ἐλπίδος ἡμῶν,

**(ἐκφώνως)** μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ τὰς νόσους ἡμῶν ἀπόνως βαστάζων, οὗ τῷ μώλωπι πάντες ἰάθημεν· ὁ ποιμὴν ὁ καλός, ὁ εἰς ἀναζήτησιν ἐλθὼν τοῦ πλανηθέντος προβάτου· ὁ τοῖς ὀλιγοψύχοις διδοὺς παραμυθίαν καὶ ζωὴν τοῖς συντετριμμένοις· ὁ τὴν πηγὴν τῆς αἱμορροούσης, δωδεκαετῆ οὖσαν, ἰασάμενος· ὁ τὴν θυγατέρα τῆς Χαναναίας τοῦ χαλεποῦ δαιμονίου ἐλευθερώσας· ὁ τὸ δάνειον χαρισάμενος τοῖς δυσὶ χρεωφειλέταις καὶ τῇ ἁμαρτωλῷ τὴν ἄφεσιν δούς· ὁ τὴν ἴασιν τῷ παραλυτικῷ δωρησάμενος σὺν τῇ ἀφέσει τῶν ἁμαρτιῶν

αὐτοῦ· ὁ τὸν τελώνην τῷ λόγῳ δικαιώσας καὶ τὸν λῃστὴν ἐν τῇ ἐσχάτῃ αὐτοῦ ὁμολογίᾳ προσδεξάμενος· ὁ τὰς ἁμαρτίας τοῦ κόσμου ἀράμενος καὶ τῷ σταυρῷ προσηλώσας. Σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν· ἐν τῇ ἀγαθότητί σου, αὐτός, ἄνες, ἄφες, συγχώρησον, ὁ Θεός, τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας τῶν δούλων σου τούτων, τὰ πλημμελήματα αὐτῶν τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ ἐν παρακοῇ, τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ· ἢ ὑπὸ κατάραν ἱερέως, ἢ πατρός, ἢ μητρός, ἐγένοντο, ἢ ὀφθαλμὸν εἱστίασαν, ἢ ὄσφρησιν ἐξεθήλυναν, ἢ ἀφῇ κατεμαλακίσθησαν, ἢ γεύσει κατεπόρνευσαν, ἢ ἐν οἱαδήποτε κινήσει σαρκὸς καὶ πνεύματος τοῦ σοῦ ἀπηλλοτριώθησαν θελήματος καὶ τῆς σῆς ἁγιότητος· εἴ τι ἥμαρτον αὐτοί τε καὶ ἡμεῖς, ὡς ἀγαθὸς καὶ ἀμνησίκακος Θεὸς καὶ φιλάνθρωπος, συγχώρησον, μὴ ἐῶν αὐτοὺς καὶ ἡμᾶς εἰς τὸν ῥερυπωμένον βίον καταπεσεῖν, μηδὲ εἰς τὰς ὀλεθρίους ὁδοὺς ἀποτρέχειν. Ναί, δέσποτα Κύριε, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ ἐν τῇ ὥρᾳ ταύτῃ ὑπὲρ τῶν δούλων σου τούτων· πάριδε ὡς ἀμνησίκακος Θεὸς τὰ παραπτώματα αὐτῶν ἅπαντα, ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως, τὸ στόμα αὐτῶν τῆς σῆς αἰνέσεως πλήρωσον, τὰ χείλη αὐτῶν ἄνοιξον πρὸς δοξολογίαν τοῦ ὀνόματός σου, τὰς χεῖρας αὐτῶν ἔκτεινον πρὸς ἐργασίαν τῶν ἐντολῶν σου, τοὺς πόδας αὐτῶν πρὸς τὸν δρόμον τοῦ εὐαγγελίου σου κατεύθυνον, πάντα αὐτῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν ἁγίων σου ἀποστόλων ἐντειλάμενος ἡμῖν, λέγων· «Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς»· καὶ πάλιν· «Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται»· καὶ ὡς ἐπήκουσας Ἐζεκίου ἐν τῇ θλίψει τῆς ψυχῆς αὐτοῦ ἐν τῇ ὥρᾳ τοῦ θανάτου αὐτοῦ καὶ οὐ παρεῖδες τὴν δέησιν αὐτοῦ, οὕτω κἀμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου ἐπάκουσον ἐν τῇ ὥρᾳ ταύτῃ.

Σὺ γὰρ εἶ, Κύριε Ἰησοῦ Χριστέ, ὁ ἑβδομηκοντάκις ἑπτὰ ἀφιέναι τοῖς περιπίπτουσιν ἐν ἁμαρτίαις κελεύσας τῇ σῇ ἀγαθότητι καὶ φιλανθρωπίᾳ καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν καὶ χαίρων ἐπὶ τῇ ἐπιστροφῇ τῶν πεπλανημένων, ὅτι ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ τὸ ἔλεός σου· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## Ζ' ΙΕΡΕΥΣ

**Α. Προκείμενον. Ἦχος πλ. δ'. Ψαλμὸς η'**

Δ. Πρόσχωμεν.

Λ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου,* ὅτι θλίβομαι **(δίς)**.

Α. **Στίχ.** Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μοι.

Λ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου.

Ὅτι θλίβομαι.

Δ. Σοφία.

Α. Πρὸς Θεσσαλονικεῖς Α' ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα **(ε' 14-23)**.

Δ. Πρόσχωμεν.

**Α. Ἀναγινώσκει τὸν ἕβδομον Ἀπόστολον**

Ἀδελφοί, παρακαλοῦμεν ὑμᾶς, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ

εἰς ἀλλήλους καὶ εἰς πάντας. Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ τὸ θέλημα τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τὸ πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ ἐξουθενεῖτε· πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.

Ι. Εἰρήνη σοι.

**Α. Ἀλληλούϊα. Ἦχος πλ. δ΄. Ψαλμὸς ιθ΄**

Δ. Πρόσχωμεν.

Λ. Ἀλληλούϊα (γ΄).

Δ. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως· ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Λ. Ἀλληλούϊα (γ΄).

Δ. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Λ. Ἀλληλούϊα (γ΄).

Δ. Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ι. Εἰρήνη πᾶσι.

Λ. Καὶ τῷ πνεύματί σου.

Ι. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (θ΄ 9-13).

Δ. Πρόσχωμεν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Ι. Ἀναγινώσκει τὸ ἕβδομον Εὐαγγέλιον**

Τῷ καιρῷ ἐκείνῳ παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Καὶ ἀναστάς, ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει ὁ διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· πορευθέντες δὲ μάθετε τί ἐστιν· «Ἔλεον θέλω καὶ οὐ θυσίαν». Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Λ. Δόξα σοι, Κύριε, δόξα σοι.

**Δ. Τὴν ἐκτενῆ**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον (γ').

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τούτων καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε, ἐλέησον (γ').

Ι. **(ἐκφώνως)** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν,

τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

**I. Τὴν εὐχὴν**

Ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ ἀναλαβὼν εἰς ἑαυτὸν τὰς ἀσθενείας τοῦ λαοῦ καὶ τοὺς πόνους βαστάσας, μνήσθητι καὶ τῶν δούλων σου τούτων, τῶν ἐν ἀρρωστίᾳ ἐξεταζομένων καὶ τοῦ ἐλέους σου ἐπιδεομένων. Κατάπεμψον τὴν ἰατρικήν σου χάριν καὶ ἴασαι αὐτοὺς ἐπὶ τῆς κλίνης ἀρρωστοῦντας· παράσχου αὐτοῖς ὑγείαν ὁλόκληρον σώματος καὶ ψυχῆς καὶ πνεύματος· ἀποκατάστησον αὐτοὺς ὑγιεῖς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ εἰς προσκύνησιν καὶ εἰς δόξαν τοῦ ἁγίου σου ὀνόματος.

**(ἐκφώνως)** Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ τὰ χρόνια πάθη θεραπεύων, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Σὺ γάρ, Κύριε, ἐν τῇ παλαιᾷ διαθήκῃ ἔθου μετάνοιαν τοῖς ἁμαρτωλοῖς, Δαυὶδ καὶ Νινευίταις, καὶ

τοῖς πρὶν καὶ τοῖς μετὰ τούτους· ἀλλὰ καὶ ἐν τῇ ἐπιδημίᾳ τῆς ἐνσάρκου σου οἰκονομίας οὐκ ἐκάλεσας δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, ὡς τὸν τελώνην, ὡς τὴν πόρνην, ὡς τὸν λῃστήν, καὶ βλάσφημον καὶ διώκτην τὸν μέγαν Παῦλον διὰ μετανοίας προσδεξάμενος· Πέτρον τὸν κορυφαῖον καὶ ἀπόστολόν σου, ἀρνησάμενόν σε τρίτον, διὰ μετανοίας προσεδέξω καὶ προσελάβου καὶ ἐπηγγείλω αὐτῷ, λέγων· «Σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν». Διόπερ καὶ ἡμεῖς, ἀγαθὲ καὶ φιλάνθρωπε, κατὰ τὰς ἀψευδεῖς σου ἐπαγγελίας θαρροῦντες, δεόμεθά σου καὶ ἱκετεύομεν ἐν τῇ ὥρᾳ ταύτῃ· Ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ πρόσδεξαι αὐτήν, ὡς θυμίαμα προσφερόμενόν σοι, καὶ ἐπίσκεψαι τοὺς δούλους σου τούτους· καὶ εἴ τι ἐπλημμέλησαν ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ἢ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ, ἢ ὑπὸ κατάραν ἱερέως ἢ τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσαν, ἢ ὅρκῳ παρεπίκραναν καὶ ὡρκομότησαν, παρακαλοῦμέν σε καὶ δεόμεθά σου· ἄνες, ἄφες, συγχώρησον αὐτοῖς, ὁ Θεός, παραβλέπων τὰς ἀνομίας αὐτῶν καὶ τὰς ἁμαρτίας καὶ τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ γενόμενα παρ' αὐτῶν· καὶ εἴ τι τῶν ἐντολῶν σου παρέβησαν ἢ ἐπλημμέλησαν, ὡς σάρκα φοροῦντες καὶ τὸν κόσμον οἰκοῦντες, ἢ ἐξ ἐνεργείας τοῦ διαβόλου, αὐτός, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει. Σὺ γὰρ μόνος ὑπάρχεις ἀναμάρτητος· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια· οὐ γὰρ ἔπλασας τὸν ἄνθρωπον εἰς ἀπώλειαν, ἀλλ' εἰς περιποίησιν τῶν ἐντολῶν σου καὶ ζωῆς ἀφθάρτου κληρονομίαν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

**Καὶ χρίουσιν οἱ ἱερεῖς τοὺς ποιοῦντας τὸ εὐχέλαιον σταυροειδῶς εἰς τὸ πρόσωπον καὶ τὰς χεῖρας, εἰπόντες πρῶτον τὴν εὐχὴν ταύτην·**

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Ια΄. Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ πέμψας τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστόν, πᾶσαν νόσον ἰώμενον καὶ ἐκ θανάτου λυτρούμενον, ἴασαι καὶ τοὺς δούλους σου τούτους ἐκ τῆς περιεχούσης αὐτοὺς σωματικῆς ἀσθενείας διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου καὶ ζωοποίησον αὐτοὺς κατὰ τὸ σοὶ εὐάρεστον, τὴν ὀφειλομένην σοι εὐχαριστίαν ἐν ἀγαθοεργίᾳ ἀποπληροῦντας.

Πρεσβείαις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ ἰαματικῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτου, Θαλελαίου καὶ Τρύφωνος, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν ἁγίων.

**(ἐκφώνως)** Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, ὁ Θεός, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ

Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

Ι. **Καὶ εἰς ἑκάστην χρῖσιν λέγουσι·**

Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου.

**ἢ**

Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ **(δεῖνα)** εἰς ἴασιν ψυχῆς καὶ σώματος.

Λ. **Καὶ ἐν τῷ χρίειν τοὺς ἱερεῖς τὸν λαὸν οἱ ψάλται ψάλλουσι τὰ ἀκόλουθα τροπάρια ἢ τὸν κανόνα τοῦ εὐχελαίου**

**Ἰδιόμελον. Ἦχος δ'**

Πηγὴν ἰαμάτων ἔχοντες,* ἅγιοι Ἀνάργυροι,* τὰς ἰάσεις παρέχετε* πᾶσι τοῖς δεομένοις,* ὡς μεγίστων δωρεῶν ἀξιωθέντες* παρὰ τῆς ἀενάου πηγῆς* τοῦ Σωτῆρος ἡμῶν.* Φησὶ γὰρ πρὸς ἡμᾶς ὁ Κύριος,* ὡς ὁμοζήλους τῶν ἀποστόλων·* «Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν* κατὰ πνευμάτων ἀκαθάρτων,* ὥστε αὐτὰ ἐκβάλλειν* καὶ θεραπεύειν πᾶσαν νόσον* καὶ πᾶσαν μαλακίαν».* Διὸ τοῖς προστάγμασιν αὐτοῦ* καλῶς πολιτευσάμενοι,* δωρεὰν ἐλάβετε,* δωρεὰν παρέχετε,* ἰατρεύοντες τὰ πάθη* τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Νεῦσον παρακλήσεσι* σῶν ἱκετῶν, πανάμωμε,* παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις,* πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα·* σὲ γὰρ μόνην ἀσφαλῆ* καὶ βεβαίαν ἄγκυραν ἔχομεν* καὶ τὴν σὴν προστασίαν κεκτήμεθα·* μὴ αἰσχυνθῶμεν, δέσποινα,* σὲ προσκαλούμενοι·* σπεῦσον εἰς ἱκεσίαν* τῶν σοὶ πιστῶς βοώντων·* Χαῖρε, δέσποινα,* ἡ πάντων βοήθεια,* χαρὰ καὶ σκέπη* καὶ προστασία τῶν ψυχῶν ἡμῶν.

**Μετὰ δὲ ταῦτα αἴρουσιν οἱ ἱερεῖς τὸ Εὐαγγέλιον καὶ κρατοῦσιν αὐτὸ ἐπάνω τῆς κεφαλῆς τῶν ποιούντων τὸ εὐχέλαιον· ὁ δὲ πρῶτος λέγει τὴν εὐχὴν ταύτην μεγαλοφώνως, πάντων ὑποψαλλόντων ἀργῶς τό·** Κύριε, ἐλέησον.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Ια΄. Βασιλεῦ ἅγιε, εὔσπλαγχνε καὶ πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, οὐ τίθημι ἐμὴν χεῖρα ἁμαρτωλὸν ἐπὶ τὴν κεφαλὴν τῶν προσελθόντων σοι ἐν ἁμαρτίαις καὶ αἰτουμένων παρὰ σοῦ δι᾽ ἡμῶν ἄφεσιν ἁμαρτιῶν, ἀλλὰ σὴν χεῖρα κραταιὰν καὶ δυνατήν, τὴν ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ τούτῳ, ὃ οἱ συλλειτουργοί μου κατέχουσιν ἐπὶ τὰς κεφαλὰς τῶν δούλων σου τούτων, ἔκτεινον· καὶ δέομαι σὺν αὐτοῖς καὶ ἱκετεύω τὴν συμπαθεστάτην καὶ ἀμνησίκακόν σου φιλανθρωπίαν· ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαυὶδ ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασιν ἄφεσιν δωρησάμενος καὶ τοῦ Μανασσῆ τὴν ἐπὶ μετανοίᾳ προσευχὴν δεξάμενος, αὐτὸς καὶ τοὺς δούλους σου τούτους, μετανοοῦντας ἐπὶ τοῖς ἰδίοις αὐτῶν πλημμελήμασι, πρόσδεξαι τῇ συνήθει σου φιλανθρωπίᾳ, παρορῶν αὐτῶν πάντα τὰ παραπτώματα. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καὶ ἑβδομηκοντάκις ἑπτὰ ἀφιέναι κελεύσας τοῖς περιπίπτουσιν ἐν ἁμαρτίαις, ὅτι ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ

τὸ ἔλεός σου· καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

## Η ΑΠΟΛΥΣΙΣ

Ια΄. Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Α. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Κύριε, ἐλέησον (γ΄).

Εὐλόγησον.

Ια΄. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Λ. Ἀμήν.

# ΠΑΡΑΡΤΗΜΑ

## 1. Εὐχολόγιον Σεραπίωνος Θμούεως

**«Εὐχὴ περὶ τῶν προσφερομένων ἐλαίων ἢ ὑδάτων» (5)**

Εὐλογοῦμεν διὰ τοῦ ὀνόματος τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ τὰ κτίσματα ταῦτα, τὸ ὄνομα τοῦ παθόντος ὀνομάζομεν, τοῦ σταυρωθέντος καὶ ἀναστάντος καὶ καθιζομένου ἐν δεξιᾷ τοῦ ἀγενήτου, ἐπὶ τὸ ἔλαιον τοῦτο. Χάρισαι δύναμιν θεραπευτικὴν ἐπὶ τὰ κτίσματα ταῦτα, ὅπως πᾶς πυρετὸς καὶ πᾶν δαιμόνιον καὶ πᾶσα νόσος διὰ τῆς πόσεως καὶ τῆς ἀλείψεως ἀπαλλαγῇ, καὶ γένηται φάρμακον θεραπευτικὸν καὶ φάρμακον ὁλοκληρίας ἡ τῶν κτισμάτων τούτων μετάληψις ἐν ὀνόματι τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ σοι ἡ δόξα καὶ τὸ κράτος ἐν ἁγίῳ Πνεύματι εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Εὐχὴ εἰς ἔλαιον νοσούντων ἢ εἰς ἄρτον ἢ εἰς ὕδωρ» (17)**

Ἐπικαλούμεθά σε τὸν ἔχοντα πᾶσαν ἐξουσίαν καὶ δύναμιν, τὸν σωτῆρα πάντων ἀνθρώπων, Πατέρα τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, καὶ δεόμεθα ὥστε ἐκπέμψαι δύναμιν ἰατικὴν ἀπὸ τῶν οὐρανῶν τοῦ μονογενοῦς ἐπὶ τὸ ἔλαιον τοῦτο, ἵνα γένηται τοῖς χριομένοις (ἢ μεταλαμβάνουσι τῶν κτισμάτων σου τούτων) εἰς ἀποβολὴν πάσης νόσου καὶ πάσης μαλακίας, εἰς ἀλεξιφάρμακον παντὸς δαιμονίου, εἰς ἐκχωρισμὸν παντὸς πνεύματος ἀκαθάρτου, εἰς ἀφορισμὸν παντὸς πνεύματος πονηροῦ, εἰς ἐκδιωγμὸν παντὸς πυρετοῦ καὶ ῥίγους καὶ πάσης ἀσθενείας, εἰς χάριν ἀγαθὴν καὶ ἄφεσιν ἁμαρτημάτων, εἰς φάρμακον ζωῆς καὶ σωτηρίας, εἰς ὑγείαν καὶ ὁλοκληρίαν ψυχῆς, σώματος, πνεύματος, εἰς ῥῶσιν τελείαν. Φοβηθήτω, δέσποτα, πᾶσα ἐνέργεια σατανική, πᾶν δαιμόνιον, πᾶσα ἐπιβουλὴ τοῦ ἀντικειμένου, πᾶσα πληγή, πᾶσα μάστιξ, πᾶσα ἀλγηδών, πᾶς πόνος ἢ ῥάπισμα ἢ ἐντίναγμα ἢ σκίασμα πονηρὸν τὸ ὄνομά σου τὸ ἅγιον, ὃ ἐπεκαλεσάμεθα νῦν ἡμεῖς

καὶ τὸ ὄνομα τοῦ μονογενοῦς, καὶ ἀπερχέσθωσαν ἀπὸ τῶν ἐντὸς (καὶ) τῶν ἐκτὸς τῶν δούλων σου τούτων· ἵνα δοξασθῇ τὸ ὄνομα τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος καὶ ἀναστάντος, τοῦ τὰς νόσους ἡμῶν καὶ τὰς ἀσθενείας ἀναλαβόντος Ἰησοῦ Χριστοῦ καὶ ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς· ὅτι δι᾽ αὐτοῦ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

### 2. Ἀποστολικαὶ Διαταγαὶ Η΄, 29

**«Εὐχαριστία ἐπὶ ὕδατος καὶ ἐλαίου»**

Κύριε Σαβαώθ, ὁ Θεὸς τῶν δυνάμεων, κτίστα τῶν ὑδάτων καὶ χορηγὲ τοῦ ἐλαίου, οἰκτίρμον καὶ φιλάνθρωπε, ὁ δοὺς τὸ ὕδωρ πρὸς πόσιν καὶ κάθαρσιν καὶ τὸ ἔλαιον τοῦ ἱλαρῦναι πρόσωπον εἰς ἀγαλλίαμα εὐφροσύνης· αὐτὸς καὶ νῦν διὰ Χριστοῦ ἁγίασον τὸ ὕδωρ τοῦτο καὶ τὸ ἔλαιον ἐπ᾽ ὀνόματι τοῦ προσκομίσαντος ἢ τῆς προσκομισάσης, καὶ δὸς δύναμιν ὑγείας ἐμποιητικήν, νόσων ἀπελατικήν, δαιμόνων φυγαδευτικήν, πάσης ἐπιβουλῆς διωκτικὴν διὰ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, μεθ᾽ οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

### 3. Ἀκολουθία τοῦ εἰδικοῦ ἑσπερινοῦ καὶ ὄρθρου τοῦ εὐχελαίου

**α΄ Εἰς τὸν ἑσπερινὸν**

**Εἰς τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ἁγίου ἐλαίου γ΄**

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν**

Ἔδωκας τὴν χάριν σου...
Βλέψον ἀκατάληπτε...
Χρίσει τοῦ ἐλαίου σου...

**Καὶ τοῦ Μηναίου γ΄**

Δόξα...Καὶ νῦν...

**Θεοτοκίον ἢ σταυροθεοτοκίον**
**Εἰς τὸν στίχον ψάλλομεν στιχηρὰ προσόμοια**
**Ἦχος δ'. Ἤθελον δάκρυσιν ἐξαλεῖψαι**

Ἀνάστησον, Κύριε, τῷ ἐν πλήθει* ἀρρωστίας νόσῳ κατακειμένῳ δεινῶς,* ὅτι ἐξέλιπεν ἡ ἰσχύς μου* καὶ οὐκέτι φέρω τὰς ἀλγηδόνας μου·* ἀλλ' ὥς ποτε ἀνωρθώσω* ἀπὸ τῆς κλίνης λελυμένους,* Κύριε,* ἀνάστησον κἀμὲ τῆς ἀσθενείας μου.

**Στίχ.** Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Δέξαι τὸν δοῦλόν σου προσδραμόντα* τῷ λιμένι πίστει τῶν οἰκτιρμῶν σου, Σωτήρ·* ὅτι κατάκειμαι ἐν τῇ κλίνῃ* καὶ δεινῶς χειμάζομαι τῇ ἀσθενείᾳ μου·* ἀλλ' ὡς Θεὸς ἐλεήμων* καὶ ἀσθενούντων ἡ ῥῶσις,* ἴασαι* κἀμὲ τὸν ἀχρεῖον δοῦλόν σου.

**Στίχ.** Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι.

Ἐλέησον, εὔσπλαγχνε παντοκράτορ,* τὸν ἐν κλίνῃ νόσῳ κατακειμένῳ δεινῶς·* σὺν τούτῳ σε κράζοντα δυσωποῦμεν,* προκατάλαβε ὡς ἀληθὴς ἰατρός·* ἔργον τῶν χειρῶν σου, οἰκτίρμον* Χριστέ, καὶ οὗτος ὑπάρχει.* Κύριε,* ὁ ἀπεγνωσμένους σῴζων καὶ τοῦτον ἀνάστησον.

Δόξα...Καὶ νῦν...

**Θεοτοκίον ὅμοιον**

Ἄχραντε δέσποινα Θεοτόκε,* ἡ τεκοῦσα Λόγον πρὸ ἑωσφόρου Πατρός,* σπεῦσον ἱκέτευσον, Παναγία,* σπλαγχνισθῆναι Κύριον εἰς τὴν ἀσθένειάν μου·* ὅτι πρὸς σὲ ἀνεθέμην,* ἁγνή, ἀεὶ τὰς ἐλπίδας·* δέσποινα,* πρέσβευε σωθῆναί με τὸν δοῦλόν σου.

**Ἀπολυτίκιον. Ἦχος δ'**

Ταχὺς εἰς ἀντίληψιν...

**Εἰς τὸ «Θεὸς Κύριος» τὸ τροπάριον. Ἦχος δ'**

Ταχὺς εἰς ἀντίληψιν...

**Μετὰ τὴν α' στιχολογίαν κάθισμα**
**Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον**

Ἰατρὲ τῶν νοσούντων νόσοις δεινοῖς,* ἱκετεύω σε, μόνε δημιουργέ·* ἐπίσκεψαι, δέσποτα,* ἀσθενοῦντα τὸν δοῦλόν σου* καὶ ὡς τὴν πόρνην ἔσωσας* δακρύσασαν, Κύριε,* καὶ τοῦ τελώνου ἀφεῖλω* τὰ πταίσματα, εὔσπλαγχνε,* οὕτως με, Σωτήρ μου,* ἐν τῇ σῇ ἐπισκέψει* ἀνάστησον κείμενον* ἐπὶ κλίνης, φιλάνθρωπε,* ἐκ πολλῆς ἀσθενείας μου·* ἄφεσιν σφαλμάτων,* ὡς Θεός μοι παράσχου,* πρεσβείαις τῆς τεκούσης σε* καὶ πάντων τῶν ἁγίων σου.

**Μετὰ τὴν β' στιχολογίαν κάθισμα**
**Ἦχος πλ. δ'. Αὐλῶν ποιμενικῶν**

Ἐλέησον, Σωτήρ,* ἐν ἐλαίῳ σου θείῳ,* ἐπίσκεψαι καὶ νῦν* ἀκοιμήτῳ σου βλέψει·* ἔπιδε οὐρανόθεν* καὶ ἁγίασον πάντας ἐλέῳ σου,* λύτρωσαι νοσημάτων,* ἐπηρείας δαιμόνων καὶ πάσης θλίψεως,* ὅπως ῥυσθέντες πάντες ἐκ φθορᾶς* ὑμνοῦμεν ἀσιγήτως σε.

**Ὁ ν' ψαλμὸς καὶ ὁ κανὼν**

Ἐλαίῳ τῆς εὐσπλαγχνίας, δέσποτα...

**Μετὰ τὴν γ' ᾠδὴν καθίσματα**
**Ἦχος πλ. δ'. Αὐλῶν ποιμενικῶν**

Ὡς θεῖος ποταμὸς τοῦ ἐλέους ὑπάρχων...

Δόξα...**τὸ τοῦ Μηναίου**
Καὶ νῦν...

**Ἦχος δ'. Ὁ ὑψωθεὶς**

Ὁ ἰατρὸς καὶ βοηθὸς τῶν ἐν πόνοις...

**Μετὰ τὴν ς΄ ᾠδὴν κοντάκιον**
**Ἦχος β΄. Τὰ ἄνω ζητῶν**

Ἐλέους πηγὴ ὑπάρχων, ὑπεράγαθε...

**Ὁ οἶκος. Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον**

Ἧκεν ἡμῖν ἐκ πλήθους πταισμάτων* ἀπροσδόκητος θλῖψις συμφορῶν χαλεπῶν,* εἰς ᾄδου πύλας ἐκπέμπουσα·* καὶ ἀποροῦντες πάσης ἐλπίδος,* δι' ἐλαίου θείου καὶ ἱερέων τῆς προσευχῆς* ἐπὶ σὲ καταφεύγομεν, δέσποτα,* προθύμως ἐκλιπαροῦντες,* μὴ στερήσῃς ἡμᾶς τοῦ ἐλέους σου.* Διὸ θαρροῦντες βοῶμέν σοι·* Τῆς παρούσης ἀνάγκης ῥῦσαι ἡμᾶς,* παρέχων τὴν θείαν χάριν ἄνωθεν.

**Καὶ τὸ συναξάριον τοῦ Μηναίου**
**Ἐξαποστειλάριον**
**Ἦχος γ΄. Ἐπεσκέψατο ἡμᾶς**

Ἐν ἐλέῳ, ἀγαθέ...

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια**
**Ἦχος δ΄. Ἔδωκας σημείωσιν**

Ἔδωκας τὴν χάριν σου...

Βλέψον, ἀκατάληπτε...

Χρίσει τοῦ ἐλαίου σου...

Πρόσδεξαι, φιλάνθρωπε,* τῶν οἰκετῶν σου τὴν δέησιν* ἐν ἐλαίῳ ἁγίῳ σου·* ὡς μόνος γὰρ εὔσπλαγχνος* ἐπὶ τῆς γῆς ὤφθης,* λύων ἁμαρτίας* καὶ τοῖς ἁγίοις μαθηταῖς* καὶ ἀποστόλοις σου ἐντειλάμενος·* Ὅσα οὖν ἐὰν λύσητε* ἐπὶ τῆς γῆς ἀνομήματα* τῶν ἀνθρώπων ὑπάρχουσι* λελυμένα, ὡς γέγραπται.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον**

Σὲ τὸ καθαρώτατον...

Σοὶ δόξα πρέπει...

**Τὰ πληρωτικὰ κλπ.**

**Εἰς τὸν στίχον τὰ ἐν τοῖς ἀποστίχοις τοῦ ἑσπερινοῦ μετὰ τοῦ θεοτοκίου**

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι...

**Τρισάγιον κλπ.**
**Τὸ ἀπολυτίκιον** Ταχὺς εἰς ἀντίληψιν...
**Ἐκτενὴς καὶ ἀπόλυσις.**

## 4. Τάξις τοῦ εὐχελαίου ἐν τῇ θείᾳ λειτουργίᾳ

Εὐλογημένη ἡ βασιλεία...

**Τὰ εἰρηνικὰ τοῦ εὐχελαίου**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν...

**Ἡ εὐχὴ τοῦ α´ ἀντιφώνου**

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος...
**(ἐκφώνως)** Ὅτι πρέπει σοι...

**Ἡ εὐχὴ τοῦ ἁγίου ἐλαίου**

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ὁ ἐν τῷ ἐλέει...

**Τὰ ἀντίφωνα καὶ ἡ εἴσοδος**
**Τὸ ἀπολυτίκιον τοῦ εὐχελαίου**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε**

Ταχὺς εἰς ἀντίληψιν...

**⟨Τὰ λοιπὰ ἀπολυτίκια καὶ κοντάκια⟩**

Δόξα...Καὶ νῦν...

**Κοντάκιον. Ἦχος β´**

Πρεσβεία θερμή...

**Ἡ εὐχὴ τοῦ τρισαγίου**

Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ Θεὸς ὁ ἅγιος...
**(ἐκφώνως)** Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...

**Τὸ τρισάγιον**

Ἅγιος ὁ Θεός...**(γ΄)**

**Ἢ τὸ**

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε...**(γ΄).**

**Τὸ α΄ προκείμενον**
**Τὸ α΄ ἀποστολικὸν ἀνάγνωσμα**
**Τὸ α΄ ἀλληλουάριον**
**Τὸ α΄ Εὐαγγέλιον**
**Ἡ ἐκτενὴς**

Ἐλέησον ἡμᾶς, ὁ Θεός...

**Ἡ εὐχὴ τῆς ἐκτενοῦς**

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην...
**(ἐκφώνως)** Ὅτι ἐλεήμων...

**Ἡ α΄ εὐχὴ**

Τοῦ Κυρίου δεηθῶμεν.
Ἄναρχε ἀδιάδοχε...
**(ἐκφώνως)** Σὸν γάρ ἐστι τὸ ἐλεεῖν...

**⟨Τὸ β΄, γ΄, δ΄, ε΄, ς΄ καὶ ζ΄ προκείμενον, Ἀπόστολος, ἀλληλουάριον, Εὐαγγέλιον, ἐκτενὴς καὶ εὐχή⟩**

**Αἱ εὐχαὶ τῶν πιστῶν καὶ τὰ λοιπὰ τῆς θείας λειτουργίας**

**Μετὰ τὸ** Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον...
**Ἡ χρῖσις μετὰ τῆς εὐχῆς** Πάτερ ἅγιε...
**Ἡ συγχώρησις**

Τοῦ Κυρίου δεηθῶμεν

Βασιλεῦ ἅγιε, εὔσπλαγχνε...

**Καὶ ἀπόλυσις**

**5. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου κατ' ἐπιτομὴν (Ἁγιασματάριον, τ. Α', ἐν Ῥώμῃ 1954, σελ. 155-166)**

Εὐλογητὸς ὁ Θεός...

**Τρισάγιον (γ')**

Δόξα...Καὶ νῦν...
Παναγία Τριάς...
Κύριε, ἐλέησον (γ').
Δόξα...Καὶ νῦν...
Πάτερ ἡμῶν...
Ὅτι σοῦ ἐστιν...

**Τροπάριον. Ἦχος δ'. Ταχὺ προκατάλαβε**

Ταχὺς εἰς ἀντίληψιν...

⟨**Ἢ ἀντὶ τοῦ τροπαρίου**

Κύριε, ἐλέησον (**ιβ'**)
Δόξα...Καὶ νῦν...
Δεῦτε προσκυνήσωμεν...(γ')

**Ψαλμὸς ρμβ'**

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου...⟩

**Ἡ μεγάλη συναπτὴ**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν...

**Ἡ εὐχὴ τοῦ ἐλαίου**

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ὁ ἐν τῷ ἐλέει...

**Προκείμενον. Ἦχος α΄. Ψαλμὸς λβ΄**

Γένοιτο, Κύριε, τὸ ἔλεός σου...
**Στίχ.** Ἀγαλλιᾶσθε, δίκαιοι...

**Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα**

Ἀδελφοί, ὑπόδειγμα λάβετε...

**Ἀλληλούϊα. Ἦχος α΄. Ψαλμὸς ρ΄**

**Στίχ.** Ἔλεος καὶ κρίσιν...
**Στίχ.** Ἐπορευόμην ἐν ἀκακίᾳ...

**Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα**

Τῷ καιρῷ ἐκείνῳ νομικός τις προσῆλθε...

**Ἡ ἐκτενὴς**

Ἐλέησον ἡμᾶς, ὁ Θεός...
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος...

**Ἡ εὐχὴ**

Τοῦ Κυρίου δεηθῶμεν.
Ἄναρχε, ἀδιάδοχε...εἰς βασιλείας οὐρανῶν κληρονομίαν.
**(ἐκφώνως)** Σὸν γάρ ἐστι τὸ ἐλεεῖν...

**Ἡ χρῖσις**

Πάτερ ἅγιε...

**Ἡ συγχώρησις**

Τοῦ Κυρίου δεηθῶμεν.
Βασιλεῦ ἅγιε, εὔσπλαγχνε...

**Ἡ ἀπόλυσις**

Δόξα...Καὶ νῦν...
Κύριε, ἐλέησον (γ΄).
Εὐλόγησον
Χριστὸς ὁ ἀληθινός...

**Ἐν μεγίστῃ ἀνάγκῃ, ἤγουν ἐν κινδύνῳ θανάτου, ὁ ἱερεὺς οὐ λέγει τὴν ἀκολουθίαν ταύτην ἅπασαν, ἀλλὰ μόνον τὴν εὐχὴν τῆς εὐλογήσεως τοῦ ἐλαίου·**

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ὁ ἐν τῷ ἐλέει...

**Καὶ χρίει τὸν νοσοῦντα, λέγων τὴν εὐχήν·**

Πάτερ ἅγιε, ἰατρὲ...

# „ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ"
# ΤΟΥ
# ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ

# ΕΙΣΑΓΩΓΗ

Ἡ τιμὴ τοῦ ἁγίου Δημητρίου τοῦ μυροβλύτου, τοῦ πολιούχου τῆς Θεσσαλονίκης, παρουσιάζει ὅλως ἰδιαίτερον λειτουργικὸν ἐνδιαφέρον. Οὐδενός, ἴσως, ἁγίου ὁ ἑορτασμὸς τῆς μνήμης προσέλαβέ ποτε τοιαύτην ἔκτασιν καὶ λαμπρότητα.

Τὴν 26ην Ὀκτωβρίου, ἡμέραν τῆς μνήμης του, περιέχεται εἰς τὸ Μηναῖον πλήρης ἀκολουθία, συνεχιζομένη καὶ κατὰ τὴν ἑπομένην διὰ τῆς παρεμβολῆς μεθεόρτων τροπαρίων εἰς τὴν ἀκολουθίαν τοῦ κατὰ τὴν ἡμέραν ἐκείνην ἑορταζομένου μάρτυρος Νέστορος. Εἰς τὰ χειρόγραφα μάλιστα ἡ ἀκολουθία τῆς 27ης Ὀκτωβρίου ἐπιγράφεται «τὰ μεθέορτα τοῦ ἁγίου Δημητρίου». Πέραν ὅμως τούτου σήμερον δὲν τελεῖται ἰδιαιτέρα τις ἀκολουθία οὔτε καὶ εἰς τὴν ἐν Θεσσαλονίκῃ μεγάλην βασιλικὴν τοῦ μαρτυρίου καὶ τοῦ τάφου του. Ἀντιθέτως ἀπὸ τὰ χειρόγραφα καὶ ἀπὸ ἄλλας ἀρχαίας μαρτυρίας διαπιστοῦται ὅτι ἡ εἰς τὰ ἔντυπα ἐνσωματωθεῖσα ἀκολουθία ἀπετέλει μικρὸν μόνον μέρος τῆς περὶ τὸν ἅγιον Δημήτριον πλουσιωτάτης ὑμνογραφικῆς παραγωγῆς. Αὕτη ἀνταπεκρίνετο πρὸς τὰς ἰδιαιτέρως ἀνεπτυγμένας λειτουργικὰς ἐκδηλώσεις τὰς περιβαλλούσας τὸν ἑορτασμὸν τῆς μνήμης του ἐν Θεσσαλονίκῃ (Περὶ αὐτοῦ βλέπε *Ἀ. Παπαδοπούλου*, Αἱ ἑορταὶ τοῦ ἁγίου Δημητρίου Θεσσαλονίκης, Θεσσαλονίκη 1963 καὶ *τοῦ ἰδίου*, Ὁ ἅγιος Δημήτριος εἰς τὴν ἑλληνικὴν καὶ βουλγαρικὴν παράδοσιν, Θεσσαλονίκη 1971). Εἰς τὰ Μηναῖα διεσώθη μόνον ὅ,τι ἀφεώρα εἰς τὸν οἰκουμενικὸν ἑορτασμὸν τοῦ μεγαλομάρτυρος. Εἰς τὸν ἐν Θεσσαλονίκῃ ναόν του, ὡς καὶ εἰς τὴν Μεγάλην Ἐκκλησίαν τῆς Θεσσαλονίκης, τὴν Ἁγίαν Σοφίαν, ἴσως καὶ εἰς ἄλλους ναοὺς τῆς πόλεως αὐτῆς, ἐψάλλοντο ἰδιαίτεραι προεόρτιοι ἀκολουθίαι ἐπὶ ἑπτὰ ὁλοκλήρους ἡμέρας. Τὰς τῆς Ἁγίας Σοφίας διασῴζει ὁ κῶδιξ Ἐθνικῆς Βιβλιοθήκης Ἀθηνῶν

2047 (ἄλλοτε Ἑλληνικοῦ Γυμνασίου Θεσσαλονίκης 46α) καὶ τοῦ ναοῦ τοῦ ἁγίου Δημητρίου ὁ κῶδιξ Μετοχίου Παν. Τάφου Κωνσταντινουπόλεως 181, ἀμφότεροι τοῦ ΙΕ΄ αἰῶνος. Εἰς τὸν πρῶτον παρέχονται ἐξ ἄλλου πολλαὶ πληροφορίαι ἀφορῶσαι εἰς τὴν τάξιν τῶν ἀκολουθιῶν καὶ εἰς τὸν ναὸν τοῦ ἁγίου. Καὶ οἱ δύο κώδικες προέρχονται ἐκ Θεσσαλονίκης· ὁ πρῶτος περιέχει τὸ ὑπὸ τοῦ Συμεὼν Θεσσαλονίκης συνταχθὲν Τυπικὸν τῆς Ἁγίας Σοφίας καὶ ὁ δεύτερος, δυστυχῶς ἀκέφαλος καὶ κολοβός, τὰς ἀκολουθίας εἰς τὸν ναὸν τοῦ ἁγίου. Καὶ οἱ δύο εἶχον τεθῆ εἰς λειτουργικὴν χρῆσιν, ὡς συνάγεται ἀπὸ τὰς φθορὰς καὶ τοὺς κηρούς. Ἱκανὸς ὅμως ἀριθμὸς ἄλλων χειρογράφων συμπληρώνει τὰς πρὸς τιμὴν τοῦ ἁγίου ἀκολουθίας. Περὶ τῶν χειρογράφων αὐτῶν γίνεται λόγος κατωτέρω.

Τὸ χαρακτηριστικώτερον ἰδιάζον γνώρισμα τῶν ἀκολουθιῶν αὐτῶν εἶναι ἡ προσπάθεια ἐξομοιώσεως τοῦ ἑορτασμοῦ τῆς μνήμης τοῦ ἁγίου Δημητρίου πρὸς τὸ Πάσχα. Ἡ ἰδέα ὅτι οἱ μάρτυρες διὰ τοῦ μαρτυρικοῦ των θανάτου ἐγίνοντο μιμηταὶ καὶ μέτοχοι τοῦ πάθους τοῦ Χριστοῦ εἶναι πολὺ παλαιά. Ἰδιαιτέρως διὰ τὸν ἅγιον Δημήτριον ἡ λόγχευσις τῆς πλευρᾶς ὑπενθύμιζε τὸν λογχισμὸν τοῦ Κυρίου (Ἰω. ιθ΄ 33-34). Εἰς τὸν παραλληλισμὸν τοῦτον ἐπιμένουν πολλὰ τροπάρια τῆς ἐν χρήσει ἀκολουθίας (βλ. «Πάθει τὸ πάθος μιμούμενος τὸ ζωηφόρον Χριστοῦ...» στιχηρὸν ἑσπερινοῦ ε΄, «ὁ λογχευθέντων τῶν μελῶν τὸ μακάριον πάθος πνευματικῶς ἡμῖν ἀναζωγραφήσας τοῦ Χριστοῦ...» δοξαστικὸν ἑσπερινοῦ, «λογχευθεὶς δὲ τὴν πλευρὰν τὴν ἀκήρατόν σου, πανσεβάσμιε, μιμούμενος τὸν ἐπὶ ξύλου τανυσθέντα...» λιτῆς τροπ. γ΄ κλπ. Σύγκρισιν τοῦ ἁγίου πρὸς τὸν Χριστὸν βλ. εἰς *Νικολάου Καβάσιλα*, Προσφώνημα εἰς τὸν ἔνδοξον τοῦ Χριστοῦ μεγαλομάρτυρα Δημήτριον τὸν μυροβλύτην, ἔκδ. *Ἰ. Θεοφίλου*, Μνημεῖα Ἁγιολογικά, Βενετία 1884, σελ. 67-114). Πέραν ὅμως τούτου ἡ ὁμοίωσις ἐξετείνετο καὶ πρὸς τὴν ἀφθαρσίαν τοῦ σώματος τοῦ Κυρίου καὶ τήν, κατὰ τὴν παράδοσιν, διατήρησιν ἀφθάρτου τοῦ σώματος τοῦ ἁγίου Δη-

μητρίου εἰς τὸν τάφον του, ὡς καὶ εἰς τὴν ροὴν τοῦ μύρου ἐκ τῆς λογχονύκτου πλευρᾶς του κατὰ τὸ πρότυπον τοῦ αἵματος καὶ τοῦ ὕδατος τοῦ ἐξελθόντος ἐκ τῆς πλευρᾶς τοῦ Κυρίου (Ἰω. ιθ΄ 34 Βλ. καὶ κανόνα τοῦ Πατριάρχου Φιλοθέου τοῦ Κοκκίνου εἰς τὸ Μηναῖον ᾠδὴ ς΄ τροπ. α΄, ᾠδὴ η΄ τροπ. β΄ καὶ πολλάκις εἰς τοὺς κανόνας καὶ τὰ τροπάρια τοῦ Συμεὼν Θεσσαλονίκης). Ἐν πάσῃ ὅμως περιπτώσει αἱ ἀκολουθίαι τοῦ ἁγίου συνετέθησαν καὶ διεξήγοντο κατὰ τοιοῦτον τρόπον, ὥστε δι᾽ αὐτῶν νὰ προβάλλεται ὁ ἑορτασμὸς τῆς μνήμης του κατὰ μὲν τὴν 26ην Ὀκτωβρίου «κατὰ τὸν τύπον τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσεως» (κῶδ. Ἀθηνῶν 2047, φ. 147 νβ) κατὰ δὲ τὰς προεορτίους ἡμέρας κατὰ τὸν τύπον τῆς πρὸ τοῦ Πάσχα Μεγάλης Ἑβδομάδος (πρβλ. καὶ *Ἰ. Φουντούλη*, Λογικὴ Λατρεία, Θεσσαλονίκη 1971, σελ. 270-278).

Ποῖος ἦτο ὁ εἰσηγητὴς τῆς διαρρυθμίσεως τῶν ἀκολουθιῶν τοῦ ἁγίου κατὰ τὸν τύπον τῆς Μεγάλης Ἑβδομάδος καὶ τοῦ Πάσχα δὲν εἶναι δυνατὸν νὰ ἐξακριβωθῇ. Πάντως κατὰ τὴν ἐποχὴν τοῦ Συμεὼν Θεσσαλονίκης († 1429) ὑπῆρχον κανόνες προσόμοιοι τοῦ κανόνος τοῦ Μεγάλου Σαββάτου («Κύματι θαλάσσης...») καὶ τοῦ Πάσχα («Ἀναστάσεως ἡμέρα...»), ἐκ τῶν ὁποίων ὁ δεύτερος εἶναι ποίημα τοῦ χαρτοφύλακος Θεσσαλονίκης Ἰωάννου τοῦ Σταυρακίου (ΙΓ΄ αἰών). Ἀποφασιστικὴ ὅμως ὑπῆρξεν ἡ συμβολὴ τοῦ Συμεών. Οὗτος συνέθεσε σειρὰν κανόνων προσομοίων τῶν ἀντιστοίχων κανόνων, τῶν τριῳδίων καὶ τοῦ διῳδίου τῆς Μεγάλης Ἑβδομάδος, ὡς καὶ τῆς Κυριακῆς τῶν Βαΐων, τηρῶν καὶ τὰς ἀκροστιχίδας αὐτῶν καὶ πολλὰς τῶν λέξεων καὶ τῶν φράσεων τῶν τροπαρίων, ὡς ἀκριβῶς πράττει καὶ ὁ Σταυράκιος διὰ τὸν κανόνα τοῦ Πάσχα. Εἰς τὴν μίμησιν προὐχώρησεν ἔτι περαιτέρω ὁ Συμεών, συνθέσας καὶ καθίσματα, κοντάκια, ἐξαποστειλάρια καὶ στιχηρὰ κατὰ τὸ πρότυπον πάλιν τῶν ἀντιστοίχων τροπαρίων τῆς Μεγάλης Ἑβδομάδος ἀπὸ τῶν Βαΐων μέχρι τοῦ Πάσχα. Ταῦτα ἀπαντοῦν εἰς τὸν κώδικα Ἀθηνῶν 2047 τῆς Ἁγίας Σοφίας, εἰς τὸν Παν. Τάφου 181 τοῦ ναοῦ τοῦ

ἁγίου Δημητρίου καὶ εἰς ἄλλα ἱκανὰ χειρόγραφα. Οὕτως ὁ Συμεών, ἂν δὲν εἶναι ὁ εἰσηγητής, εἶναι ὁ κύριος ἐνσαρκωτὴς τῆς ἰδέας τῆς ἐξομοιώσεως τῶν προεορτίων ἀκολουθιῶν καὶ τῆς μνήμης τοῦ ἁγίου Δημητρίου πρὸς τὴν Μεγάλην Ἑβδομάδα καὶ τὸ Πάσχα.

Τὴν μίμησιν ὅμως ὁ Συμεὼν ἐπεξέτεινε καὶ πρὸς τὴν ἑορτὴν τῶν Χριστουγέννων, συνθέσας τροπάρια κατὰ τὸ πρότυπον τῶν προεορτίων κατ' ἀλφάβητον στιχηρῶν τῶν Χριστουγέννων Ρωμανοῦ τοῦ μελῳδοῦ «Αἱ ἀγγελικαὶ προπορεύεσθε δυνάμεις ...». Πρὸς τὴν ἑορτὴν τῶν Χριστουγέννων ὡμοίαζεν ἤδη ἡ ἑορτὴ τοῦ ἁγίου Δημητρίου διὰ τῶν προεορτίων κανόνων τῶν προσομοίων τῶν κανόνων τῆς Μεγάλης Ἑβδομάδος. Ποιητὴς ἐκείνων εἶναι ὁ Συμεὼν ὁ μεταφραστής, «συνώνυμος», «συμπατριώτης» καὶ προστάτης ἅγιος τοῦ Συμεὼν Θεσσαλονίκης. Τοῦτον οὗτος ἰδιαιτέρως ἐτίμα καὶ συνέθεσεν ἰδίαν ἀκολουθίαν δι' αὐτὸν (βλ. *Ἰ. Φουντούλη*, Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Τὰ λειτουργικὰ συγγράμματα, τ. Α', Θεσσαλονίκη 1968, σελ. 105-106, 134-135, 141, 231-235 καὶ 266, πρβλ. καὶ κανόνα ᾠδὴ θ', τροπ. δ', ἔνθ' ἀνωτ., σελ. 235). Ἴσως ἀπὸ τὸ παράδειγμα ἐκείνου ἐνεπνεύσθη καὶ τὴν ποίησιν τῶν προεορτίων κανόνων τοῦ ἁγίου Δημητρίου. Ἀκολουθεῖ πάντως τὸ ἴδιον μὲ ἐκεῖνον σύστημα, διατηρῶν τὰς ἀκροστιχίδας καὶ καθ' ὅμοιον τρόπον ἀναπλάθων τοὺς δεσποτικοὺς κανόνας Κοσμᾶ τοῦ Μαϊουμᾶ. Οὕτως ἡ ἑορτὴ τοῦ ἁγίου Δημητρίου ἐλάμβανε καὶ νέα στοιχεῖα ἐμπλουτισμοῦ ἐκ τῆς ἀκολουθίας τῶν Γενεθλίων τοῦ Χριστοῦ, ἴσως ὡς μακρινή τις ἀνάμνησις τῆς παλαιᾶς ορολογίας, τοῦ χαρακτηρισμοῦ δηλαδὴ τῆς ἐπετείου τοῦ θανάτου τοῦ μάρτυρος ὡς «γενεθλίου ἡμέρας» αὐτοῦ.

Εἰς ἄλλα πάλιν τροπάρια εἶναι ἐμφανὴς ἡ μίμησις τῆς ἑορτῆς τῆς Κοιμήσεως τῆς Θεοτόκου. Οὕτως ὁ Ἰωάννης χαρτοφύλαξ ὁ Σταυράκιος, ἐκτὸς τοῦ μνημονευθέντος προσομοίου κανόνος τοῦ Πάσχα, συνέθεσε καὶ ὀκτάηχον δοξαστικόν, προφανῶς ἐμπνεόμενος ἀπὸ τὸ ἀντίστοιχον ὀκτάηχον δοξαστικὸν τοῦ ἑσπερινοῦ τῆς Κοιμήσεως «Θεαρχίῳ

νεύματι...». Ἕτερα πάλιν προσόμοια ἀγνώστου ὑμνογράφου ἀναπλάθουν τὰ τρία στιχηρὰ τοῦ ἑσπερινοῦ τῆς Κοιμήσεως «Ὢ τοῦ παραδόξου θαύματος...», «Βαβαὶ τῶν σῶν μυστηρίων, ἁγνή...» καὶ «Τὴν σὴν δοξάζουσι κοίμησιν...». Καὶ πάλιν ἡ κοίμησις τοῦ ἁγίου ἐξισοῦτο, τρόπον τινά, πρὸς τὴν κοίμησιν τοῦ μετὰ Θεὸν ἱερωτέρου προσώπου τοῦ χριστιανικοῦ ἁγιολογίου, τῆς Θεοτόκου. Πρὸς τὴν Θεοτόκον συγκρίνει τὸν ἅγιον Δημήτριον καὶ ὁ *Νικόλαος Καβάσιλας* (ἔνθ' ἀνωτ.).

Ὁ τρόπος αὐτὸς ἐξάρσεως τῆς ἑορτῆς τοῦ ἁγίου Δημητρίου διὰ τῆς μιμήσεως τῶν ἀκολουθιῶν ἄλλων μεγάλων ἑορτῶν καὶ δὴ τῆς τοῦ Πάσχα, ἦτο, δυνάμεθα νὰ εἴπωμεν, παραδοσιακός. Ἤδη εἶχεν ἐφαρμοσθῆ εἰς μεγάλην ἔκτασιν διὰ τὰς ἑορτὰς τῶν Χριστουγέννων καὶ τῶν Θεοφανείων μὲ τὰς ἀκολουθίας τῶν μεγάλων ὡρῶν καὶ τῶν προεορτίων κανόνων. Ὡς προϊόντα μιμήσεως τὰ ποιητικὰ αὐτὰ ἔργα, τόσον τῶν Χριστουγέννων - Θεοφανείων ὅσον καὶ τοῦ ἁγίου Δημητρίου, δὲν ἔχουν βεβαίως τὴν πηγαίαν πρωτοτυπίαν καὶ τὴν θεολογικὴν καὶ ποιητικὴν δυναμικότητα τῶν πρωτοτύπων. Παρὰ ταῦτα, κατὰ τὴν ποιητικὴν καὶ θεολογικὴν ἱκανότητα τῶν ὑμνογράφων των, δίδουν ἐκεῖνο τὸ ὁποῖον ἐπεδίωκαν νὰ προσφέρουν. Ὑπὸ τὴν προϋπόθεσιν ταύτην πρέπει νὰ θεωρηθοῦν διὰ νὰ εἶναι δικαιοτέρα ἡ ἀξιολόγησίς μας. Ἡ δουλικὴ πολλάκις ἀπομίμησις, ἐκδηλουμένη εἰς τὴν προσπάθειαν διατηρήσεως ὄχι μόνον τῆς ἀκροστιχίδος, ἀλλὰ καὶ πολλῶν λέξεων καὶ φράσεων καὶ αὐτῆς τῆς ἐννοίας τοῦ πρωτοτύπου τροπαρίου εἶναι ἐπίσης ἠθελημένη. Καὶ τοῦτο διότι σκοπὸς τῶν νέων ἀκολουθιῶν εἶναι ἡ δι' ὅσον τὸ δυνατὸν περισσοτέρων στοιχείων ὑπόμνησις τῆς σχέσεως τῆς ἑορτῆς τοῦ ἁγίου Δημητρίου πρὸς τὰς λοιπάς.

Ἰδιαιτέρως ἀπροσάρμοστοι πρὸς τὰς ἡμέρας κατὰ τὰς ὁποίας ἐτελοῦντο αἱ προεόρτιοι ἀκολουθίαι εἶναι αἱ ἀκροστιχίδες τῶν κανόνων. Οὕτως εἰς αὐτὰς διατηροῦνται τὸ «Τῇ Δευτέρᾳ», «Τρίτῃ τε», «Τετράδι...», «μακρᾷ Πέμπτῃ», «Προσάββατόν τε» καὶ «Σάββατον...μέγα», τῶν κανόνων τῆς Μεγάλης Ἑβδομάδος, ἐνῷ τυχαίως μόνον θὰ ἐψάλλοντο κατὰ

τὰς ἡμέρας αὐτάς, ἂν ἡ μνήμη τοῦ ἁγίου συνέπιπτε πρὸς Κυριακήν. Τοῦτο ὅμως δὲν ἐπροβλημάτισε Συμεὼν τὸν Θεσσαλονίκης, ὅπως καὶ Συμεὼν τὸν μεταφραστὴν διὰ τὰ προεόρτια τῶν Χριστουγέννων - Θεοφανείων. Ὅπως ἡ Μεγάλη Ἑβδομὰς τῶν Χριστουγέννων - Θεοφανείων, οὕτω καὶ ἡ τοῦ ἁγίου Δημητρίου, δὲν νοεῖται κατὰ το ὄνομα τῶν ἡμερῶν τῆς ἑβδομάδος, ἀλλὰ κατὰ τὴν σχέσιν των πρὸς τὴν κυρίαν ἡμέραν τῆς ἑορτῆς, ὡς παραμονὴ - «Μέγα Σάββατον» - αὐτῆς ἡ 25η Ὀκτωβρίου, ὡς προπαραμονὴ - «Μεγάλη Παρασκευὴ» - αὐτῆς ἡ 24η κ.ο.κ. Οὕτω τὰ προεόρτια ἤρχιζον ἀπὸ τῆς 20ῆς Ὀκτωβρίου, τῆς «Μεγάλης Δευτέρας». Ἡ ὀγδόη πρὸ τῆς ἑορτῆς ἡμέρα - ἡ «Κυριακὴ τῶν Βαΐων» - μετετίθετο «τῇ πρὸ τῆς τοῦ ἁγίου ἑορτῆς τρίτῃ Κυριακῇ» (κῶδ. Ἀθηνῶν 2047, φ. 134 να), ἤτοι κατὰ τὴν Κυριακὴν ἡ ὁποία ἐνέπιπτε μεταξὺ 13ης καὶ 19ης Ὀκτωβρίου, πρὸς τελειοτέραν προφανῶς μίμησιν τῆς Κυριακῆς τῶν Βαΐων καὶ διὰ νὰ καταλαμβάνουν αἱ πρὸς τιμὴν τοῦ μάρτυρος προεόρτιοι ἡμέραι περισσότερον χρονικὸν διάστημα. Ἡ δευτέρα Κυριακὴ πρὸ τῆς ἑορτῆς τοῦ μάρτυρος ὑπερπηδᾶται, προφανῶς διότι ἦτο δυνατὸν νὰ ἐμπίπτῃ εἰς τὴν «Μεγάλην Ἑβδομάδα» (20-26 Ὀκτωβρίου).

Αἱ προεόρτιοι ἀκολουθίαι αἱ τελούμεναι εἰς τὸν ναὸν τοῦ ἁγίου καὶ εἰς τὴν Ἁγίαν Σοφίαν δὲν συνέπιπτον ἀπολύτως. Τοῦτο καθίσταται φανερὸν ἐκ τῆς ἀντιπαραβολῆς τοῦ Τυπικοῦ τῆς Ἁγίας Σοφίας (κῶδ. Ἀθηνῶν 2047) πρὸς τὸν κώδικα Παν. Τάφου 181 καὶ ἀπὸ τὰς ἐνδείξεις αὐτοῦ τούτου τοῦ μνημονευθέντος Τυπικοῦ. Οὕτως, ἐπὶ παραδείγματι, τὴν πρὸ τῆς μνήμης τοῦ ἁγίου τρίτην Κυριακὴν εἰς μὲν τὴν Ἁγίαν Σοφίαν ἐψάλλετο ὁ προσόμοιος τῆς Κυριακῆς τῶν Βαΐων προεόρτιος κανὼν τοῦ Συμεών, ἐνῷ εἰς τὸν ἅγιον Δημήτριον ἕτερος κανὼν πρὸς τὸ «Δεῦτε λαοὶ» (κῶδ. 2047, φ. 143 να). Τὰ τῆς «Μεγάλης Ἑβδομάδος» εἰς μὲν τὴν Ἁγίαν Σοφίαν ἐψάλλοντο κατὰ τὸν ὄρθρον συνδυαζόμενα πρὸς τὴν ἀκολουθίαν τοῦ καθ' ἡμέραν ἁγίου, ἐνῷ εἰς τὸν ἅγιον Δημήτριον μᾶλλον ἀμιγῶς εἰς τὸν ὄρθρον, ὑπῆρχε δέ, ὡς φαί-

νεται, καὶ ἰδία ἀκολουθία ἑσπερινοῦ δι' ἑκάστην ἡμέραν. Ὑπὸ παρομοίους συνδυασμοὺς εὕρηνται τὰ προεόρτια καὶ εἰς τὰ ἄλλα χειρόγραφα.

Ἡ παροῦσα ἔκδοσις τῶν προεορτίων ἀκολουθιῶν τοῦ ἁγίου Δημητρίου γίνεται, ἀφ' ἑνὸς μὲν ὡς ἀπότισις φόρου εὐλαβείας πρὸς τὸν ἅγιον, τὸν πολιοῦχον τῆς Θεσσαλονίκης καὶ προστάτην τῶν «πολιτῶν» καὶ «ξένων» κατοίκων αὐτῆς, ἀφ' ἑτέρου δὲ ὡς προσπάθεια ἐπαναφορᾶς εἰς τὴν λειτουργικὴν ἐπιφάνειαν στοιχείων ἀμεληθέντων λόγῳ τῶν μετὰ τὸν ΙΕ΄ αἰῶνα τραγικῶν διὰ τὴν τύχην τῆς πόλεως καὶ τὸν ναὸν τοῦ ἁγίου συνθηκῶν. Ἡ ἀπὸ τῆς ἀπελευθερώσεως τῆς πόλεως καὶ ἐντεῦθεν παρατηρουμένη ἀνοδικὴ πορεία. εἰς τὰς ἐκδηλώσεις πρὸς τιμὴν τοῦ ἁγίου μὲ κέντρον τὸν ναόν του, δικαιολογεῖ τὴν ἐλπίδα ὅτι διὰ τῆς ἀναζωογονήσεως τῶν παραδοσιακῶν τούτων στοιχείων ἡ περὶ αὐτὸν λειτουργικὴ τιμὴ δύναται νὰ ἀναλάβῃ τὸ παλαιόν της λαμπρὸν πλαίσιον καὶ περιεχόμενον.

Ἡ ἔνταξις ἐξ ἄλλου τῆς ἀνθολογίας αὐτῆς τῶν πρὸς τιμὴν τοῦ ἁγίου Δημητρίου προεορτίων ἀκολουθιῶν εἰς τὴν σειρὰν τῶν «Κειμένων Λειτουργικῆς» δικαιολογεῖται τὸ μὲν ἐκ τῆς προβολῆς τοῦ ἁγίου Δημητρίου ὡς προστάτου καὶ ἐμβλήματος τοῦ Πανεπιστημίου τῆς πόλεώς μας, τὸ δὲ λόγῳ τοῦ ἰδιαιτέρου διδακτικοῦ ἐνδιαφέροντος τὸ ὁποῖον παρουσιάζουν αὗται.

Κατὰ τὴν ἔκδοσιν ἠκολουθήθη κατὰ βάσιν τὸ παραδοσιακὸν σχῆμα, ὑπὸ τὸ ὁποῖον ἐμφανίζονται εἰς τὰ χειρόγραφα αἱ προεόρτιοι ἀκολουθίαι, ἐν συνδυασμῷ πρὸς τὰ σύγχρονα λειτουργικὰ καὶ ποιμαντικὰ δεδομένα. Οὕτω, διὰ νὰ εἶναι δυνατὴ ἡ ἀναβίωσις τῶν ἀκολουθιῶν αὐτῶν, τελουμένων μάλιστα εἰς ἐργασίμους ἡμέρας τῆς ἑβδομάδος, δὲν θὰ ἔπρεπε νὰ ἐνταχθοῦν εἰς τὰς τακτὰς ἀκολουθίας τοῦ νυχθημέρου τῶν ἡμερῶν αὐτῶν, εἰς τὸν ἑσπερινόν, δηλαδή, τὸ ἀπόδειπνον ἢ τὸν ὄρθρον. Ἄλλως θὰ κατεδικάζοντο εἰς τὴν

ἰδίαν ἀφάνειαν, εἰς τὴν ὁποίαν περιέπεσαν διὰ τὸν αὐτὸν λόγον αἱ προεόρτιοι ἀκολουθίαι τῶν Χριστουγέννων - Θεοφανείων. Ἡ ἐμπλοκὴ ἄλλως τε αὐτῶν ἐντὸς τοῦ πολυπλόκου σχήματος τῶν ἐν χρήσει μοναχικῶν ἀκολουθιῶν καὶ ὁ συνδυασμὸς τῶν προεορτίων τοῦ ἁγίου Δημητρίου πρὸς τὴν ἀκολουθίαν τῶν ἁγίων τῆς ἡμέρας, ὄχι μόνον νέαν περιπλοκὴν θὰ προεκάλει, ἀλλὰ καὶ τὸ μῆκος αὐτῶν θὰ ηὔξανε καὶ τὸν προορισμὸν καὶ τὸ κεντρικὸν αὐτῶν θέμα θὰ μετετόπιζεν. Ἡ μόνη ἐκ τῶν πραγμάτων ἐπιβαλλομένη λύσις θὰ ἦτο νὰ μείνουν αἱ ἀκολουθίαι αὗται ἀμιγεῖς, ὡς ἐτελοῦντο εἰς τὸν ναὸν τοῦ ἁγίου Δημητρίου, ἐκτὸς μόνον ἂν ἴσως συμπέσῃ ἡμέρα τις πρὸς Κυριακήν, διὰ τὸ ὕψος τῆς δεσποτικῆς ἡμέρας. Ἡ τέλεσίς των θὰ ἦτο ὀρθότερον νὰ προδιαγραφῇ εἰς μικρὰς ἀγρυπνίας, τελουμένας κατὰ τὰς μέσας νυκτερινὰς ὥρας, αἱ ὁποῖαι νὰ περιλαμβάνουν ἑσπερινόν, ὄρθρον καὶ τὴν θείαν λειτουργίαν. Ἀναλόγως πρὸς τὰ διαθέσιμα ἑκάστοτε χρονικὰ περιθώρια, ἡ ἀγρυπνία θὰ ἠδύνατο νὰ ἐκταθῇ, κατὰ τὸν τύπον τῶν μοναχικῶν ὁλονυκτιῶν, προστιθεμένων εἰς τὸν ἑσπερινὸν τῶν ἀνοιξανταρίων ἢ τοῦ «Μακάριος ἀνήρ», παλαιοδιαθηκικῶν ἀναγνωσμάτων, λιτῆς καὶ ἀρτοκλασίας, καὶ εἰς τὸν ὄρθρον καθισμάτων ψαλτηρίου, πολυελέου καὶ ἐκλογῆς, ἢ νὰ συσταλῇ κατὰ τὸν τύπον τῶν ἐνοριακῶν ἀκολουθιῶν, ἀντικαθισταμένου ἀκόμη καὶ τοῦ ἐξαψάλμου διὰ τῆς συνήθους καὶ εἰς ἄλλας ἀκολουθίας ἐπιτομῆς αὐτοῦ, τοῦ ρμβ' («Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου...») ἢ τοῦ ϟ' ψαλμοῦ («Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου...»). Πάντοτε ἀποβλέποντες εἰς τὴν λειτουργικὴν πρᾶξιν μόνον τοῦ ναοῦ τοῦ ἁγίου Δημητρίου, θὰ ἠδύνατο νὰ προγραμματισθοῦν αἱ συνάξεις αὗται ὑπὸ τῶν διαφόρων ἐνοριῶν τῆς πόλεως, συναγομένων εἰς τὸν ναὸν μετὰ τοῦ κλήρου καὶ τοῦ λαοῦ αὐτῶν ἐκ περιτροπῆς, πρὸς κάλυψιν τοῦ κύκλου τῶν ὀκτὼ τούτων ἡμερῶν.

Ὑπὸ τὰς προϋποθέσεις ταύτας ἐκκινοῦσα ἡ νέα μορφὴ τῆς ἀκολουθίας θὰ ἔπρεπε νὰ περιλαμβάνῃ πλήρη τὰ λει-

τουργικὰ στοιχεῖα, τὰ ὁποῖα ἀπαρτίζουν ἑκάστην ἐπὶ μέρους ἀκολουθίαν, ἤτοι ἓξ στιχηρά, τρία ἀπόστιχα καὶ δύο δοξαστικὰ διὰ τὸν ἑσπερινόν, κανόνα καὶ τέσσαρα στιχηρὰ μετὰ δοξαστικοῦ διὰ τοὺς αἴνους, ὡς καὶ τὰ ἀναλογοῦντα καθίσματα, κοντάκια, ἐξαποστειλάρια καὶ θεοτοκία δι' ἑκάστην ἡμέραν. Οὕτως ὅμως ἀπητοῦντο συνολικῶς 104 στιχηρὰ καὶ ἀπόστιχα, 24 δοξαστικά, 8 κανόνες, ἰσάριθμα κοντάκια καὶ ἐξαποστειλάρια καὶ ἱκανὰ καθίσματα καὶ θεοτοκία. Τὰ θεοτοκία ἐλήφθησαν ἐκ τῶν ἐντύπων λειτουργικῶν βιβλίων, Παρακλητικῆς, Μηναίων καὶ Ὡρολογίου. Ἐκ τῶν λοιπῶν μικρὸν μόνον μέρος προσφέρουν αἱ προεόρτιοι ἀκολουθίαι τῶν μνημονευθέντων δύο χειρογράφων. Τὰ ὑπόλοιπα συνελέγησαν ἐκ διαφόρων χειρογράφων περιεχόντων ἀκολουθίας τοῦ ἁγίου Δημητρίου. Κατεβλήθη δὲ προσπάθεια οὕτως ὥστε, ἀφ' ἑνὸς μὲν νὰ μὴ χρησιμοποιηθοῦν τὰ τροπάρια τοῦ ἐντύπου Μηναίου εἰς τὰς νέας ἀκολουθίας καὶ ἀφ' ἑτέρου νὰ μὴ ἐπαναληφθοῦν τὰ αὐτὰ τροπάρια. Τελικῶς μόνον εἰς τέσσαρας ἐξαιρέσεις παρέστη ἀνάγκη νὰ ληφθοῦν τροπάρια ἐκ τοῦ Μηναίου, δι' ἔλλειψιν ἄλλων.

Διὰ τὴν σταχυολόγησιν ὕμνων πρὸς τιμὴν τοῦ ἁγίου Δημητρίου ἐχρησιμοποιήθησαν τὰ κατωτέρω χειρόγραφα:

1. Ἐθνικῆς Βιβλιοθήκης Ἀθηνῶν 2047, ΙΕ' αἰῶνος.
2. Μετοχίου Π. Τάφου Κων/λεως 181, ΙΕ' αἰῶνος.
3. Βατοπεδίου 1126, ΙΕ' αἰῶνος.
4. » 1129, ΙΕ' αἰῶνος.
5. » 1130, ΙΓ' αἰῶνος.
6. » 1131, ΙϚ' αἰῶνος.
7. Καυσοκαλυβίων 245, 37 (106), ἔτους 1900.
8. Μεγ. Λαύρας Γ 86, ΙΔ' αἰῶνος.
9. » » Δ 14, ΙΒ' αἰῶνος.
10. » » Δ 55, ΙΑ' αἰῶνος.
11. » » Ε 152, ΙΖ' αἰῶνος.
12. » » Θ 32, ΙϚ' αἰῶνος.
13. » » Θ 77, ΙΕ' αἰῶνος.
14. » » Λ 164, ΙΗ' αἰῶνος.

15. Μεταμορφ. Μετεώρων 281, ΙϚ′ αἰῶνος.
16. Ξενοφῶντος 69 (771), ΙΗ′ αἰῶνος.
17. Παντελεήμονος 455, ΙΘ′ αἰῶνος.
18. » 499, ΙΘ′ αἰῶνος.
19. » 731, ἔτους 1846.
20. » 734, ΙΘ′ αἰῶνος.
21. Παντοκράτορος 175, ΙΔ′ αἰῶνος.
22. Πάτμου 212, ΙΑ′ αἰῶνος.
23. » 675, ΙϚ′ αἰῶνος.
24. Ὑψηλοῦ Λέσβου 19, ΙϚ′ αἰῶνος καὶ
25. Vindob. (Βιέννης - Αὐστρίας) Theol. Gr. 187, ΙΕ′ αἰῶνος.

Ἐκτὸς τῶν χειρογράφων τούτων ἐλήφθησαν ὑπ' ὄψιν καὶ αἱ κατωτέρω ἐκδόσεις:

1. *Εὐστρατιάδου Σωφρονίου*, μητροπ. πρ. Λεοντουπόλεως, Ἁγιολογικά. Ὁ ἅγιος Δημήτριος ἐν τῇ ὑμνογραφίᾳ, «Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν», τ. ΙΑ′ (1935), σελ. 120-150. Δημοσιεύει ἐκ τοῦ κώδ. 7 προεόρτιον ἀκολουθίαν τοῦ Συμεὼν Θεσσαλονίκης μὲ τὸν κατὰ τὸ «Κύματι θαλάσσης» κανόνα καὶ τὸ ἰδιόμελον «Συνδράμωμεν ἐν πίστει...» τοῦ Εὐσταθίου Θεσσαλονίκης κατὰ τὰ χειρόγραφα 7, 8 καὶ 5.

2. «Θύρα τῆς μετανοίας», Βενετία 1852[2]. Ἐκδίδει σειρὰν κανόνων εἰς τὸν ἅγιον Δημήτριον, τὰ προεόρτια τοῦ Συμεὼν καὶ τὸν κανόνα τοῦ Σταυρακίου.

3. *Hannick Chr.*, Studien zu liturgischen Handschriften der Österreichischen Nationalbibliothek, Wien 1972. Ἐκδίδει κανόνα καὶ τροπάρια εἰς τὸν ἅγιον Δημήτριον τοῦ μητροπολίτου Νικαίας Ἀλεξίου κατὰ τὸν κώδικα 25 (σελ. 123-128).

4. *Migne J. P.*, Patrologiae cursus completus, series Graeca, τ. 136, στ. 161-168. Κανὼν εἰς τὸν ἅγιον Δημήτριον Εὐσταθίου Θεσσαλονίκης.

5. *Παντοκρατορινοῦ Ἀθανασίου*, Δύο ἀκολουθίαι εἰς τὸν ἅγιον Δημήτριον, «Γρηγόριος ὁ Παλαμᾶς», τ. ΙΑ′ (1927), σελ. 371-384. Ἐκδίδει ἀκολουθίαν τοῦ ἁγίου Δημητρίου,

ποίημα τοῦ χαρτοφύλακος Θεσσαλονίκης Ἰωάννου τοῦ Σταυρακίου, ὡς καὶ κανόνα τοῦ Γεωργίου Σκυλίτζη κατὰ τὸν κώδ. 21.

6. *Τωμαδάκη Ν.*, Ρωμανοῦ τοῦ μελῳδοῦ ὕμνοι, τ. Β', Ἀθῆναι 1955. Ἐκδίδει δύο κοντάκια τοῦ Ρωμανοῦ εἰς τὸν ἅγιον κατὰ τὸν κώδ. 22 καὶ

7. *Φουντούλη Ἰ.*, Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Τὰ λειτουργικὰ συγγράμματα, τ. Α', Εὐχαὶ καὶ ὕμνοι, Θεσσαλονίκη 1968. Ἐκδίδονται οἱ προεόρτιοι κανόνες καὶ τὰ τροπάρια τοῦ Συμεὼν (σελ. 88-97. 119-120. 129-131. 139-140, 182-208. 204-208 καὶ 264-265) κατὰ τοὺς κώδικας 1, 2, 7 καὶ 16.

Ἡ πρόθεσις ἡμῶν δὲν ἦτο νὰ παρουσιάσωμεν κριτικὴν ἔκδοσιν τῶν προεορτίων ἀκολουθιῶν τοῦ ἁγίου Δημητρίου. Διὰ τοῦτο ἐπωφελήθημεν τῶν διαφόρων γραφῶν τῶν ἀνωτέρω χειρογράφων καὶ προετιμήσαμεν τὰς κατὰ τὴν κρίσιν ἡμῶν καλλιτέρας. Ἐνίοτε ἐπεφέραμεν καὶ ἐλαφρὰς διορθώσεις πρὸς βελτίωσιν ἐμφανῶς ἡμαρτημένων κειμένων.

Ὡς πρὸς τὴν διάταξιν καὶ τὰ ἐπὶ μέρους στοιχεῖα τῶν ἀκολουθιῶν τούτων θὰ ἦτο ἀπαραίτητον νὰ προστεθοῦν καὶ ὀλίγαι τινὲς διευκρινιστικαὶ ἐπεξηγήσεις.

Ἡ προσόμοιος ἀκολουθία πρὸς τὴν Κυριακὴν τῶν Βαΐων δὲν θὰ ἦτο σκόπιμον νὰ μετατίθεται κατὰ τὴν πρὸ τῆς μνήμης τοῦ ἁγίου τρίτην Κυριακήν. Προτιμώτερον εἶναι νὰ ψάλλεται τὸ ἑσπέρας τῆς 18ης πρὸς τὴν 19ην Ὀκτωβρίου. Αὕτη, ἐν συγκρίσει πρὸς τὰς λοιπάς, παρουσιάζεται ἐκτενεστέρα, διότι ἔχει πλήρη κανόνα καὶ περισσότερα καθίσματα. Οἱ ἀναβαθμοί, τὸ εὐαγγέλιον τοῦ ὄρθρου καὶ τὰ ἀκολουθοῦντα κατὰ τὴν συνήθη τάξιν αὐτό, τίθενται κατὰ μίμησιν τῆς Κυριακῆς τῶν Βαΐων, ἐνῷ αἱ ἄλλαι ἡμέραι ἀκολουθοῦν τὸ πρότυπον τῶν ἀντιστοίχων ἡμερῶν τῆς Μεγάλης Ἑβδομάδος.

Αἱ ἀκολουθίαι τοῦ ὄρθρου τῆς Μεγάλης Τετάρτης, τῆς Μεγάλης Πέμπτης, τῆς Μεγάλης Παρασκευῆς καὶ τῆς Κυριακῆς τοῦ Πάσχα δὲν ἔχουν καθίσματα, διότι κατ' αὐτὰς

«σχολάζει» ἡ στιχολογία τοῦ Ψαλτηρίου. Κατὰ τὸ πρότυπον αὐτῶν καὶ αἱ ἀκολουθίαι τῶν ἀντιστοίχων ἡμερῶν τῶν προεορτίων τοῦ ἁγίου Δημητρίου δὲν ἔχουν καθίσματα. Κατὰ μίμησιν ὁμοίως τῶν δεσποτικῶν κανόνων τῆς Μεγάλης Ἑβδομάδος καὶ οἱ προεόρτιοι κανόνες τοῦ Συμεὼν στεροῦνται θεοτοκίων. Τὸ ἴδιον πράττει καὶ ὁ Σταυράκιος εἰς τὸν προσόμοιον τοῦ κανόνος τοῦ Πάσχα κανόνα του. Ἀντιθέτως τὰ δοξαστικά, τὰ καθίσματα καὶ τὰ ἐξαποστειλάρια συνοδεύονται ὑπὸ θεοτοκίων.

Τὰ εὐαγγέλια τῆς 24ης καὶ 25ης τίθενται εἰς τὴν ἀρχὴν τῆς ἀκολουθίας τοῦ ὄρθρου κατὰ τὸ πρότυπον τῶν ἄλλων ἡμερῶν καὶ κατὰ τὴν ἀρχαίαν μοναχικὴν τάξιν τῆς Μεγάλης Παρασκευῆς καὶ τοῦ Μεγάλου Σαββάτου. Ὁ ὄρθρος τῆς 26ης δὲν ἔχει εὐαγγέλιον κατὰ τὴν ἀρχαιοτέραν τάξιν τῆς ἀκολουθίας τοῦ ὄρθρου τοῦ Πάσχα, τὸν ὁποῖον ἀπομιμεῖται.

Εὐαγγελικαὶ περικοπαὶ δύνανται νὰ ἀναγνωσθοῦν διάφοροι δι' ἑκάστην ἡμέραν, ἐπιλεγόμεναι ἐκ τῶν συνδεδεμένων πρὸς τὰς μνήμας μαρτύρων, ὡς αἱ: 26ης Ὀκτωβρίου - ὄρθρου (Λουκ. κα΄ 12-19), 26ης Ὀκτωβρίου - λειτουργίας (Ἰω. ιε΄ 17-27. ις΄ 1-2), 4ης Σεπτεμβρίου (Ματθ. ι΄ 32-36. ια΄ 1), 13ης Ὀκτωβρίου (Ματθ. ζ΄ 12-21), 8ης Ἰουλίου (Λουκ. ς΄ 17-19. θ΄ 1. ι΄ 16-22), Τετάρτης τῆς Γ΄ ἑβδομάδος Ματθαίου (Ματθ. ι΄ 16-22) καὶ Παρασκευῆς Ζ΄ ἑβδομάδος Λουκᾶ (Λουκ. ιβ΄ 2-12).

Κατὰ τὸν ὄρθρον τῆς 25ης Ὀκτωβρίου δύναται, χάριν συντομίας, νὰ παραλειφθῇ ὁ ἄμωμος, κατὰ τὴν νεωτέραν τάξιν τοῦ Μεγάλου Σαββάτου, καὶ νὰ ψαλλοῦν μόνον τὰ ἐγκώμια.

Ἡ λιτὴ («περίοδος») κατὰ τὴν ἀρχὴν τοῦ ὄρθρου τῆς 26ης («Πάσχα») μετεφέρθη ἀπὸ τὸ τέλος τοῦ ὄρθρου εἰς τὴν ἀρχήν του κατὰ τὸ πρότυπον τῆς νεωτέρας τάξεως τῆς ἀκολουθίας τῆς ἀναστάσεως, τὴν ὁποίαν μιμεῖται.

Εἰς τὸ ἀπολυτίκιον τοῦ ἁγίου Δημητρίου ἀποκατεστάθη ἡ ἀρχικὴ γραφὴ «σὲ ὑπέρμαχον Θεσσαλονίκη», ἡ προσιδιάζουσα εἰς τὴν πόλιν, κατὰ τὰ ἀρχαῖα χειρόγραφα.

Εἰς τὸ τέλος ἐτέθη ἡ «ἐκλογὴ» εἰς τὴν μνήμην τοῦ ἁγίου Δημητρίου κατὰ τὸ «Ψαλτήριον τοῦ ᾀσματικοῦ» τοῦ Συμεὼν Θεσσαλονίκης (κῶδ. Ἀθηνῶν 2047, φ. 28 ra - 28 va. Πρβλ. καὶ «Ἐκλογὴ ἐκ τῶν Ψαλμῶν τοῦ προφήτου καὶ βασιλέως Δαβίδ», ἔκδ. *Σάββα ἱερομονάχου*, ἐν Ἀθήναις 1894, σελ. 14-16), διὰ νὰ ψάλλεται κατὰ τὸν ὄρθρον ἢ ἀντὶ κοινωνικοῦ κατὰ τὴν θείαν λειτουργίαν.

Ἡ διαίρεσις τῶν στίχων ἐσημειώθη δι' ἀστερίσκου (*).

## ΤΗ ΙΘ΄ ΟΚΤΩΒΡΙΟΥ
## («ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ»)

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ 'Κύριε, ἐκέκραξα' ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προεόρτια τοῦ ἁγίου Δημητρίου ἓξ**

**Προσόμοια τῶν τῆς Κυριακῆς τῶν Βαΐων. Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος πλ. β΄. Πρὸς τό· Σήμερον ἡ χάρις**

Σήμερον* ἡ δόξα τοῦ ἐνθέου μάρτυρος* ἡμᾶς συνήθροισε* καὶ τοῦτον μέλποντες,* εὐχαρίστως λέγομεν·* Δεδοξασμένος εἶ, Δημήτριε,* δι' ἀγάπην τοῦ Χριστοῦ σου* λογχευθεὶς καὶ μύρα βλύζων.

**Ἦχος ὁ αὐτός. Πρὸς τό· Ὁ ἔχων θρόνον**

Ὁ δόξαν ἔχων θεϊκὴν* καὶ τὴν ἐπίγειον πλουτῶν,* ὁ τοῦ Θεοῦ μέγας κήρυξ* καὶ υἱὸς κατὰ μέθεξιν* κατακρίνεται, πάσχει* καὶ νεκροῦται Δημήτριος* ἐν τῇ πατρίδι ἐλθών·* ὅθεν πάντες ἐν ὕμνοις,* δόξης αὐτοῦ πληρούμενοι,* βοῶμεν πιστῶς·* Χαίροις νῦν ἐν τοῖς ὑψίστοις,* δεδοξασμένος εἶ, γενόμενος* νικητὴς ἐν τῷ Χριστῷ.

**Ἦχος ὁ αὐτός. Πρὸς τό· Δεῦτε καὶ ἡμεῖς**

Δεῦτε καὶ ἡμεῖς σήμερον,* πᾶσα τάξις τῶν πιστῶν,* τῶν Θετταλῶν Ἐκκλησία,* ἐπὶ Δημητρίῳ χαρμοσύνως ἐκβοήσωμεν·* Χαῖρε, πόλις ὄντως ἐκλεκτή·* σκίρτα, τοῦ μάρτυρος ἔνδοξε πατρίς·* ὅτι ἰδοὺ ὁ ἱερὸς οὐ παύεταί σου* βλαστὸς καὶ φύλαξ* ὁ ὑπὲρ

τοῦ Χριστοῦ ἐναθλήσας χαίρων,* ῥυόμενός σε βλάβης·* ἑόρταζε εὐφροσύνως,* πλήρης αὐτοῦ τῆς δόξης οὖσα, βόησον·* Χαίροις νῦν ἐν τοῖς ὑψίστοις,* δεδοξασμένος εἶ, γενόμενος* στεφανίτης τοῦ Χριστοῦ.

**Ἕτερα προσόμοια δύο. Ποίημα τοῦ αὐτοῦ**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων**

Μαρτυρικὴ πανδαισία* προεορτάζεται·* δεῦτε οὖν ᾄσμασι θείοις* ἑτοιμασθέντες πάντες,* τὴν μνήμην Δημητρίου τοῦ ἀθλητοῦ* χαρμοσύνως τελέσωμεν,* ὅπως μεσίτην θερμότατον πρὸς Χριστὸν* τοῦτον ἔχοντες, σωζόμεθα.

Ἀναπολοῦντες τὴν δόξαν,* ἧς περ ἠξίωσαι* παρὰ Χριστοῦ ἀξίως,* εὐφημοῦμέν σε πίστει,* Δημήτριε τρισμάκαρ, καὶ εὐλαβῶς* τὴν σεπτήν σου πανήγυριν* προεορτάζομεν σήμερον ἐν ᾠδαῖς* οἱ ποθοῦντές σε φιλέορτοι.

**Ἕτερον ὅμοιον**

Ὡς εὐσεβείας ὁπλίτης* καὶ στρατιώτης Χριστοῦ* τὸ δυσσεβὲς ἐνθέως* τοῦ τυράννου καθεῖλες* τῇ σῇ, μάρτυς, ἀθλήσει, ὅθεν Θεῷ* παρρησίᾳ παρίστασαι·* αὐτὸν δυσώπει, Δημήτριε, ἐκτενῶς* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα... **Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. β΄. Πρὸς τό· Τὴν σεπτὴν ἀνάστασιν**

Τὴν λαμπρὰν ἀνάστασιν* Χριστοῦ ὑπογράφων τοῖς πιστοῖς,* ἔβλυσας θανὼν ὑπὲρ τοῦ κτίστου σου* ἐκ θείου σώματος* τὰ μύρα σου τὰ σεπτά,*

ἃ τὸ μνῆμά σου πλημμυρεῖ, μάρτυς, ἀπαύστως·* ὅθεν μαρτυρεῖ σου τὸ ἁγνόν σου τῆς ψυχῆς* καὶ τὸ ταύτης ὄχημα τὸ σκῆνός σου* ἀδιάφθορον τελοῦν·* ὅθεν καὶ τὸν ἔπαινον προσάγει* ὁ πεποθημένος σοι λαὸς* ἐκ καρδίας, πᾶσα τάξις* ἀνυμνοῦσά σε πόθῳ,* καθορῶντές σε, σοφέ,* κατευφραίνοντα τὴν σήν, παμμάκαρ, πόλιν* καὶ πᾶσαν τὴν γῆν τοῖς μύροις.

Καὶ νῦν... **Θεοτοκίον**

Τίς μὴ μακαρίσει σε,* παναγία παρθένε;* τίς μὴ ἀναμνήσει σου* τὸν ἀλόχευτον τόκον;* ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς* ἐκλάμψας Υἱὸς μονογενής,* ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν,* ἀφράστως σαρκωθείς·* φύσει Θεὸς ὑπάρχων* καὶ φύσει γενόμενος* ἄνθρωπος δι᾿ ἡμᾶς·* οὐκ εἰς δυάδα* προσώπων τεμνόμενος,* ἀλλ᾿ ἐν δυάδι φύσεων* ἀσυγχύτως γνωριζόμενος·* αὐτὸν ἱκέτευε,* σεμνὴ παμμακάριστε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**

**Εἰς τὸν στίχον. Στιχηρὰ προσόμοια**

**Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ**

Οἶκος πνευματικὸς* ἐκ πράξεων ὡς λίθων* ἀνῳκοδομημένος* καὶ κόσμον περισκέπων* ὁ πάνσοφος Δημήτριος.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἄσματα λιγυρά,* τῶν ἄθλων τοὺς ἐπαίνους* χαρίτων ἀντιδόσεις,* διάθεσιν γνησίαν* ἀπόδεξαι, Δημήτριε.

**Στίχ.** Πεφυτευμένοι ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι.

῾Ρεῖθρον Νείλου καλῶς* τὴν Αἰγυπτίων ἄρδει,* σὺ δὲ φωσφόρε μάρτυς,* πλημμύρα τῇ τῶν μύρων* πιαίνεις πιστῶν πλήρωμα.

Δόξα... **Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος πλ. δ΄. Πρὸς τό· Χαῖρε καὶ εὐφραίνου, πόλις Σιὼν**

Χαῖρε καὶ εὐφραίνου, πᾶς εὐσεβής,* σκίρτα καὶ ἀγάλλου,* Θεσσαλονίκη ἐκλεκτή·* ἰδοὺ γὰρ τοῦ πολιστοῦ σου* ἐπεδήμησεν ἡ πάμφωτος μνήμη,* ἄθλοις κατατέρπουσα,* πλείστοις θαύμασιν εὐφραίνουσα* τοὺς ἐν πίστει ἐκβοῶντας·* Δεδοξασμένος εἶ,* Κυρίου ἀθλητά,* σὺ περιφρούρησον ἡμᾶς.

Καὶ νῦν... **Θεοτοκίον**

᾿Ανύμφευτε παρθένε,* ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί,* μήτηρ Θεοῦ τοῦ ὑψίστου,* σῶν ἱκετῶν παρακλήσεις δέχου, πανάμωμε·* ἡ πᾶσι χορηγοῦσα* καθαρισμὸν τῶν πταισμάτων,* νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη,* δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**᾿Απολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως**

Μέγαν εὕρατο* ἐν τοῖς κινδύνοις* σὲ ὑπέρμαχον* Θεσσαλονίκη,* ἀθλοφόρε, τὰ ἔθνη τροπούμενον·* ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν,* ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα,* οὕτως ἅγιε* μεγαλομάρτυς Δημήτριε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν* τὴν σωτηρίαν τοῦ γένους ἡμῶν* ἀνυμνοῦμεν, Θεοτόκε παρθένε·* ἐν τῇ σαρκὶ γὰρ* τῇ ἐκ σοῦ προσληφθείσῃ* ὁ υἱός σου καὶ Θεὸς ἡμῶν* τὸ διὰ σταυροῦ* καταδεξάμενος πάθος,* ἐλυτρώσατο ἡμᾶς* ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ στιχολογίαν κάθισμα**
**Ποίημα Εὐσταθίου Θεσσαλονίκης**
**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον**

Τῶν αἱμάτων σου, μάρτυς, αἱ προχοαὶ* καὶ τῶν μύρων ἡ βλύσις πᾶσαν τὴν γῆν* εὐφραίνει, Δημήτριε,* καὶ ψυχὰς καὶ τὰ σώματα* ἁγιάζει, μάκαρ,* τῶν πίστει καὶ πόθῳ σοι* προστρεχόντων πάντοτε* τῷ θείῳ τεμένει σου,* ὥσπερ ἐξ ἀβύσσου* ἐξανύτειν τὰ μύρα* εἰς ἴασιν, ἅγιε,* νοσημάτων ἑκάστοτε·* διὰ τοῦτο βοῶμέν σοι·* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων* ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα... **Ἕτερον**
**Ἦχος γ΄. Τὴν ὡραιότητα**

Τεῖχος ἀπόρθητον,* μάρτυς, πρεσβείαις σου* γενοῦ τῇ πόλει σου,* βαρβάρων φάλαγγας* ἐκτρέπων σοῦ μαρτυρικαῖς* ταῖς πρὸς Θεὸν οἰκειώσεσιν·* ἔχεις γὰρ τὸ δύνασθαι* βοηθεῖν καὶ διασώζειν,* πίστει δυσωπούμενος,* ἐν καιρῷ περιστάσεως,* καλλώπισμα μαρτύρων Δημήτριε,* φύλαξ τῆς ὅλης

πατρίδος σου.

Καὶ νῦν... **Θεοτοκίον. Αὐτόμελον**

Τὴν ὡραιότητα* τῆς παρθενίας σου* καὶ τὸ ὑπέρλαμπρον* τὸ τῆς ἁγνείας σου* ὁ Γαβριὴλ καταπλαγείς,* ἐβόα σοι, Θεοτόκε·* Ποῖόν σοι ἐγκώμιον* προσαγάγω ἐπάξιον;* τί δὲ ὀνομάσω σε;* ἀπορῶ καὶ ἐξίσταμαι·* διὸ ὡς προσετάγην βοῶ σοι·* Χαῖρε, ἡ κεχαριτωμένη.

**Μετὰ τὴν β´ στιχολογίαν κάθισμα**
**Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος γ´. Τὴν ὡραιότητα**

Τὴν καθαρότητα* τῆς πολιτείας σου* καὶ τὴν λαμπρότητα* τοῦ μαρτυρίου σου* κατανοοῦντες οἱ πιστοὶ* βοῶμέν σοι, ἀθλοφόρε·* Μέσον ἡμῶν πάρεσο* τῶν τῆς μνήμης σου σήμερον* ὕμνον προεόρτιον* ἐκτελούντων ἐκ πίστεως,* φρουρῶν ἡμᾶς ταῖς πρὸς Θεὸν λιταῖς σου,* Δημήτριε μέγιστε μάρτυς.

Δόξα... **Ἕτερον**
**Ἦχος πλ. α´. Τὸν συνάναρχον**

Τὴν σὴν μνήμην τελοῦντες,* ἀνευφημοῦμέν σε* ἐν ᾠδαῖς παννυχίοις,* μάρτυς Δημήτριε,* καὶ γὰρ ἀθλήσας ἀνδρικῶς* ταῖς λόγχαις τέτρωσαι* τὴν πλευράν σου, ἀθλητά,* ὡς ὁ δεσπότης ἐν σταυρῷ,* καὶ μύρα τε καὶ ἰάσεις* ἀεννάως ἀναπηγάζεις,* πιστῶν τὰς φρένας τέρπων, πανεύφημε.

Καὶ νῦν... **Θεοτοκίον**

Ἡ θερμὴ προστασία* καὶ ἀπροσμάχητος,* ἡ ἐλπὶς ἡ βεβαία* καὶ ἀκαταίσχυντος,* τεῖχος καὶ

σκέπη καὶ λιμὴν* τῶν προστρεχόντων σοι,* ἀειπάρθενε ἁγνή,* τὸν υἱόν σου καὶ Θεὸν* ἱκέτευε σὺν ἀγγέλοις* εἰρήνην δοῦναι τῷ κόσμῳ* καὶ σωτηρίαν καὶ μέγα ἔλεος.

**Μετὰ τὸν πολυέλεον κάθισμα**
**Ἦχος πλ. α'. Τὸν συνάναρχον**

Μακεδόνων τὸ κλέος* τὸ θαυμαστότατον* καὶ Θετταλῶν τὸ θησαύρισμα* τὸ ἀσύλητον* σὺ ἀνεδείχθης ἀληθῶς,* μάρτυς Δημήτριε,* ἐξ οὗ πλουτοῦμεν οἱ πιστοὶ* συγχώρησιν ἁμαρτιῶν,* δοξάζοντες καὶ ὑμνοῦντες* Χριστὸν τὸν ἀγωνοθέτην* καὶ σὲ τὸν μέγαν* τούτου θεράποντα.

Δόξα... **Ἕτερον.**
**Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον**

Τὰς βολὰς τῶν θαυμάτων ὡς ἀστραπὰς* ἀπαστράπτεις καὶ πάντα φωταγωγεῖς* τοῦ κόσμου τὰ πέρατα,* ὡς ἀστὴρ φαεινότατος* καὶ τερπνῶς μυρίζεις,* ὡς ἄλλος παράδεισος* καὶ ψυχὰς εὐφραίνεις* καὶ παύεις νοσήματα·* ὅθεν σε, παμμάκαρ,* κατὰ χρέως ὑμνοῦμεν* καὶ πόθῳ γεραίρομεν* τὴν σεβάσμιον μνήμην σου,* ἀθλοφόρε Δημήτριε,* πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν... **Θεοτοκίον. Ὅμοιον**

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν,* τὸ πανάγιον ὄρος, τὴν φωταυγῆ* νεφέλην ὑμνήσωμεν,* τὴν οὐράνιον κλίμακα,* τὸν λογικὸν παράδεισον,* τῆς Εὔας τὴν λύτρωσιν,* τῆς οἰκουμένης πάσης* τὸ

μέγα κειμήλιον·* ὅτι σωτηρία* ἐν αὐτῇ διεπράχθη* τῷ κόσμῳ καὶ ἄφεσις* τῶν ἀρχαίων ἐγκλημάτων·* διὰ τοῦτο βοῶμεν αὐτῇ·* Πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς εὐσεβῶς προσκυνοῦσι* τὸν πανάγιον τόκον σου.

**Εἶτα τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ προκείμενον. Ἦχος δ΄**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

**Στίχ.** Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Πᾶσα πνοή... **Εὐαγγέλιον μαρτυρικὸν**

**Ὁ ν΄ ψαλμὸς**

Δόξα...Ταῖς τοῦ ἀθλοφόρου...

Καὶ νῦν...Ταῖς τῆς Θεοτόκου...

**Στίχ.** Ἐλέησόν με, ὁ Θεὸς...

**Ἰδιόμελον. Ἦχος πλ. β΄**

Σήμερον* ἡ δόξα τοῦ ἐνθέου μάρτυρος* ἡμᾶς συνήθροισε* καὶ τοῦτον μέλποντες,* εὐχαρίστως λέγομεν·* Δεδοξασμένος εἶ, Δημήτριε,* δι' ἀγάπην τοῦ Χριστοῦ σου* λογχευθεὶς καὶ μύρα βλύζων.

**Τὸ** Σῶσον, ὁ Θεός, τὸν λαόν σου...**κ.λ.π.**

**Ὁ κανών, προσόμοιος τῆς τῶν Βαΐων Κυριακῆς, οὗ ἡ ἀκροστιχίς· «Ὡσαννὰ Χριστός, εὐλογημένος Θεός». Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ εἱρμὸς**

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου* νοτίδος ἄμοιροι* καὶ ἀνεκαλύφθη θαλάσσης* κυμαινούσης τὰ θεμέλια* τῇ καταιγίδι νεύματι,* ταύτης γὰρ ἐπετίμησας,* περιούσιον λαὸν δὲ ἔσωσας,* ᾄδοντα* ἐπι-

νίκιον ὕμνον σοι, Κύριε.

**Τροπάρια**

Ὤφθησαν ὡς πηγαὶ τῆς πλευρᾶς σου,* Χριστέ, οἱ ῥύακες* καὶ ἀνεμορφώθη ἡ κτίσις* ἐκπλυθεῖσά σου τῷ αἵματι·* ὁ δὲ κλεινὸς Δημήτριος,* ταύτην ἐκμιμησάμενος,* λογχευόμενος πάντας ἡγίασεν,* ᾄδοντας* ἐπινίκιον ὕμνον σοι, Κύριε.

Στόματος ἐξ ἀύλων ἀγγέλων* σὲ καθορώντων αἶνον* ἐν τῷ ἐναθλεῖν κατηρτίσω* καταργήσας τὸν πολέμιον* καὶ καταγγείλας πάθει τῷ σῷ* τὸ πάθος τὸ θεῖον Χριστοῦ,* διὰ τοῦτο κατεστέφθης, μέλπων δέ,* ἔνδοξε,* ἐπινίκιον ὕμνον τῷ κτίσαντι.

Αἴνεσιν Θετταλῶν Ἐκκλησία* τῷ συντηροῦντι αὐτήν,* σοί, σοφέ, προσάγει, ἐν σοὶ δὲ* πᾶς πιστὸς τῷ βοηθῷ αὐτοῦ* χαίρει καὶ βλέπων ἔθνη* ἀλλόφυλα διωκόμενα* τῇ δυνάμει σου, μάρτυς, εὐφραίνεται* ᾄδων σοι* ἐπινίκιον ὕμνον, Δημήτριε.

**Καταβασία·** Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου...

**Ὠδὴ γ΄. Ὁ εἱρμὸς**

Νάουσαν ἀκρότομον* προστάγματι σῷ* στερεὰν ἐθήλασε πέτραν* Ἰσραηλίτης λαός·* ἡ δὲ πέτρα σύ, Χριστέ,* ὑπάρχεις καὶ ζωή,* ἐν ᾧ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα·* Ὡσαννά,* εὐλογημένος εἶ ὁ ἐρχόμενος.

**Τροπάρια**

Νάουσαν τὴν ἄμωμον* πλευράν σου, σοφέ,* ὡς τὴν πρὶν ἐκβλύζουσαν πέτραν* μύρα τιμῶμεν πιστοί,* τὴν γὰρ πέτραν τῆς ζωῆς* ἐζήλωσας, Χρι-

στόν·* δι' ὃ στερεωθέντες τοῖς ἄθλοις σου, κραυγάζομεν·* Χαίροις νῦν,* δεδοξασμένε μάρτυς Δημήτριε.

Νεκρὸν ἀδιάφθορον* ἰσχύι Χριστοῦ* ζωηφόρον δύναμιν ἔχον* ἐστὶ τὸ σκῆνός σου,* τὴν ἀνάστασιν Χριστοῦ* κηρύττον καὶ ζωήν,* ἐν ᾧ ἀνεγερθέντες ἐκ τούτου σοὶ κραυγάζομεν·* Χαίροις νῦν,* δεδοξασμένε μάρτυς Δημήτριε.

Ἄσατε, πιστοί,* χρεωστικῶς τῷ Χριστῷ* καὶ τῷ θείῳ μάρτυρι,* ἐν μέσῳ τοῦ ναοῦ αὐτοῦ* ἰδοὺ πάρεστι* φωτίζων ἅπαντας,* ἐν ᾧ ἁγιασθέντες ἐν εὐφροσύνῃ μέλψωμεν·* Σῶσον δή,* εὐλογημένε, πάντας, Δημήτριε.

**Καταβασία·** Νάουσαν ἀκρότομον...

**Κάθισμα**

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον**

Τὰ τῆς πίστεως ἄνθη, τοὺς νοητοὺς* μαργαρίτας Κυρίου καὶ ἀθλητάς,* Δημήτριον τιμήσωμεν* καὶ Νέστορα τοὺς μάρτυρας,* ὡς τοῦ ἐχθροῦ τὴν πλάνην ἐνθέως πατήσαντας* καὶ τῶν εἰδώλων πᾶσαν ἰσχὺν ἐδαφίσαντας·* ὅθεν ἐπαξίως* οὐρανόθεν τὸ στέφος* τῆς νίκης δεξάμενοι,* σὺν ἀγγέλοις χορεύουσι·* διὸ πίστει βοήσωμεν·* Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα...Καὶ νῦν...

**Θεοτοκίον ὅμοιον**

**Ποίημα Συμεὼν Θεσσαλονίκης**

Ἐκ σαρκός σου φορέσας ὡς ἀγαθὸς* τὴν μορ-

φὴν ὁ δεσπότης τὴν δουλικήν,* ἐθέωσε, δέσποινα,* ἑνωθεὶς καθ' ὑπόστασιν* καὶ τὴν φύσιν πᾶσαν πληρώσας τοῦ Πνεύματος,* τῶν ἁγίων δήμους εἰργάσατο χάριτι·* ὅθεν τὴν αἰτίαν* τῶν ἀρρήτων πραγμάτων* καὶ πρώτην τοῦ Πνεύματος* πληρωθεῖσαν ὑμνοῦντές σε,* ἐκ καρδίας βοῶμέν σοι·* Χαῖρε, σωτηρίας ἀρχηγέ,* τῶν πταισμάτων, χαῖρε, ἡ λύτρωσις,* τῶν προσκυνούντων ἐν πίστει* τὸν τόκον σου, ἄχραντε.

**Ὠδὴ δ'. Ὁ εἱρμὸς**

Χριστὸς ὁ ἐρχόμενος* ἐμφανῶς Θεὸς ἡμῶν* ἥξει καὶ οὐ χρονιεῖ* ἐξ ὄρους κατασκίου δασέως,* κόρης τικτούσης ἀπειράνδρου,* προφήτης πάλαι φησί.* Διὸ πάντες βοῶμεν·* Δόξα τῇ δυνάμει σου, Κύριε.

**Τροπάρια**

Χριστὸς ὁ αἰώνιος* σαρκωθεὶς Θεὸς ἡμῶν* ἦλθε παθὼν δι' ἡμᾶς* καὶ τοῦτο καταγγέλλει προθύμῳ* πόθῳ Δημήτριος ὁ μάρτυς,* ἀπόστολος ἄλλος ὤν,* δι' ὃ πάσχει κραυγάζων·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Ῥευσάτω εὐωδίαν,* ἀθλητά, καὶ ἔλαιον,* ὡς ὄρος θεῖον, σοφέ,* ἐλαία τε Θεοῦ τὸ σεπτόν σου* σῶμα Χριστὸν αἰνοῦσι, μάρτυς,* καὶ σοῦ τοῖς μύροις λαοὶ* χρίονται μελῳδοῦντες·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Ἰσχὺν διεζωσμένος* βασιλεὺς παθῶν τελῶν,* κεκαθαρμένος ὤφθης* καὶ σοῦ ἡ ὡραιότης ἐν παρθενίᾳ,* ἡ χάρις τε τῶν ἄθλων* ἀμέτρητος ἀληθῶς,*

δι' ὃ πίστει βοῶμεν·* Δόξα σου τῷ κάλλει, Δημήτριε.

Σπιθαμῇ τῇ δυνάμει,* χάριτι δρακί σου δὲ* τηρεῖς τὴν πόλιν σου,* αὐτὴν γὰρ ἐπεπόθησας, ἐν αὐτῇ* δὲ οἰκεῖν καὶ περιέπειν* ἠθέλησας τοὺς λαοὺς* τοὺς πιστῶς σοι βοῶντας·* Δόξα σοι, Δημήτριε μέγιστε.

**Καταβασία·** Χριστὸς ὁ ἐρχόμενος...

**Ὠδὴ ε΄. Ὁ εἱρμὸς**

Τὴν Σιὼν ἐπ' ὄρους ἀνάβηθι* ὁ εὐαγγελιζόμενος* καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων* ἐν ἰσχύϊ ὕψωσον φωνήν·* Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ,* ἡ πόλις τοῦ Θεοῦ·* εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ* καὶ σωτήριον ἔθνεσιν.

**Τροπάρια**

Τὴν Σιὼν τὴν νέαν πόλιν σου* σὺ εὐαγγελιζόμενος* ὡς τὴν Ἱερουσαλὴμ ἀπειργάσω* ἐν αὐτῇ σφαγεὶς ὑπὲρ Χριστοῦ* δεδοξασμένην, δι' ὃ πάντες κράζομεν* ἡ πόλις σου, σοφέ·* Εἰρήνη ἐπ' αὐτὴν* καὶ σωτὴρ σὺ ὑπάρχεις, Δημήτριε.

Ὁ ἐν οὐρανίοις τῷ πνεύματι* μετὰ τῶν σεραφὶμ οἰκῶν* καὶ ἀθλοφόρων, σοφέ, καὶ νῦν πάρεσο* μεθ' ἡμῶν, ἔνδοξε,* καὶ ἐμπλησθήσονται ἐνθέων δωρεῶν* βοῶντες οἱ πιστοί·* Γαλήνη τῶν ψυχῶν* καὶ χαρὰ σὺ ὑπάρχεις, Δημήτριε.

Σιὼν καινὴ Θεσσαλονίκη, νῦν* ὡς Ἱερουσαλὴμ κύκλῳ* τοὺς ὀφθαλμούς σου ἆρον καὶ βλέψον* ἀθροισθέντα ἔθνη ἐπὶ σοί,* ἰδοὺ γὰρ ἥκασι μακρόθεν* τοῦ τιμῆσαι τὸν πολιστήν σου,* εἰρήνην καὶ φρουρόν

σου ἀεὶ* καὶ σωτῆρα Δημήτριον.

**Καταβασία·** Τὴν Σιὼν ἐπ' ὄρους...

**᾿Ωδὴ ς'. Ὁ εἱρμὸς**

᾿Εβόησαν* ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα·* Νῦν τῷ κόσμῳ* διαθήκη καινὴ διατίθεται·* καὶ ῥαντίσματι* καινουργείσθω λαὸς θείου αἵματος.

**Τροπάρια**

᾿Εκρότησαν* σὲ καθορῶντες σφαγέντα οἱ ἄγγελοι·* Νῦν ὁ μάρτυς,* ἐκβοῶντες, Χριστὸν ἐμιμήσατο* καὶ τῷ αἵματι* τῆς πλευρᾶς τῷ Χριστῷ συνδοξάζεται.

῾Υπόδεξαι* πᾶς πιστὸς Δημητρίου τὰς χάριτας* καὶ προσβαίνων* τῷ τεμένει αὐτοῦ κομιζέσθω πλοῦτον* καὶ τῷ χρίσματι* λαμπρυνέσθω τῶν μύρων τερπόμενος.

Λελυμένους* αἰχμαλώτους δουλείας θεώμεθα* καὶ ἐκ τάφου* ἀρρωστίας πολλῶν ἐξανάστασιν* καὶ τῷ χρίσματι* σοῦ τῶν μύρων σκιρτῶμεν, Δημήτριε.

**Καταβασία·** ᾿Εβόησαν ἐν εὐφροσύνῃ...

**Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ**
**Ποίημα ᾿Ιωάννου τοῦ Σταυρακίου**

Τῷ ὑπερμάχῳ στρατηγῷ καὶ ἀντιλήπτορι* εὐχαριστήριον ᾠδὴν καὶ ἱκετήριον* νῦν προσφέρω σοι ἡ πόλις σου, ἀθλοφόρε·* ἀλλ' ὡς ἔχων ἐκ Θεοῦ ἰσχὺν ἀήττητον,* ἐκ παντοίων πειρασμῶν με ἐλευθέρωσον,* ἵνα κράζω σοι·* Χαῖρε, μάρτυς Δημήτριε.

**Ὁ οἶκος. Πρὸς τό· Ἄγγελος πρωτοστάτης**

Ἄλλος ἥλιος ὤφθης,* οὐρανόθεν ἐκπέμπων*

αὐγὰς τὰς τῶν θαυμάτων τῷ κόσμῳ* καὶ σὺν τοῖς ἀσωμάτων χοροῖς* παριστάμενος τῷ θρόνῳ* τῆς χάριτος,* ἱλέωσαι τὸν εὔσπλαγχνον* τοῖς κράζουσι πρὸς σὲ τοιαῦτα·

Χαῖρε, δι' οὗ* ὁ Θεὸς ἐδοξάσθη·* χαῖρε, δι' οὗ* ὁ Χριστὸς ἐκηρύχθη.

Χαῖρε, τῶν πιπτόντων* βροτῶν ἡ ἀνόρθωσις·* χαῖρε, προκοπτόντων* ἀνδρῶν ἡ βεβαίωσις.

Χαῖρε, κάλλος ἐνθεώτατον* ταῖς ἐνθέοις ἀρεταῖς·* χαῖρε, στόμα χρυσαυγέστατον* τῆς Σοφίας τοῦ Θεοῦ.

Χαῖρε, ὅτι ὑπάρχεις* τοῦ δεσπότου θεράπων·* χαῖρε, ὅτι φυλάττεις* τὴν σὴν πόλιν ἑδραίαν.

Χαῖρε, πηγὴ* τῶν μύρων ἀείρροε·* χαῖρε, πλευρᾶς* Χριστοῦ τὸ ἐκμίμημα.

Χαῖρε, δι' οὗ* καταργεῖται ἡ πλάνη·* χαῖρε, δι' οὗ* ἐνεργεῖται ἡ πίστις.

Χαῖρε, μάρτυς Δημήτριε.

**Ὠδὴ ζ'. Ὁ εἱρμὸς**

Ὁ διασώσας ἐν πυρὶ* τοὺς Ἀβραμιαίους σου παῖδας* καὶ τοὺς Χαλδαίους ἀνελών,* οἷς ἀδίκως δικαίους ἐνήδρευσαν·* ὑπερύμνητε Κύριε,* ὁ Θεὸς ὁ τῶν πατέρων,* εὐλογητὸς εἶ.

**Τροπάρια**

Ὁ διασώσας τὸν κλεινὸν* Νέστορα εὐχαῖς, ἀθλοφόρε,* καὶ τὸν Λυαῖον καθελών,* ὃν δικαίως ὁ δίκαιος ἔθραυσας,* σῶσον πάντας τοὺς κράζοντας·* Ὁ Θεὸς τοῦ Δημητρίου,* εὐλογητὸς εἶ.

Γόνυ σοι κλίνοντες πιστοὶ* καὶ τὴν σὴν σορὸν

γεγηθότες* περικυκλοῦντες ἐν χαρᾷ,* τῆς ὀσμῆς σου πληρούμενοι μέλπομεν·* Ὑπερύμνητε Κύριε,* ὁ Θεὸς τοῦ Δημητρίου,* εὐλογητὸς εἶ.

Ἡ Ἐκκλησία τοῦ Θεοῦ* πᾶσαν ἡλικίαν καὶ φύσιν* χαριτωθεῖσαν ἐκ τῶν σῶν* καὶ θαυμάτων καὶ μύρων εὐφραίνεται* καθορῶσα καὶ μέλπει νῦν·* Ὁ Θεὸς τοῦ Δημητρίου,* εὐλογητὸς εἶ.

Μετὰ προθέσεως ψυχῆς* κλάδους σοι προσφέροντες ὕμνων·* Εὐλογημένος, ἀθλητά,* σὺ βοῶμεν, ἐχθροὺς ὁ τρεψάμενος* καὶ ἡμᾶς σώσας ψάλλοντας·* Ὁ Θεὸς τοῦ Δημητρίου,* εὐλογητὸς εἶ.

**Καταβασία·** Ὁ διασώσας ἐν πυρὶ...

**Ὠδὴ η΄. Ὁ εἱρμὸς**

Εὐφράνθητι, Ἱερουσαλήμ·* πανηγυρίσατε, οἱ ἀγαπῶντες Σιών·* ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας* Κύριος τῶν δυνάμεων ἦλθεν·* εὐλαβείσθω πᾶσα ἡ γῆ* ἐκ προσώπου αὐτοῦ* καὶ βοάτω·* Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

**Τροπάρια**

Εὐφράνθητι πόλις Θετταλῶν* καὶ πανηγυρίσατε οἱ ἐνοικοῦντες αὐτήν,* τοῦ στεφανίτου σου καὶ πολιούχου* ἔφθασεν ἡ πανένδοξος μνήμη·* μετεχέτω πᾶσα ψυχὴ* τῶν χαρίτων αὐτοῦ* καὶ βοάτω·* Εὐλογεῖτε, τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Νέος ἄλλος εὐαγγελιστὴς* τῆς βασιλείας Χριστοῦ ὤφθης, ἀθλητά,* τὴν γὰρ ἀκάθαρτον ἑλλήνων πλάνην* θραύεις καὶ τὴν κακότεχνον ὀφρὺν* καταβάλλεις πάντων ἐχθρῶν* ἐν τοῖς ἄθλοις σου* ἀναμέλπων·* Εὐλογεῖτε, τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ὁ φρουρός σου μάρτυς τοῦ Χριστοῦ* λίαν ὑπερύψωται, Θεσσαλονίκη λαμπρά,* οὗτος νενίκηκε σφαγεὶς τυράννους,* μέγιστος λυτρωτής τε σὸς ὤφθη,* στρατηγίαις ἄνομον θράσος* σῶν σβέσας ἐχθρῶν* μὴ βοώντων·* Εὐλογεῖτε, τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Σπανίζεται φάλαγξ δαιμονία* καὶ πᾶν ἄθεον συνάθροισμα τῶν ἐχθρῶν* ταῖς θείαις προσευχαῖς, ἐπείπερ πάντας* πόρρωθεν ἀπεδίωξας ἡμῶν* τῶν πλουτούντων σε στρατηγόν,* ὦ Δημήτριε,* καὶ βοώντων·* Εὐλογεῖτε, τὰ ἔργα Κυρίου, τὸν Κύριον.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐφράνθητι, Ἱερουσαλήμ...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν·* συστήσασθε ἑορτὴν* καὶ ἀγαλλόμενοι,* δεῦτε μεγαλύνωμεν Χριστὸν* μετὰ βαΐων καὶ κλάδων,* ὕμνοις κραυγάζοντες·* Εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου,* Σωτῆρος ἡμῶν.

**Τροπάρια**

Θεὸς φύλακα νῦν ἐβράβευσεν ἡμῖν·* κροτήσατε ἐν χαρᾷ* καὶ εὐφραινόμενοι,* δεῦτε ἀνυμνήσωμεν Χριστὸν* καὶ τὸν αὐτοῦ ἀθλοφόρον* ᾄσμασι μέλψωμεν·* Εὐλογημένος εἶ, Δημήτριε,* λογχευθεὶς ὑπὲρ τῆς δόξης* τοῦ Σωτῆρος ἡμῶν.

Ἔθνη πόρρω νῦν ἐκδιώχθητε, ἐχθρῶν* πᾶσα πληθὺς νῦν μακρὰν* διασκορπίσθητε·* Τίς οὗτος,

βοῶντες, ὁ φθάνων* μετὰ ἰσχύος καὶ σῴζων* τοὺς ἀναμέλποντας·* Εὐλογημένος εἶ, Δημήτριε,* ὁ νικήσας τοὺς ἐχθρούς σου* δυνάμει Χριστοῦ.

Οὗτος ὁ λαμπρὸς καθ' ὁμοίωσιν Θεοῦ,* ὁδεύσας πᾶσαν ὁδὸν* ἀρετῆς, δέδωκε* τὴν αὐτοῦ ψυχὴν ὑπὲρ Χριστοῦ* καὶ μετὰ θάνατον βλύζει* πᾶσι τὰ μύρα πιστοῖς.* Εὐλογημένος εἶ, Δημήτριε,* ὁ συμμέτοχος τῆς δόξης* τοῦ Σωτῆρος Χριστοῦ.

Σκάνδαλα πάντα τί παράνομοι ἐχθροὶ* προσάγετε τοῖς πιστοῖς;* ὅλοι ταχεῖς ὑμεῖς* ἡμᾶς θανατῶσαι, δουλῶσαι·* ἀλλ' ἀφανίσθητε, σώζει* μάρτυς τοὺς μέλποντας·* Εὐλογημένος εἶ, Δημήτριε,* ἐν ὀνόματι Κυρίου,* ὁ φυλάσσων ἡμᾶς.

**Καταβασία·** Θεὸς Κύριος...

**Ἐξαποστειλάριον**
**Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν**

Δημήτριε πανθαύμαστε,* πανυπέρλαμπρε μάρτυς,* πανεύφημε παγκράτιστε,* ἀθλοφόρων τὸ κλέος,* τοὺς σὲ ὑμνοῦντας λύτρωσαι* πάσης βλάβης καὶ νόσου,* πάσης ὀργῆς καὶ θλίψεως* καὶ τὸν οἶκόν σου, ἅγιε,* τοῦτον τὸν σὸν* ταῖς εὐχαῖς σου φύλαττε, ἀθλοφόρε,* ἐκ τῶν βαρβάρων πάντοτε* καὶ παντοίας ἀνάγκης.

**Ἕτερον**
**Ἦχος γ΄. Ἐν Πνεύματι τῷ ἱερῷ**

Τοῖς ῥείθροις τῶν αἱμάτων σου* τῆς ἀπάτης τὴν φλόγα* ἀπέσβεσας, μακάριε,* καὶ τυράννων τὰ θράση* εἰς τέλος ἐξηφάνισας* καὶ Χριστὸν ἐδόξασας,* Δημήτριε ἀθλοφόρε,* ὅθεν στέφος ἐδέξω* ἀ-

φθαρσίας καὶ ζωῆς* ἐκ δεξιᾶς τοῦ δεσπότου.

**Θεοτοκίον ὅμοιον**
**Ποίημα Συμεὼν Θεσσαλονίκης**

Τῆς φοβερᾶς ἐτάσεως* ἐνθυμοῦμαι τὴν ὥραν,* τὰ πλήθη δὲ τῶν ἔργων μου* ἐξιστᾷ καὶ φοβεῖ με·* ἀλλ' οἴκτιρον, πανάχραντε,* τῇ θερμῇ πρεσβείᾳ σου* καὶ δός μοι τὴν σωτηρίαν,* ὅσα γὰρ θέλεις ἀνύεις,* ὡς γεννήσασα Θεόν,* εὐλογημένη Μαρία.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια τέσσαρα**
**Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι**

Λογχευθεὶς τὸν πολέμιον* σοῦ ταῖς λόγχαις κατέτρωσας* καὶ νεκρὸν ἐτέλεσας ἀνενέργητον,* οὗ τῆς κακίας, Δημήτριε,* ἡμᾶς ἀπολύτρωσαι,* ἰσχυροὺς κατὰ παθῶν* τυραννούντων ἑκάστοτε* ἐργαζόμενος* ἱεραῖς σου πρεσβείαις,* θείῳ φόβῳ* κατανύσσων τὰς καρδίας* καὶ τὰς ψυχὰς ἡμῶν, ἅγιε.

Ποταμόν σε πληρούμενον* τῶν ναμάτων τοῦ Πνεύματος* ἐπιγνόντες, ἅγιε, ἱκετεύομεν* τὰς ἐκτακείσας ψυχὰς ἡμῶν* παθῶν παραβάσεσι* συμπαθείᾳ σου πολλῇ* ἱερῶς καταδρόσισον* καὶ ἀπόπλυνον* ἐνυπάρχοντος ῥύπου* καὶ μυρίων* ἀπολύτρωσαι κινδύνων* καὶ αἰωνίου κολάσεως.

Ὡς ἀστὴρ φαεινότατος* ἐπὶ γῆς ἀναδέδειξαι* τῶν θαυμάτων λάμψεσι τὴν ὑφήλιον* καταλαμπρύνεις ἑκάστοτε,* Δημήτριε ἔνδοξε,* τῆς ἀχλύος σκοτασμὸν* ἐκδιώκων πρεσβείαις σου* τῶν ψυχῶν ἡμῶν* καὶ τὰς νόσους ἴασαι* τῶν ἐκ πόθου* ἐκτελούντων σου τὴν μνήμην,* κλέος μαρτύρων καὶ καύχημα.

Τῷ Σωτῆρι συνέπαθες* καὶ θανάτῳ τὸν θάνατον* ἑκουσίως, ἔνδοξε, μιμησάμενος,* συμβασιλεύεις λαμπρότατα,* πορφύραν ἐξ αἵματος* ἐνδυσάμενος φαιδρὰν* καὶ τῷ σκήπτρῳ τῶν ἄθλων σου* ἐγκοσμούμενος* καὶ στεφάνῳ τῆς νίκης* διαπρέπων* ἀπεράντους εἰς αἰῶνας,* μεγαλομάρτυς Δημήτριε.

Δόξα... **Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. β΄. Πρὸς τό· Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα**

Πρὸ τῶν ἡμερῶν τοῦ πάθους* ἦν ἐν τῇ εἱρκτῇ ὁ ἀθλοφόρος* καὶ προσῆλθεν αὐτῷ ὁ ἱερὸς βοῶν* Νέστωρ. πρὸς αὐτόν·* Ἔνδοξε, πῶς μέλλω* τὸν δεινὸν Λυαῖον βαλεῖν καιρίως;* ὁ δὲ ἐθάρρυνεν εἰπών·* Πορεύθητι πρὸς τὸ γυμνάσιον τοῦτο* καὶ εὑρήσεις με σύμμαχον* πρεσβεύοντα ὑπὲρ σοῦ πρὸς Κύριον* καὶ σημειώθητι σταυρῷ* καὶ ἐν τῷ συμπλακῆναι βόησον·* Ὁ Θεὸς Δημητρίου,* βοήθει μοι· καὶ θραύσεις* βαλὼν τὸν παλαμναῖον.

Καὶ νῦν... **Θεοτοκίον**

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·* σὲ ἱκετεύομεν,* πρέσβευε, δέσποινα,* μετὰ τοῦ ἀθλοφόρου* καὶ πάντων τῶν ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## ΤΗ͂ Κ΄ ΟΚΤΩΒΡΙΟΥ
## («ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ»)

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ Κύριε, ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἐξ**

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος**

Ὢ τοῦ παραδόξου θαύματος!* ἐν οὐρανῷ καὶ ἐν γῇ* ἀγαλλίαμα σήμερον* ἐν τῇ μνήμῃ ηὔγασται* Δημητρίου τοῦ μάρτυρος·* ἐκ τῶν ἀγγέλων ἐπαίνοις στέφεται* καὶ ἐξ ἀνθρώπων ᾄσματα δέχεται.* Ὢ οἷον ἤθλησε!* πῶς καλῶς ἠγώνισται!* δι' οὗ ἐχθρὸς* πέπτωκεν ὁ δόλιος,* Χριστοῦ νικήσαντος.

Ὢ τοῦ παραδόξου θαύματος!* ἡ δι' αἱμάτων βαφὴ* τῶν ἐξάθλων τοῦ μάρτυρος* ἁλουργὸν ἀμφίασμα* τῇ Ἐκκλησίᾳ γέγονεν·* ᾧ κοσμηθεῖσα ᾄδει χαρμόσυνα* τῷ νυμφοστόλῳ αὐτῆς κραυγάζουσα·* Ὢ τῶν ὡραίων σου* ἀρετῶν, Δημήτριε,* δι' ὧν Χριστοῦ* πέφηνας ὑπέρκαλλος* ἐραστής, ἔνδοξε.

Πάθει τὸ πάθος μιμούμενος* τὸ ζωηφόρον Χριστοῦ,* παρ' αὐτοῦ τὴν ἐνέργειαν* τῶν θαυμάτων εἴληφας,* ἀθλοφόρε Δημήτριε·* καὶ διασώζεις τοὺς σοὶ προστρέχοντας,* πολλῶν κινδύνων αὐτοὺς ῥυόμενος,* ἔχων εὐάρεστον* παρρησίαν, ἔνδοξε,* πρὸς τὸν Χριστόν,* ᾧ καὶ νῦν παρίστασαι,* δόξης πληρούμενος.

**Ἕτερα στιχηρὰ προσόμοια**
**Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι**

Προεόρτια ᾄσματα* οἱ πιστοὶ μελῳδήσωμεν* τῇ μνήμῃ τοῦ μάρτυρος Δημητρίου νῦν·* ἰδοὺ γὰρ ἔρχεται δέσμιος* τυράννου προστάγματι* ὡς κηρύξας τὸν Χριστὸν* καὶ αὐτοῦ ἐκμιμήσεται* τὸ μακάριον* καὶ σεβάσμιον πάθος* καὶ ἐκβλύσει* ἐκ πλευρᾶς εὐώδη μύρα,* ὃν εὐσεβῶς μεγαλύνομεν.

Ὁ λαμπρὸς μάρτυς ἔρχεται* τοῦ Χριστοῦ νῦν Δημήτριος* δεσμευθεὶς ὡς ἕτερος ὢν ἀπόστολος* καὶ τῷ τυράννῳ παρίστασθαι* μέλλει ὡς κατάκριτος* καὶ κηρύξει τὸν Χριστὸν* καὶ ἀθλήσει στερρότατα.* Οὐρανὸς καὶ γῆ,* Θετταλῶν τε ἡ πόλις,* τῆς ἐκείνου* καλλονῆς καὶ εὐωδίας* πεπληρωμένοι, εὐφραίνεσθε.

Ποταμόν σε γαλήνιον* καὶ πηγὴν μύρων ἔδειξε* μύρον τὸ ἀκένωτον ὁ Χριστός, σοφέ·* καὶ τίς ἀξίως ὑμνήσει σε,* Δημήτριε κάλλιστε,* τὸν παρθένον καὶ ἁγνὸν* καὶ εὐώδη, τὸν ἄμωμον,* τὸν ζηλώσαντα* τοῦ Χριστοῦ σου τὸ πάθος·* πλὴν ὡς τούτου* μιμητὴς φρούρει, παμμάκαρ,* πάντας πιστοὺς καὶ τὴν πόλιν σου.

Δόξα... **Ποίημα τοῦ Νύσσης**
**Ἦχος α΄**

Ἀγαλλιάσθω σήμερον* φαιδρῶς ἡ Χριστοῦ Ἐκκλησία* ἐν τῇ λαμπρᾷ μνήμῃ τῶν μαρτύρων* Δημητρίου τοῦ μάκαρος* καὶ Νέστορος τοῦ πανενδόξου·* ἄμφω γὰρ διὰ Χριστὸν τὸν Θεὸν ἡμῶν* τὰ σώματα αὐτῶν τῷ πυρὶ* τῶν βασάνων ἐκδεδοκό-

τες,* ἵνα τὸ πάχος τῶν δερματίνων* χιτώνων ἀποτεφρώσαντες,* τῇ περιβολῇ τῆς χάριτος* τὸν κατ' εἰκόνα πλασθέντα* ἄνθρωπον ἀνακομίσωνται,* συμμορφούμενοι τῷ Χριστῷ διὰ τοῦ πάθους* καὶ τῆς ἀναστάσεως αὐτοῦ* συμμέτοχοι γεγονότες,* πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... **Θεοτοκίον**

Τὴν παγκόσμιον δόξαν,* τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν* καὶ τὸν δεσπότην τεκοῦσαν,* τὴν ἐπουράνιον πύλην,* ὑμνήσωμεν Μαρίαν τὴν παρθένον,* τῶν ἀσωμάτων τὸ ᾆσμα* καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα·* αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς* καὶ ναὸς τῆς Θεότητος·* αὕτη τὸ μεσότειχον* τῆς ἔχθρας καθελοῦσα,* εἰρήνην ἀντεισῆξε* καὶ τὸ βασίλειον ἠνέῳξε.* Ταύτην οὖν κατέχοντες* τῆς πίστεως τὴν ἄγκυραν,* ὑπέρμαχον ἔχομεν* τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον.* Θαρσείτω τοίνυν,* θαρσείτω λαὸς τοῦ Θεοῦ·* καὶ γὰρ αὐτὸς* πολεμήσει τοὺς ἐχθρούς,* ὡς παντοδύναμος.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**
**Εἰς τὸν στίχον στιχηρὰ ἐκ τῶν κατ' ἀλφάβητον**
**Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. α΄. Αἱ ἀγγελικαὶ**

Αἱ μαρτυρικαὶ* προπορεύονται δυνάμεις,* οἱ ἐν συμφοραῖς* διαγγέλλετε τὰ πάθη·* ὁ μέγας γὰρ προστάτης* καὶ θαυμαστὸς Δημήτριος,* ὥσπερ ἰατρὸς ἐν παρρησίᾳ* τῇ εἰς Θεὸν θερμῇ δεήσει* πᾶσι δίδωσι* μετὰ ῥᾳστώνης ὧνπερ ἂν* καλῶς αὐτοῦ δέωνται.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Αἱ μαρτυρικαὶ* νῦν προδείκνυνται δυνάμεις,* οἱ ἐν ἀλγεινοῖς* νῦν προσέρχεσθε θαρρούντως·* ὁ μέγας γὰρ προστάτης* καὶ θαυμαστὸς Δημήτριος,* οἷά περ πατὴρ ἡμῖν παρέχει,* πᾶσι καλῶς ἀεὶ δωρεῖται,* ὧν ἂν δέησθε,* σὺν εὐθυμίᾳ καὶ χαρᾷ* ὑμῖν διδοὺς μέγιστα.

**Στίχ.** Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...

Αἱ Δαυϊτικαὶ* νῦν πεπλήρωνται προρρήσεις·* οἱ σπείροντες γὰρ* νῦν τὰ δάκρυα προθύμως* θερίζουσι δικαίως* τοὺς στεφάνους σὺν χάριτι,* ὥσπερ ὁ λαμπρὸς ἐν Ἐκκλησίᾳ* φανεὶς φωστὴρ δεδοξασμένος.* Λαοί, χαίρετε·* εὐλογημένος ὁ φανεὶς* σωτὴρ ἡμῶν μέγιστος.

Δόξα... **Ἦχος πλ. δ´**

Ἐκραταιώθη τῶν τοῦ Χριστοῦ μαρτύρων* κατ' ἐχθρῶν τὸ σύστημα,* ἐν οἷς ὡς φωστῆρες κοσμικοὶ διαλάμπουσιν* οἱ εὐσθενεῖς καὶ ἄριστοι ἀθλοφόροι* Δημήτριός τε καὶ Νέστωρ.* Τούτοις ἔκλινε τὰ νῶτα* ἡ πονηρὰ φάλαγξ τῶν δαιμόνων·* τούτοις ἐξεπλάγησαν τύραννοι* καὶ ἐθαύμασαν ἄγγελοι,* ὁρῶντες τὸν ἀσώματον* μετὰ σαρκὸς πατούμενον·* τῶν δὲ πιστῶν ἡ Ἐκκλησία* πανέορτον ἑορτὴν* καὶ κοσμικὴν χαρμονὴν* ἐπιτελοῦσα βοᾷ·* Ὁ ἐν ἀσθενείᾳ σαρκὸς* πεδήσας τὸν ἰσχυρόν,* ταῖς πρεσβείαις τῶν ἁγίων σου* σῶσον ἡμᾶς.

Καὶ νῦν... **Θεοτοκίον**

Ἀνύμφευτε παρθένε,* ἡ τὸν Θεὸν ἀφράστως

συλλαβοῦσα σαρκί,* μήτηρ Θεοῦ τοῦ ὑψίστου,* σῶν ἱκετῶν παρακλήσεις δέχου, πανάμωμε·* ἡ πᾶσι χορηγοῦσα* καθαρισμὸν τῶν πταισμάτων,* νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη,* δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Ἀπολυτίκιον. Ἦχος γ'**

Μέγαν εὕρατο...

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν...

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α' στιχολογίαν**
**Κάθισμα. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος α'. Τὸν τάφον σου, Σωτὴρ**

Ὡς φίλον σε Χριστοῦ,* ὡς θεράποντα θεῖον,* ὡς μάρτυρα στερρόν,* ὡς λαμπρὸν τροπαιοῦχον* γεραίρομεν τελοῦντες νῦν* ἑορτὴν προεόρτιον* πρὸ τῆς μνήμης σου* τῶν φιλεόρτων τὰ πλήθη,* ὅπως ἔχωμεν* σὲ πρὸς Θεὸν θερμὸν πρέσβυν,* Δημήτριε ἔνδοξε.

Δόξα...Καὶ νῦν...

**Θεοτοκίον. Ποίημα τοῦ αὐτοῦ**

Προστάτης ἐνεργὴς* ἀνεδείχθης τῷ ὄντι* ἡμῶν τῶν ταπεινῶν,* παναμώμητε κόρη,* ὡς μήτηρ χρηματίσασα* τοῦ Θεοῦ ὑπὲρ ἔννοιαν·* ὢ παράδοξον* καὶ ἀνερμήνευτον θαῦμα* βροτοῖς ἅπασι* καὶ τοῖς ἀγγέλοις ὁμοίως,* σιγῇ δὲ τιμώμενον.

**Μετὰ τὴν β' στιχολογίαν**
**Κάθισμα. Ὅμοιον**

Τοὺς μάρτυρας Χριστοῦ* εὐσεβῶς ἀνυμνοῦμεν,* ὡς Μαξιμιανοῦ* ἐκφαυλίσαντας δόγμα,* Δημήτριον καὶ Νέστορα,* τῆς τοῦ Λόγου σαρκώσεως,* Χριστοκήρυκας* καὶ μαθητὰς ἁλιέων* καὶ τὸν τύραννον* ὡς ἀδρανῆ καθελόντας* καὶ δόξαν παμβέβηλον.

Δόξα... Καὶ νῦν... **Θεοτοκίον**

Μητέρα σε Θεοῦ* ἐπιστάμεθα πάντες,* παρθένον ἀληθῶς* καὶ μετὰ τόκον φανεῖσαν,* οἱ πόθῳ καταφεύγοντες* πρὸς τὴν σὴν ἀγαθότητα·* σὲ γὰρ ἔχομεν* ἁμαρτωλοὶ προστασίαν,* σὲ κεκτήμεθα* ἐν πειρασμοῖς σωτηρίαν,* τὴν μόνην πανάμωμον.

**Μετὰ τὴν γ' στιχολογίαν**
**Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον**

Ἀπιστίας ὁμίχλην πολυπλανῆ* καὶ πολύθεον πλάνην ψυχοβλαβῆ* σαφῶς ἐκριζώσαντες* οἱ καλλίνικοι μάρτυρες* καὶ τοῖς πιστοῖς τὸν λόγον* τὸν ἔνθεον σπείραντες,* θεολογίας ὄμβροις* ψυχὰς καταρδεύοντες,* Δημήτριος καὶ Νέστωρ* οἱ φαιδροὶ μαργαρῖται,* τοῦ Λόγου τὴν σάρκωσιν* καὶ Θεοῦ συγκατάβασιν* διὰ σπλάγχνα οἰκτίραντος* τὸ φύραμα τοῦ γένους τῶν βροτῶν* καὶ πταισμάτων ἄφεσιν αἰτούμενοι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην αὐτῶν.

Δόξα... Καὶ νῦν...

**Θεοτοκίον. Αὐτόμελον**

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ* συλλα-

βοῦσα ἀφράστως, μήτηρ Θεοῦ,* τῷ κόσμῳ ἐκύησας* τὸν τὸν κόσμον κατέχοντα* καὶ ἐν ἀγκάλαις ἔσχες* τὸν πάντα συνέχοντα,* τὸν τροφοδότην πάντων* καὶ πλάστην τῆς κτίσεως.* Ὅθεν δυσωπῶ σε,* παναγία παρθένε,* ῥυσθῆναι πταισμάτων μου* ὅταν μέλλω παρίστασθαι* πρὸ προσώπου τοῦ κτίστου μου.* Δέσποινα παρθένε ἁγνή,* τὴν σὴν βοήθειαν τότε μοι δώρησαι* καὶ γὰρ δύνασαι πάντα* ὅσα θέλεις, πανάμωμε.

**Καὶ εὐθὺς** Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι...
**Εὐαγγέλιον μαρτυρικὸν**
**Ὁ ν΄ ψαλμός**

**Τριῴδιον, οὗ ἡ ἀκροστιχίς· «Τῇ Δευτέρᾳ». Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ὠδὴ α΄. Ἦχος β΄. Ὁ εἱρμὸς**

Τῷ τὴν ἄβατον* κυμαινομένην θάλασσαν* θείῳ αὐτοῦ προστάγματι* ἀναξηράναντι* καὶ πεζεῦσαι δι' αὐτῆς* τὸν Ἰσραηλίτην* λαὸν καθοδηγήσαντι,* Κυρίῳ ᾄσωμεν,* ἐνδόξως γὰρ δεδόξασται.

**Τροπάρια**

Τῷ τὴν ἄθεον* ἐγειρομένην θάλασσαν* θείῳ αὐτοῦ ἐν αἵματι* ἐξαφανίσαντι* καὶ ὁδεῦσαι κατ' αὐτῆς* τὸν στεφανηφόρον* ἰσχύσαντι Δημήτριον* Κυρίῳ ᾄσωμεν,* ἐνδόξως γὰρ δεδόξασται.

Ἡ ἀμέτρητος,* μάρτυς, Θεοῦ ταπείνωσις,* ἣν ὁ Χριστὸς ἐπτώχευσε* καὶ σὲ παρέπεισε* δι' αὐτὸν τὴν κοσμικὴν* δόξαν ἀποσείσασθαι* ἐν τῷ κηρύττειν τοῦτον* καὶ πάσχειν ὑπὲρ αὐτοῦ,* ἐνδόξως γὰρ δεδόξασται.

Διακονῆσαι* Χριστῷ ἐσπούδασας* καὶ τὴν μορφὴν τῆς ἑαυτοῦ* δόξης ἀπείληφας,* τῷ παθόντι συμπαθῶν* καὶ πλουτήσας θέωσιν,* θείς, ἀθλητά, δι' αὐτὸν* ψυχὴν εἰς θάνατον* καὶ ἀπαθὴς γενόμενος.

**Καταβασία·** Τῷ τὴν ἄβατον...

**Κοντάκιον. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. δ'. Πρὸς τό· Ὁ Ἰακὼβ ὠδύρετο**

Ὡς Ἰακὼβ σε δεύτερον* σοῦ τὸν ἐχθρὸν πτερνίσαντα,* ὡς Ἰωσὴφ τε τιμῶμεν τὸν σώφρονα* τῶν παθῶν βασιλεύσαντα·* τῇ ἁμαρτίᾳ γάρ, μάρτυς,* μὴ δουλωθεὶς καὶ τῇ πλάνῃ,* μάκαρ, ἔλαβες* παρὰ τοῦ νέμοντος* πρὸς τοὺς ἀγῶνας τὴν χάριν, Δημήτριε,* καὶ στέφος ἄφθαρτον.

**Ὠδὴ η'. Ὁ εἱρμὸς**

Ἔφριξε παίδων εὐαγῶν* τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα* καὶ εἶξε τὸ τραφὲν* ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ·* ἀειζώου δὲ ἐκμαρανθείσης φλογός,* διαιωνίζων ὕμνος ἀνεμέλπετο·* Τὸν Κύριον, πάντα τὰ ἔργα, ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Τροπάρια**

Ἔφριξε λόγων ἱερῶν* τὸ σοφώτατον τῶν σῶν τύραννος, μάρτυς,* καὶ τίθησι φρουρᾷ,* ἐν αὐτῇ τε σφάττει σε λόγχαις δεινῶς·* ἀκηράτου δὲ ἐκτετρωμένης πλευρᾶς* σοῦ θαυμασίως μύρα ἀναβλύζουσι* τοῖς μέλπουσι· Πάντα τὰ ἔργα ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑμᾶς μου φίλους ἀληθεῖς* τότε γνώσομαι,

εἰ τὸν ἐμὸν ἐκ ψυχῆς* ποθήσετε Χριστόν·* τοῖς πολίταις ἔφη ὁ μάρτυς ἀθλῶν·* συμφωνήσατε ἐν τῇ ἐνθέῳ πίστει* κἀμὲ ὁρῶντες πάσχοντα διδάχθητε,* τὸν Κύριον γινώσκοντες τῶν ἁπάντων* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Τάξεως ἔμπαλιν φθαρτῆς* τοῦ Χριστοῦ ἐστιν ἡ πίστις, ὁμογενεῖς·* ὁ κλῆρος γὰρ αὐτοῦ* παρορᾷ τὰ κάτω ὡς πρόσκαιρα·* ὁ οὖν μέτοχος τοῦ Χριστοῦ εἶναι θέλων* τὰ πάντα ῥίψας ἐμὲ μιμησάμενος,* ὁ μάρτυς ἐκβοᾷ, ὑμνείτω* καὶ ὑπερυψούτω* Χριστὸν εἰς τοὺς αἰῶνας.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἔφριξε παίδων εὐαγῶν...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Ἐμεγάλυνας, Χριστέ,* τὴν τεκοῦσάν σε Θεοτόκον,* ἀφ' ἧς ὁ πλάστης ἡμῶν* ὁμοιοπαθὲς περιέθου σῶμα,* τὸ τῶν ἡμετέρων* λυτήριον ἀγνοημάτων·* ταύτην μακαρίζοντες,* πᾶσαι γενεαὶ σὲ μεγαλύνομεν.

**Τροπάρια**

Ῥύπον, μάρτυς, ἐκ ψυχῆς* βδελυξάμενος ἁμαρτίας,* Χριστοῦ τῆς ἀφθαρσίας* δόξαν ἐκομίσω ἀείζωον,* ἣν ἐκ τῶν λειψάνων* προχέεις ἅπασιν ἀφθόνως·* διό σε δοξάζομεν,* μέγιστε ἐν μάρτυσι Δημήτριε.

Ἀφορῶντες πρὸς ἐμέ,* κράζεις, ἔνδοξε, τοῖς εὐσεβέσιν ἀεί,* μὴ ποθεῖτε τὰ φθαρτά,* ἀλλὰ τὰ

οὐράνια καὶ ἀσινῆ·* ἐμῆς ὅθεν πάντες* μέτοχοι γενήσεσθε δόξης* καὶ τῆς ἀφθαρσίας δὲ* σὺν ἐμοὶ Χριστοῦ ἀξιωθήσεσθε.

**Καταβασία·** Ἐμεγάλυνας, Χριστέ...

**Ἐξαποστειλάριον. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος γ΄. Τὸν νυμφῶνά σου βλέπω**

Ὡς νυμφῶνα ὁρῶ σου* τὸν τάφον, Δημήτριέ μου,* καὶ τρέμω προσεγγίσαι* ῥερυπωμένος·* ἔκπλυνόν με καὶ καθάρισον σύ* καὶ τοῦ μύρου σου πλήρωσον.

**Θεοτοκίον**

Ὁ γλυκασμὸς τῶν ἀγγέλων,* τῶν θλιβομένων ἡ χαρά,* χριστιανῶν ἡ προστάτις,* παρθένε μήτηρ Κυρίου,* ἀντιλαβοῦ μου καὶ ῥῦσαι* τῶν αἰωνίων βασάνων.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια κατ᾽ ἀλφάβητον τέσσαρα. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. β΄. Αἱ ἀγγελικαὶ**

Ἄπασα ψυχὴ* ἐπευφραίνεται καὶ μέλπει,* κλέος ἀθλητῶν,* τὸν δοξάσαντα ἐν γῇ σε* καὶ ἐν τοῖς οὐρανίοις,* ἀθλοφόρε Δημήτριε,* σοῦ γὰρ τῇ σορῷ τῇ θαυμασίᾳ* οἱ ἠξιωμένοι προσεγγίσαι,* τῆς τῶν μύρων σου* θείας πληρούμενοι ὀσμῆς,* Χριστὸν μεγαλύνουσι.

Βάθρον καὶ κρηπὶς* ἀνεδείχθης εὐσεβείας* λόγοις ἱεροῖς* καὶ τοῖς ἄθλοις σου, παμμάκαρ,* καὶ μετὰ τέλος πάλιν* τοῖς ἀμέτροις σου θαύμασι* καὶ τοῖς ἀναβλύζουσιν ἐκ τάφου* ἀπαύστοις μύροις σου,

θεόφρον,* οἷς, Δημήτριε,* πᾶσα στηρίζεται ψυχὴ* πιστῶν καὶ δοξάζει σε.

Γένους γηγενῶν* ἐκφυεὶς τοῦ φθειρομένου,* γέγονας υἱὸς* τοῦ ἀφθάρτου Πατρός, μάρτυς,* καὶ ὡς ἀθανασίας* ὁ Θεὸς πηγὴ πέφυκεν,* οὕτω καὶ αὐτὸς ἀφθάρτων μύρων* ἄπαυστος, σοφέ, βρύσις ὑπάρχεις,* ἐκ τοῦ σώματος* ῥέων αὐτὰ διηνεκῶς,* δι' ὧν ἡμᾶς εὔφρανον.

Δόξης θεϊκῆς* ἐπληρώθης ἐν ὑψίστοις* καὶ ταῖς νοεραῖς* θείαις τάξεσιν ὑπάρχεις* τῷ Πνεύματι συγχαίρων,* ἀθλοφόρε Δημήτριε,* ἀλλὰ καὶ ἐν γῇ πολλῆς πληροῦται* τὸ θεῖον σκῆνός σου τῆς δόξης,* χάριν ἄφθαρτον* καὶ μύρα βλύζον τοῖς πιστοῖς,* οἵ πιστῶς σε μέλπομεν.

Δόξα... **Ποίημα Ἰωάννου τοῦ Σταυρακίου**
**Ἦχος πλ. α'. Πρὸς τό· Ὅπου ἐπισκιάσῃ**

Ὅπου ἐπικληθήσῃ,* παμμέγιστε Δημήτριε,* ἐκεῖθεν ἐκδραπετεύει* πολεμικὴ παράταξις·* οὐ φέρει γὰρ* τῷ σῷ κράτει προσμένειν,* ἀλλὰ τάχιστα πίπτει.* Διὸ αἰτοῦμέν σε·* τὰ πυρφόρα ἐθνῶν βέλη* τὰ καθ' ἡμῶν κινούμενα* ἀπόσβεσον, τῇ στρατηγίᾳ σου* λυτρούμενος ἡμᾶς* ἐκ πολεμίων ἐθνῶν,* τὸ κραταίωμα* Θετταλῶν καὶ καύχημα.

Καὶ νῦν... **Θεοτοκίον**

Μακαρίζομέν σε,* Θεοτόκε παρθένε,* καὶ δοξάζομέν σε* οἱ πιστοὶ κατὰ χρέος·* τὴν πόλιν τὴν ἄσειστον,* τὸ τεῖχος τὸ ἄρρηκτον,* τὴν ἀρραγῆ προστασίαν* καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## ΤΗ ΚΑ΄ ΟΚΤΩΒΡΙΟΥ
## («ΜΕΓΑΛΗ ΤΡΙΤΗ»)

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ 'Κύριε, ἐκέκραξα' ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἓξ**

**Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος δ΄. Ὁ ἐξ ὑψίστου κληθεὶς**

Ὁ τῶν μαρτύρων λαμπτὴρ καὶ ταξιάρχης,* ὁ μέγιστος πρόμαχος* τῆς Ἐκκλησίας Χριστοῦ,* ὁ πρὸ τῶν ἄθλων ἀήττητος* ἁγνείας ἄθλοις* καὶ ἀρετῶν πασῶν ἀγωνίσμασιν,* ὁ μέγας διδάσκαλος τῶν μυστηρίων Χριστοῦ,* ὁ δι' αἱμάτων καὶ πόνων τε* καὶ τῆς σφαγῆς σου* ἀντιδοξάσας τὸν σὲ δοξάσαντα,* χαῖρε καὶ θραῦσον* τὰ φρυάγματα τῶν ἀθέων, παμμάκαρ Δημήτριε,* καὶ τὴν ποίμνην σου σῶζε* ἐκ παντοίας περιστάσεως.

Ὁ στρατηγέτης τοῦ μόνου βασιλέως,* ἐχθροῦ τὸ βασίλειον* ὁ τροπωσάμενος,* ὁ ἐν εἱρκτῇ βληθεὶς δέσμιος* καὶ τὸν Λυαῖον* καὶ τὸν σκορπίον θραύσας πρεσβείαις σου·* ὁ πᾶσαν τὴν ῥέουσαν* καταπατήσας τρυφὴν* καὶ ἑλκυσμούς τε καὶ κάθειρξιν* καθυπομείνας* καὶ ἐκκεντήσεις πλευρᾶς καὶ θάνατον·* φρούρει λιταῖς σου* καὶ περίσωζε τοὺς τιμῶντάς σε πίστει, Δημήτριε,* καὶ παντοίας ἀνάγκης* καὶ κινδύνων ἐλευθέρωσον.

Θεσσαλονίκης ὁ φύλαξ τε καὶ ῥύστης* καὶ βλάστημα κάλλιστον* καὶ ἐγκαλλώπισμα,* πιστῶν ἀνά-

κτων ὁ πρόμαχος,* ὁ τῶν ποιμένων* καὶ διδασκάλων συνεργὸς μέγιστος,* θαυμάτων ἡ θάλασσα,* τῶν θείων μύρων πηγή,* τῶν αἰχμαλώτων ἀνάρρυσις,* νοσούντων ῥῶσις,* ἐχθρῶν ἀθέων διώκτης ἄριστος,* χαῖρε καὶ δίδου* τοῖς ὑμνοῦσί σε σωτηρίαν καὶ χάριν, Δημήτριε,* καὶ εἰρήνην εὐχαῖς σου* καὶ πταισμάτων ἀπολύτρωσιν.

**Ἕτερα στιχηρὰ προσόμοια**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων**

Τὸν θεῖον ὄντως ὁπλίτην* καὶ μιμητὴν τοῦ Χριστοῦ,* τὸ τῆς ἁγνείας κάλλος,* τὴν πηγὴν τῶν θαυμάτων,* Δημήτριον τὸν μέγαν,* πάντες πιστοί,* ἐν ᾠδαῖς εὐφημήσωμεν,* ἁγιαζόμενοι σώματα καὶ ψυχὰς* ἐν τῇ μνήμῃ τῆς ἀθλήσεως.

Χαίρει πληθὺς τῶν ἀγγέλων* καὶ ἀθλητῶν οἱ χοροὶ* ἐπὶ τῇ θείᾳ μνήμῃ* σοῦ, Δημήτριε μάρτυς·* ἀθλήσας γὰρ γενναίως,* ὡς ἀληθῶς,* ἐξεφαύλισας τύραννον* καὶ τὸ πανύμνητον ὄνομα τοῦ Χριστοῦ* καὶ τὴν πίστιν ὑπερύψωσας.

Καὶ οἱ ποθοῦντές σε, μάρτυς,* χαίρομεν πνεύματι,* τελοῦντες τὴν σὴν μνήμην,* ὦ Δημήτριε μάκαρ* καὶ πίστει ἐκθειάζοντες τὴν πληθὺν* τῶν θαυμάτων σου, ἅγιε,* καὶ προσκυνοῦντες εἰκόνα σου τὴν σεπτήν,* χάριν θείαν ἀρυόμεθα.

Δόξα... **Ἦχος πλ. δ΄**

Τῶν ἀθλητῶν τὸ κλέος* καὶ τῶν εὐσεβῶν οἱ προστάται καὶ πρόμαχοι,* δυὰς ἡ πανένδοξος* καὶ τῆς θεαρχικῆς Τριάδος τὸ ζεῦγος,* Δημήτριος ὁ

πανεύφημος* καὶ Νέστωρ ὁ θεόληπτος,* τῇ πίστει τοῦ ἐν σταυρῷ* καθηλωθέντος ὑπὲρ ἡμῶν* Χριστοῦ θωρακισθέντες,* τὴν πολύθεον κατηδάφισαν* πλάνην τοῦ ἐχθροῦ* καὶ τοῖς ποσὶ καταβαλόντες,* τὴν Τριάδα πᾶσιν ἐκήρυξαν·* καὶ νῦν παριστάμενοι τῷ θρόνῳ* τῆς μεγαλωσύνης Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,* αἰτοῦνται παρ' αὐτοῦ* εἰρήνην τὸ κόσμῳ* καὶ ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Καὶ νῦν... **Θεοτοκίον**

Ὁ βασιλεὺς τῶν οὐρανῶν* διὰ φιλανθρωπίαν* ἐπὶ τῆς γῆς ὤφθη* καὶ τοῖς ἀνθρώποις συνανεστράφη·* ἐκ παρθένου γὰρ ἁγνῆς* σάρκα προσλαβόμενος* καὶ ἐκ ταύτης προελθὼν* μετὰ τῆς προσλήψεως,* εἷς ἐστιν Υἱὸς* διπλοῦς τὴν φύσιν,* ἀλλ' οὐ τὴν ὑπόστασιν·* διὸ τέλειον αὐτὸν Θεὸν* καὶ τέλειον ἄνθρωπον* ἀληθῶς κηρύττοντες,* ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν·* ὃν ἱκέτευε, μήτηρ ἀνύμφευτε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**
**Εἰς τὸν στίχον στιχηρὰ προσόμοια**
**Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ**

Ἔχομέν σε πολλῶν* δοτῆρα χαρισμάτων,* θεράπον τοῦ Κυρίου,* πληρεῖς γὰρ τὰς αἰτήσεις,* ἃς ἔχομεν ἑκάστοτε.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Κάλλος τῶν ἀθλητῶν,* εὐπρέπεια μαρτύρων,* τῶν ἀνακτόρων φύλαξ,* δέχου νυνὶ τὸν αἶνον* τῶν πόθῳ δοξαζόντων σε.

**Στίχ.** Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου...

Λόγιε ἀθλητά,* φιλάνθρωπε τὸν τρόπον,* ἐξαίρετε τὴν πίστιν,* ἀπόλαβε τῶν ἄνω,* ὑπὲρ ἡμῶν δεόμενος.

Δόξα... **Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος δ'**

Δεῦτε, ἅπαντες πιστοί,* τὴν τοῦ ἀθλοφόρου Δημητρίου μνήμην* προεορτάσωμεν πόθῳ,* φύσει οὖσαν μετ' ἐγκωμίων,* ὡς ἔφη Σολομών,* καὶ χαρμονὴν λαῶν* ἀκατάληκτον,* τὴν ὡς μαγνήτης λίθος τὸν σίδηρον* τοὺς φιλεόρτους ἡμᾶς ἐφελκύσασαν σήμερον,* οὐ πάλαις, οὐ δρόμοις* κατεπειγομένους τιμῆσαι αὐτήν,* ἀλλὰ τῇ τοῦ μάρτυρος ἐνθέῳ μιμήσει* πρὸς τὰ τῷ Θεῷ φίλα τε καὶ εὐάρεστα* καὶ ἡμῖν σωτήρια,* ἵνα τῇ προαιρέσει μάρτυρες γενόμενοι,* τῶν αὐτῶν ἐκείνῳ ἀξιωθῶμεν μισθῶν* παρὰ Χριστοῦ τοῦ Θεοῦ* καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... **Θεοτοκίον**

Ἀνύμφευτε παρθένε,* ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί,* μήτηρ Θεοῦ τοῦ ὑψίστου,* σῶν οἰκετῶν παρακλήσεις δέχου, πανάμωμε·* ἡ πᾶσι χορηγοῦσα* καθαρισμὸν τῶν πταισμάτων,* νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη,* δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Ἀπολυτίκιον. Ἦχος γ'**

Μέγαν εὕρατο...

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν...

**Μετὰ τὴν α΄ στιχολογίαν κάθισμα**
**Ἦχος δ΄. Ὁ ὑψωθεὶς**

Παραταξάμενοι στερρῶς, ἀθλοφόροι,* κατὰ τῆς πλάνης τοῦ λαλοῦντος εἰς ὕψος* τὴν ἀδικίαν ἄθεσμον* τοῦ Μαξιμιανοῦ,* δαίμοσιν κελεύσαντος* πονηροῖς ἐπιθῦσαι,* ὃν καὶ κατῃσχύνατε* λογικῶς παριστῶντες* προσκυνητὸν μὲν εἶναι τὸν Χριστὸν* σὺν τῷ Πατρὶ* καὶ τῷ ἁγίῳ Πνεύματι.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον**

Οὐ σιωπήσωμεν ποτέ, Θεοτόκε,* τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας* τὰ σὰ ἐλέη, δέσποινα,* ἡ δοῦλοί σου,* κράζοντες καὶ λέγοντες·* Παναγία παρθένε,* πρόφθασον καὶ λύτρωσαι* ἐξ ἐχθρῶν ἀοράτων* καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς,* σοὺς γὰρ δούλους σώζεις* ἀεὶ ἐκ παντοίων δεινῶν.

**Μετὰ τὴν β΄ στιχολογίαν**
**Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ**

Ὡς γενναῖον ἀθλητὴν* καὶ στρατιώτην κραταιὸν* τοῦ παντάνακτος Χριστοῦ,* ἀναβοῶμεν ψαλμικῶς·* Χαίροις μαρτύρων ὡραΐσμα καὶ τερπνότης·* Χαίροις ὁ φαιδρὸς τῆς Ἐκκλησίας ἀστὴρ* καὶ τεῖχος καὶ λιμὴν τῶν προσφευγόντων εἰς σέ,* μεγαλομάρτυς ἔνδοξε Δημήτριε,* τοὺς σὲ ὑμνοῦντας περίσωζε* ἐκ πάσης βλάβης* τοῦ ἀλλοτρίου* καὶ κακώσεως λύτρωσαι.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον αὐτόμελον**

Κατεπλάγη Ἰωσὴφ* τὸ ὑπὲρ φύσιν θεωρῶν*

καὶ ἐλάμβανεν εἰς νοῦν* τὸν ἐπὶ πόκον ὑετὸν* ἐν τῇ ἀσπόρῳ συλλήψει σου, Θεοτόκε,* βάτον ἐν πυρὶ ἀκατάφλεκτον,* ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν·* καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ,* τοῖς ἱερεῦσιν ἐκραύγαζε·* Παρθένος τίκτει* καὶ μετὰ τόκον* πάλιν μένει παρθένος.

**Μετὰ τὴν γ΄ στιχολογίαν κάθισμα**
**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον**

Τοῖς προσώποις Τριάδα θεολογῶν* καὶ μονάδα τῇ φύσει θεηγορῶν* Δημήτριος ὁ πάνσοφος,* τὸν Θεὸν ἀνεκήρυξε,* πολυθεΐας δόγμα* ὁ Νέστωρ ἐσάλευσε* καὶ τῆς Τριάδος ἕνα* σαρκούμενον ἔδειξεν·* ἄμφω γὰρ σωμάτων* ἀλογήσαντες ὄντως* τοὺς ἄθλους διήνυσαν* καὶ στεφάνους ἐδέξαντο* ἐκ χειρὸς τοῦ παντάνακτος·* πρεσβεύουσι καὶ νῦν τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι* δωρηθῆναι τοῖς πόθῳ* τελοῦσι τὴν μνήμην αὐτῶν.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον**

Ὁ τῶν ὅλων δεσπότης καὶ ποιητὴς* ἐξ ἀχράντου σου μήτρας σάρκα λαβών,* προστάτιν σε ἔδειξε* τῶν ἀνθρώπων, πανάμωμε·* διὰ τοῦτο πάντες* πρὸς σὲ καταφεύγομεν,* ἱλασμὸν πταισμάτων* αἰτούμενοι, δέσποινα* καὶ αἰωνιζούσης* λυτρωθῆναι βασάνου* καὶ πάσης κολάσεως* τῆς ἐκεῖσε, δεόμεθα,* ἵνα πίστει βοῶμέν σοι·* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τοῦ δοθῆναι* πᾶσι, κόρη, ἄφεσιν* τοῖς πιστῶς προσιοῦσι* τῇ σκέπῃ σου.

**Καὶ εὐθὺς** Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι...

**Εὐαγγέλιον μαρτυρικόν**

**Ὁ ν΄ ψαλμός**

**Καὶ εὐθὺς τὸ κοντάκιον**

**Ἦχος β΄. Τὰ ἄνω ζητῶν**

Τὸν νοῦν πρὸς ἐχθροὺς* ἀνδρείως παρετάξασθε,* τὴν πᾶσαν αὐτῶν* ἀπάτην καταλύσαντες* καὶ τὴν νίκην ἄνωθεν* εἰληφότες, μάρτυρες πανεύφημοι,* ὁμοφρόνως ἐκράζετε·* Καλὸν καὶ τερπνὸν* τὸ συνεῖναι Χριστῷ.

**Ὁ οἶκος**

Ἐν οὐρανοῖς, Χριστέ, κατοικοῦντες* Δημήτριός τε καὶ Νέστωρ* καὶ τοῦ θείου φωτὸς ἐμφορούμενοι,* ἐμὲ τὸν ἐν τῷ σκότει τῆς ἀγνωσίας πορευόμενον* προφθάσειαν διὰ τάχους* καὶ τῶν παθῶν ἀφαρπάσειαν,* μόνε ἀθάνατε,* στολὴν τῆς ἀφθαρσίας καταπέμποντες,* ὅπως λευχειμονῶν,* τὴν φωτοφόρον αὐτῶν ἑορτὴν ἀνυμνῶ* καὶ κραυγάζω σοι, Κύριε·* Καλὸν καὶ τερπνὸν* τὸ συνεῖναι Χριστῷ.

**Διῴδιον, οὗ ἡ ἀκροστιχίς· «Τρίτῃ τε». Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ὠδὴ η΄. Ἦχος β΄. Ὁ εἱρμός**

Τῷ δόγματι τῷ τυραννικῷ* οἱ ὅσιοι τρεῖς παῖδες μὴ πεισθέντες,* ἐν τῇ καμίνῳ βληθέντες,* Θεὸν ὡμολόγουν ψάλλοντες·* Εὐλογεῖτε, τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

**Τροπάρια**

Τῷ δόγματι τῷ τυραννικῷ* Δημήτριος ὁ μέγας μὴ ὑπείξας,* ἐν τῇ φρουρᾷ καθειρχθεὶς* τὸν Χρι-

στὸν ἀνυμνῶν ἐκραύγαζεν·* Εὐλογεῖτε, τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

Ῥαθυμίαν ῥίψωμεν μακρὰν* καὶ σπεύσωμεν ὡς λαμπάσι τοῖς ὕμνοις* τῷ καθαρῷ ἀθλητῇ* τοῦ Χριστοῦ ὑπαντῆσαι ψάλλοντες·* Εὐλογεῖτε, τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

Ἱκανόν σοι δῶρον ἐκ Θεοῦ* ψυχῆς τὸ φῶς καὶ τὰ μύρα τοῦ σκήνους,* ἅπερ παρέχεις ἀφθόνως* ἡμῖν ὡς πλοῦτον, Δημήτριε·* Εὐλογεῖτε, βοῶσι,* τὰ ἔργα, τὸν Κύριον.

Τὸ τάλαντον λόγου θεϊκοῦ* δεξάμενος πολλαπλάσιον, μάρτυς,* θείᾳ δυνάμει εἰργάσω* Χριστοῦ, πολλοὺς σώσας λόγοις σου·* Εὐλογεῖτε, βοῶντας,* τὰ ἔργα, τὸν Κύριον.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Τῷ δόγμ.τι τῷ τυραννικῷ οἱ ὅσιοι...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Ἡ τὸν ἀχώρητον Θεὸν* ἐν γαστρὶ χωρήσασα* καὶ χαρὰν τῷ κόσμῳ κυήσασα·* σὲ ὑμνοῦμεν,* παναγία παρθένε.

**Τροπάρια**

Τοὺς μαθητὰς τοὺς ἱεροὺς* γρηγορῶν ἐζήλωσας,* καταγγέλλων πᾶσι τὸν Κύριον* καὶ γενναίως* ἐναθλῶν ὑπὲρ τούτου.

Ἐν τῇ ἐλεύσει τοῦ Χριστοῦ* ὡς μεσίτης μέγιστος,* ἀθλητά, τὴν ποίμνην σου λύτρωσαι* τῆς ἐσχάτης* κατακρίσεως, μάρτυς.

**Καταβασία·** Ἡ τὸν ἀχώρητον Θεόν...

**Ἐξαποστειλάριον. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος γ΄. Τὸν νυμφῶνά σου βλέπω**

Ὡς νυμφῶνα ὁρῶ σου* τὸν τάφον, Δημήτριέ μου,* καὶ τρέμω προσεγγίσαι* ῥερυπωμένος·* ἔκπλυνόν με καὶ καθάρισον σὺ* καὶ τοῦ μύρου σου πλήρωσον.

**Θεοτοκίον**

Ὁ γλυκασμὸς τῶν ἀγγέλων,* τῶν θλιβομένων ἡ χαρά,* χριστιανῶν ἡ προστάτις,* παρθένε μήτηρ Κυρίου,* ἀντιλαβοῦ μου καὶ ῥῦσαι* τῶν αἰωνίων βασάνων.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἐκ τῶν κατ᾽ ἀλφάβητον τέσσαρα**
**Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. β΄. Αἱ ἀγγελικαὶ**

Ἐπὶ τοῦ σταυροῦ* δι᾽ ἡμᾶς τὸν νεκρωθέντα* καὶ λόγχῃ πλευρὰν* μετὰ νέκρωσιν τρωθέντα,* σὺν ὕδατι δὲ αἷμα* ἐξ αὐτῆς ἀναβλύσαντα,* μάρτυς, ἀγαπήσας καὶ ζηλώσας* καὶ τῇ πλευρᾷ λελογχευμένος* μύρα πάντοτε* βλύζεις, Δημήτριε, ἡμῖν,* οἵ σε μεγαλύνομεν.

Ζῇς ὡς ἀληθῶς* μετὰ θάνατον, παμμάκαρ,* καθὼς ὁ Χριστός,* ᾧ ἐπίστευσας, προέφη·* «Ὁ εἰς ἐμὲ πιστεύων* οὐ μὴ ὄψεται θάνατον»,* ὅπερ καὶ ὁ τάφος σου πιστοῦται* μύρα ἀναβλύζων ἀεννάως,* τοῦ σοῦ σώματος* νεκροῦ κειμένου καὶ ζωήν,* Δημήτριε, βρύοντος.

Ἤκουσται φρικτὰ* καὶ ἐξαίσια πολλάκις* καὶ παυθέντα πρὶν* μόνον ᾄδεται τῷ κόσμῳ·* σοῦ δὲ τὸ

ξένον θαῦμα* καὶ ἠκούσθη καὶ ᾄδεται* καὶ τρανῶς ὁρᾶται καθ' ἑκάστην* καὶ καταγγέλλεται τῷ κόσμῳ,* ὦ Δημήτριε,* βλύζον τὰ μύρα ἀπὸ σοῦ* καὶ χάριν ἀκένωτον.

Θέαμα καινὸν* τὰ ἀόρατα κηρῦττον,* κλέος ἀθλητῶν,* ὁ σὸς τάφος χρηματίζει·* πλήρης γὰρ εὐωδίας* ἀνεκφράστου καὶ τέρψεως* καὶ πλήρης ναμάτων ζωηρρύτων* ξένως ἐκ τούτου πηγαζόντων* ἀναδείκνυται·* εἰ οὖν τοιαῦτα τὰ ἐν γῇ,* τίνα τὰ οὐράνια;

Δόξα...

**Ἦχος βαρύς. Πρὸς τό· Σήμερον γρηγορεῖ**

Τέτρωται τῆς πλευρᾶς σου* ταῖς λόγχαις ὁ ἐχθρός, ὦ Δημήτριε* τοῦ Χριστοῦ ὁπλίτα,* καὶ πνίγεις αἱμάτων* φάλαγγας δαιμόνων* τοῖς ῥείθροις σου, μάρτυς.* Σήμερον ταῖς νίκαις σου* λαμπρύνεται, Χριστώνυμε,* ἡ πληθὺς τῶν πιστῶν* καὶ στέφανον ἡ Ἐκκλησία δέχεται,* εὐφροσύνως ᾄδουσα* τοὺς ἄθλους, τοὺς πόνους* τῶν καμάτων σου.

Καὶ νῦν... **Θεοτοκίον**

Εἰρήνευσον,* πρεσβείαις τῆς Θεοτόκου,* τὴν ζωὴν ἡμῶν τῶν βοώντων σοι·* Ἐλεῆμον Κύριε, δόξα σοι.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## ΤΗ ΚΒ' ΟΚΤΩΒΡΙΟΥ
## («ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ»)

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ 'Κύριε, ἐκέκραξα' ἱστῶμεν στίχους ς´ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἕξ**

**Ἦχος β´. Ποίοις εὐφημιῶν**

Ποίοις οἱ γηγενεῖς χείλεσιν* ἀνυμνήσωμεν τὸν ἀθλοφόρον* καὶ σημειοφόρον Δημήτριον,* τοῦ Χριστοῦ τὸ στόμα τὸ ἅγιον,* τὸν φαιδρὸν Κυρίου στρατιώτην;* Ἀγάλλου Θεσσαλονίκης ἡ μητρόπολις,* εὐφραίνου τῶν Μακεδόνων ἡ περίχωρος,* μεγαλαυχοῦσα τῇ δόξῃ* τῶν πολλῶν θαυμάτων* τοῦ θερμοῦ προστάτου ἡμῶν,* δι' οὗ πάσης θλίψεως* καὶ νόσων ἀπολυτρούμεθα.

Ποίοις οἱ γηγενεῖς ὄμμασι* τὴν πανθαύμαστον τοῦ στεφηφόρου* παναγίαν λάρνακα βρύουσαν* τὸ εὐῶδες μύρον κατίδωμεν* Δημητρίου τοῦ ὑπερενδόξου,* πελάγη καὶ ποταμοὺς ἀποξηραίνουσαν,* πταισμάτων καὶ νόσων βλάβην ἐκδιώκουσαν,* δαιμονικῆς τυραννίδος* καὶ παντὸς κινδύνου λυτρουμένην,* ἣν ὁ Χριστὸς ἀξίως ἐδόξασεν,* ὁ ἔχων τὸ μέγα ἔλεος.

Τίνα τὰ φοβερὰ ᾄσματα,* ἃ συνάδεις ἀγγέλοις, Κυρίῳ* παρεστώς, παμμάκαρ Δημήτριε,* ὅθεν ἐποπτεύεις τοὺς κάμνοντας,* φυγαδεύεις τε νόσους καὶ πάθη,* τὸ κλέος Θεσσαλονίκης καὶ τὸ καύχημα,* ὁ στύλος τῆς Ἐκκλησίας ὁ ἀσάλευτος,* ἡ παμφαὴς μυροθήκη,* ὁ θερμὸς προστάτης* τῶν ἐν θλίψεσιν,

ἀναγκῶν* ποικίλων ἐξάρπασον* τοὺς πόθῳ ἀνευφημοῦντάς σε.

**Ἕτερα στιχηρὰ προσόμοια**
**Ἦχος α΄. Πανεύφημοι μάρτυρες**

Νέστορ καὶ Δημήτριε ὑμᾶς* ὁ τῆς δόξης Κύριος* κατακοσμήσας ταῖς χάρισι* ταῖς τῶν ἰάσεων,* θαυμαστοὺς ἐν κόσμῳ* εὐκλεῶς ἀνέδειξε,* νοσοῦντας δι' ὑμῶν θεραπεύων ἀεί,* διὸ πρεσβεύσατε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Νέστορ καὶ Δημήτριε ὑμεῖς* ἐπὶ γῆς ἀθλήσαντες,* ἐν οὐρανοῖς συγχορεύετε,* σὺν ἀσωμάτοις γὰρ* ἀεὶ παρεστῶτες* τῇ Τριάδι, ἅγιοι,* καὶ δόξῃ ἐντρυφῶντες ἀγάλλεσθε,* διὸ πρεσβεύσατε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Νέστορ καὶ Δημήτριε, ὑμεῖς* τοῦ ἐχθροῦ τὴν ἔνστασιν* ἀνδρείως ἄμφω ἐλύσατε* καὶ τῶν εἰδώλων δὲ* ὀλεθρίαν πλάνην* εὐσεβῶς ἀπώσασθε,* Χριστὸν τὸν βασιλέα κηρύξαντες,* ὃν ἱκετεύσατε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Δόξα... **Ἦχος β΄**

Δεῦτε φιλομάρτυρες σήμερον* τῶν ἀθλητῶν τὸ καύχημα* καὶ τῶν μαρτύρων ἐγκαλλώπισμα,* τὸν πανθαύμαστον ὁπλίτην* καὶ ἀκαθαίρετον στρατιώτην τοῦ Χριστοῦ* Δημήτριον τὸν ἀήττητον* μεγάλαθλον τιμήσωμεν·* οὗτος γὰρ κατεπάτησε* τοῦ ἀοράτου Βελίαρ τὴν δύναμιν* καὶ νίκης ἄρας τρό-

παια,* τῇ παναλκεστάτῃ τοῦ Ὑψίστου* δεξιᾷ ἐστεφάνωται* καὶ σὺν ἀγγέλοις χορεύων* περὶ τὸν θρόνον τῆς Θεότητος,* δυσωπεῖ ὁ πανένδοξος* ὑπὲρ τῶν πίστει καὶ πόθῳ* ἐκτελούντων τὴν πανέορτον* μνήμην αὐτοῦ.

Καὶ νῦν... **Θεοτοκίον**

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου,* τῆς χάριτος ἐλθούσης·* ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο* καταφλεγομένη,* οὕτω παρθένος ἔτεκες* καὶ παρθένος ἔμεινας·* ἀντὶ στύλου πυρός,* δικαιοσύνης ἀνέτειλεν ἥλιος,* ἀντὶ Μωυσέως Χριστός,* ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**
**Εἰς τὸν στίχον στιχηρὰ ἐκ τῶν κατ' ἀλφάβητον**
**Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. β'. Αἱ ἀγγελικαὶ**

Κεῖσαί που τῆς γῆς* καὶ πληροῖς τὴν οἰκουμένην,* ἥλιος γλυκὺς* ὥσπερ ἄλλος καταλάμπων,* Δημήτριε, τὸν κόσμον* καὶ διώκων τὴν ζόφωσιν* θαύμασιν ἀπείροις ὡς ἀκτῖσι,* μύρων ταῖς ὀδμαῖς ταῖς πεμπομέναις* ἐκ τοῦ τάφου σου,* ὧνπερ Χριστὸς πηγὴν αὐτὸν* εἰς δόξαν σὴν ἔδειξε.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Ὄντως ὑπὲρ νοῦν* τῶν μαρτύρων ἡ στερρότης,* πῶς ἀνηλεῶς* τὰς βασάνους ἐνεγκόντες* τῆς φύσεως ἠλόγουν,* ὥσπερ ἄλλου τοῦ πάσχοντος·* τούτων καλλονὴ σὺ ἀνεδείχθης,* δείξας τὴν πλευρὰν τοῖς λογχευταῖς σου* κατὰ μίμησιν* τῆς τοῦ Σωτῆρός σου πλευρᾶς,* ὦ Δημήτριε.

**Στίχ.** Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου...

Πανηγυρικῶς* πᾶς πιστὸς εὐτρεπιζέσθω,* οἱ ἐκ τῶν κωμῶν* δεῦτε ἥκετε προθύμως,* συνδράμετε οἱ πάντες* τὸν προστάτην τιμήσατε,* πόλις ἡ λαμπρὰ Θεσσαλονίκη,* κρότησον φαιδρῶς τὸν μυροβλύτην,* τὸν Δημήτριον,* τὸν πατριώτην καὶ θερμὸν* ὑμῶν ἀντιλήπτορα.

Δόξα... **Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. δ´**

Τοῦ μεγαλάθλου καὶ μυροβλύτου* μάρτυρος Δημητρίου τοῦ παμμεγίστου* προεόρτιον μνήμην* σήμερον ἐπιτελοῦντες,* μεσίτην αὐτὸν* πρὸς τὸν Θεὸν προβαλλόμεθα,* βοῶντες αὐτῷ·* Ἀθλητὰ γενναιότατε,* προσδεχόμενος τὰς παρ᾿ ἡμῶν ὑμνῳδίας,* παράσχου ἡμῖν τῶν ὀφλημάτων τὴν λύσιν* ταῖς πρὸς Θεὸν ἱκεσίαις σου* καὶ τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν... **Θεοτοκίον**

Ἀνύμφευτε παρθένε,* ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί,* μήτηρ Θεοῦ τοῦ ὑψίστου,* σῶν οἰκετῶν παρακλήσεις δέχου, πανάμωμε·* ἡ πᾶσι χορηγοῦσα* καθαρισμὸν τῶν πταισμάτων,* νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη,* δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Ἀπολυτίκιον. Ἦχος γ´**

Μέγαν εὕρατο...

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν...

**Μετὰ τὴν α΄ στιχολογίαν κάθισμα**
**Ἦχος γ΄. Τὴν ὡραιότητα**

Μίμησις μάρτυρος* τιμὴ ἐπάξιος* αὐτῷ προσάγεται·* γνῶτε, φιλέορτοι,* ὡς ἀποφαίνεται καλῶς* ἡ γλῶσσα τοῦ Χρυσοστόμου·* διὸ μιμησώμεθα* καὶ ὡς ἔνι ζηλώσωμεν* τὸν πόθον τὸν ἔνθερμον* πρὸς Χριστὸν καὶ διάπυρον* τοῦ ἤδη παρ' ἡμῶν ἐτησίως* εὐφημουμένου Δημητρίου.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον**

Τὸν ἀκατάληπτον* καὶ ἀπερίγραπτον,* τὸν ὁμοούσιον* Πατρὶ καὶ Πνεύματι* ἐν τῇ γαστρί σου μυστικῶς* ἐχώρησας, Θεομῆτορ·* μίαν καὶ ἀσύγχυτον* τῆς Τριάδος ἐνέργειαν* ἔγνωμεν τῷ τόκῳ σου* ἐν τῷ κόσμῳ δοξάζεσθαι·* διὸ καὶ εὐχαρίστως βοῶμέν σοι·* Χαῖρε ἡ κεχαριτωμένη.

**Μετὰ τὴν β΄ στιχολογίαν κάθισμα**
**Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε**

Τῆς μνήμης σου σήμερον* προεορτίοις ᾠδαῖς* τελοῦντες προοίμια,* βοήθειαν παρὰ σοῦ* αἰτοῦμεν, Δημήτριε·* δίδου οὖν ταῖς εὐχαῖς σου* πρὸς Θεόν, ἀθλοφόρε,* ὅπως μετ' εὐφροσύνης* ἐκτελέσωμεν πάντες* καὶ τὴν σὴν πανήγυριν τῇ ἐπαύριον.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον**

Ἡ μόνη κυήσασα* τὸν ποιητὴν τοῦ παντός,* ἡ μόνη κοσμήσασα* τὴν ἀνθρωπότητα* τῷ τόκῳ σου,

ἄχραντε,* ῥῦσαί με τῶν παγίδων* τοῦ δολίου Βελίαρ,* στῆσόν με ἐπὶ πέτραν* τῶν Χριστοῦ θελημάτων,* αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς* ὃν ἐσωμάτωσας.

**Μετὰ τὴν γ΄ στιχολογίαν κάθισμα**
**Ποίημα Ἀλεξίου Νικαίας**
**Ἦχος α΄. Τὸν τάφον σου, Σωτὴρ**

Στρατείαν τὴν ἐν γῇ* βδελυξάμενος, μάρτυς,* τὴν ἐν τοῖς οὐρανοῖς* ἐπεπόθησας δόξαν* καὶ πόνους ὑπήνεγκας* καὶ τὸν βίαιον θάνατον·* ὅθεν σήμερον* τὴν παναγίαν σου μνήμην* ἑορτάζομεν,* Χριστῷ προσάγοντες αἶνον,* τρισμάκαρ Δημήτριε.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον**

Μαρία τὸ σεπτὸν* τοῦ δεσπότου δοχεῖον,* ἀνάστησον ἡμᾶς* πεπτωκότας εἰς χάος* δεινῆς ἀπογνώσεως* καὶ πταισμάτων καὶ θλίψεων·* σὺ γὰρ πέφυκας* ἁμαρτωλῶν σωτηρία* καὶ βοήθεια* καὶ κραταιὰ προστασία* καὶ σῴζεις τοὺς δούλους σου.

**Καὶ εὐθὺς** Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι...
**Εὐαγγέλιον μαρτυρικὸν**
**Ὁ ν΄ ψαλμὸς**
**Τριῴδιον, οὗ ἡ ἀκροστιχίς· «Τετράδι ψαλῶ». Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ὠδὴ γ΄. Ἦχος β΄. Ὁ εἱρμὸς**

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας,* ἐπλάτυνας τὸ στόμα μου ἐπ᾽ ἐχθρούς μου·* εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν·* Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν,* καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, Κύριε.

**Τροπάρια**

Τῆς πίστεως ἐν πέτρᾳ ἐστηριγμένος,* διήνοιξας τὸ στόμα σου κατὰ πλάνης* καὶ ηὔφρανας τοῖς ἄθλοις σου τὸν Χριστόν σου* κράζων, Δημήτριε· Σὺ εἶ Θεὸς ἡμῶν* καὶ οὐκ ἔστι δίκαιος πλήν σου, Κύριε.

Ἐν κενοῖς τὸ γυμνάσιον τοῦ τυράννου* ἐν γνώμῃ συνιστάμενον ψυχολέθρῳ,* ἀπέδειξας γὰρ Νέστορα στεφανίτην* εὐχαῖς, Δημήτριε, Λυαῖον θραύσαντα* καί· Χριστός μου δύναμις, ἀνακράζοντα.

Τὸ δεινὸν βουλευτήριον τοῦ δολίου* ὄργανον τὸν σκορπίον εὑρὼν οἰκεῖον,* πειρᾶταί σε τὸν δίκαιον διολέσαι,* Χριστοῦ σφραγῖδι δὲ τοῦτον διέρρηξας·* Ὁ Χριστός μου δύναμις, κράζων, Δημήτριε.

**Καταβασία·** Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας...

**Κοντάκιον. Ἦχος δ΄. Ῥωμανοῦ τοῦ μελῳδοῦ**

Νικηφόρον ἀθλητὴν τῷ ἀθανάτῳ δεσπότῃ,* στρατιώτην δυνατὸν τοῦ βασιλέως τῆς δόξης,* Δημήτριον, οἱ πιστοί, ἀνυμνήσωμεν λέγοντες·* Καλῶς καμών, ἐκομίσω ζωὴν τὴν αἰώνιον.

**Ὁ οἶκος**

Τί τῶν σῶν ὑμνήσω, Δημήτριε μάρτυς;* Τὰ πρὸ τῶν ἀγώνων; Τὰ ἐν ἀγῶνι;* Τὰ μετὰ τοὺς ἀγῶνάς σου;* Τρεῖς γὰρ ὁμοῦ ἐπαίνους χρεωστῶ σοι·* πρῶτον τὸν τῆς σεμνῆς σου πολιτείας,* δεύτερον τὸν τῶν ἄθλων σου,* τὸν δὲ τρίτον ὑπὲρ τῶν πολλῶν σου θαυμάτων,* ὧν πρὶν ἐτέλεσας καὶ νῦν ἀπὸ τοῦ τάφου.* Ἰδοὺ γὰρ ἕκαστος, πίστει προσερχόμενος*

τῷ ζῶντι λειψάνῳ σου,* τρυγᾷ ὡς ἐκ παραδείσου ζωὴν τὴν αἰώνιον.

**Ὠδὴ η΄. Ὁ εἱρμὸς**

Ῥῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν,* ἑπταπλασίως κάμινος* ἐξεκαύθη ποτέ,* ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν,* βασιλέως πατήσαντες δόγμα,* ἀλλ' ἐβόων·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Τροπάρια**

Ῥῆμα τυράννου δεινὸν ἐκπεπλήρωται* καὶ βαλανείου βάλλεται* καθειργμένος στοαῖς,* ἐν αἷς σφάττεται Δημήτριος,* βασιλέως φαυλίσας τὴν πλάνην* καὶ κηρύσσων·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ἀποκενοῦται πλευρᾶς μύρον μάρτυρος,* δεσποτικῆς ἁγίας* τὸ πάθος πλευρᾶς σαφῶς* Δημητρίου νῦν ζηλώσαντος,* ἐξ ἧς ζῶντες κρουνοὶ ἔρρευσαν θεῖοι* τοῖς βοῶσι·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ δοξολογεῖτε* τὸν τούτου ἀθλοφόρον.

Δάκρυα παύει νοσούντων Δημήτριος,* δοριαλώτων λύει τε* καὶ συντρίβει δεσμὰ στερρῶς* καὶ πᾶς χρήζων οὐχ ἁμάρτη δὲ* ὁ προστρέχων τῇ σορῷ τούτου πίστει* καὶ κραυγάζων·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ δοξολογεῖτε* τὸν τούτου ἀθλοφόρον.

Ἱερουργήθης ὡς θῦμα εὐπρόσδεκτον* καὶ ἐκ πανάγνων σπλάγχνων σου* λογχευθείσης πλευρᾶς,

σοφέ,* διὰ τὴν ὁμολογίαν σου* ἐκχυθέν σου αἷμα ἀνήνεγκας* καὶ ἐβόας·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ῥῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Ψυχαῖς καθαραῖς* καὶ ἀρρυπώτοις χείλεσι* δεῦτε μεγαλύνωμεν* τὴν ἀκηλίδωτον* καὶ ὑπέραγνον μητέρα τοῦ Ἐμμανουήλ,* δι' αὐτῆς τῷ ἐξ αὐτῆς* προσφέροντες πρεσβείαν τεχθέντι.* Φεῖσαι τῶν ψυχῶν ἡμῶν,* Χριστὲ ὁ Θεός,* καὶ σῶσον ἡμᾶς.

**Τροπάρια**

Ψυχῇ καθαρθεὶς* ἐν ἀρρυπώτῳ σώματι* δῶρα προσενήνοχας* ὡς παναμώμητα* καὶ ἁγνότατα ἀθλήσας ταῦτα τῷ Χριστῷ,* δι' αὐτῶν καὶ νῦν αὐτῷ* κατάλλαξον ἡμᾶς, μάρτυς, κράζων·* Φεῖσαι τοῦ λαοῦ τοῦ σοῦ,* Χριστὲ ὁ Θεός,* καὶ σῶσον αὐτόν.

Ἀγνώμων μηδεὶς* καὶ δολερὸς καὶ ἄπιστος* χάριν θεοδώρητον* ἀμφιγνοείτω νῦν,* τὸ ἀείρρυτον τῶν μύρων τε καὶ θαυμάτων* Δημητρίου καθορῶν,* ἰᾶται γὰρ τοὺς πίστει βοῶντας·* Ῥῦσαι χαλεποῦ παντός,* Χριστοῦ ἀθλητά,* καὶ σῶσον ἡμᾶς.

Λέγει νοητῶς* πᾶσι πιστοῖς Δημήτριος·* Τί μοι δῶρον φέρετε,* πλοῦτος ἐμοὶ Χριστός,* οὗ τὰ ἄμετρα χαρίσματα νέμω* ὡς οἰκεῖος ἀθλητής* τοῖς πίστει ἐκβοῶσι πρὸς αὐτόν·* Φεῖσαι τοῦ λαοῦ τοῦ σοῦ,* Χριστὲ ὁ Θεός,* καὶ σῶσον αὐτόν.

Ὢ θαυμαστικῆς* καὶ πολυδώρου χάριτος,* ἣν πλουτεῖς, Δημήτριε,* ὅτι ψυχὴν τὴν σήν,* ἧς ἀντάξιος ὁ κόσμος οὐκ ἔστι, μάκαρ,* καὶ τὸ σῶμα σεαυτοῦ* παρέδωκας σφαγεὶς τῷ Χριστῷ σου.* Ῥῦσαι χαλεποῦ παντός,* Χριστοῦ ἀθλητά,* καὶ σῶσον ἡμᾶς.

**Καταβασία·** Ψυχαῖς καθαραῖς...

**Ἐξαποστειλάριον. Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος γ΄. Τὸν νυμφῶνά σου βλέπω**

Ὡς νυμφῶνα ὁρῶ σου* τὸν τάφον, Δημήτριέ μου,* καὶ τρέμω προσεγγίσαι* ῥερυπωμένος·* ἔκπλυνόν με καὶ καθάρισον σὺ* καὶ τοῦ μύρου σου πλήρωσον.

**Θεοτοκίον**

Ὁ γλυκασμὸς τῶν ἀγγέλων,* τῶν θλιβομένων ἡ χαρά,* χριστιανῶν ἡ προστάτις,* παρθένε μήτηρ Κυρίου,* ἀντιλαβοῦ μου καὶ ῥῦσαι* τῶν αἰωνίων βασάνων.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἐκ τῶν κατ' ἀλφάβητον τέσσαρα. Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος πλ. β΄. Αἱ ἀγγελικαὶ**

Ἴδιον ἐν γῇ* οὐδὲν ἔσχες, ἀθλοφόρε,* πάντα γὰρ τῆς γῆς* ὥσπερ σκύβαλα ἡγήσω,* διὰ τὸν σὸν δεσπότην* καταλείψας, Δημήτριε,* καὶ μόνον αὐτὸν κερδήσας, μάρτυς,* δι' ὅ σε κόσμος ἅπας ἔχει* πλοῦτον ἴδιον,* τοῖς θείοις μύροις σου χαρᾶς* ἐνθέου πληρούμενος.

Κάλλει ἀληθῶς* σὺ ὡραῖος χρηματίζεις* καὶ

ὑπερκαλλὴς* καὶ τερπνὸς ὑπάρχεις, μάρτυς·* τοῦ σοῦ ὀσμὴ δὲ μύρου* ὑπὲρ πάντα ἀρώματα,* δι' ὧν κατευφραίνεις καὶ μυρίζεις* καὶ ἱλαρύνεις καὶ λαμπρύνεις* τοὺς ποθοῦντάς σε,* θείων μαρτύρων καλλονή,* μέγιστε Δημήτριε.

Λάμπεις ἐν τῇ γῇ* ὑπὲρ ἥλιον, παμμάκαρ,* τῷ λαμπρῷ φωτὶ* τῶν μεγίστων σου ἀγώνων* καὶ ταῖς ἀκτινοβόλοις* ἀστραπαῖς τῶν θαυμάτων σου* καὶ αἴγλαις λαμπραῖς τῶν θείων μύρων* καὶ ταῖς ἀστραπαῖς τῶν πρεσβειῶν σου,* δι' ὧν, ἔνδοξε,* φθάνεις τὰ πέρατα, πιστοὺς* δεινῶν ἐκλυτρούμενος.

Μύρον ὁ Χριστὸς* ἐκκενούμενον ἐκλήθη,* χρίων τοὺς πιστοὺς* τῷ τοῦ Πνεύματος ἐλαίῳ* καὶ μύρον αὐτὸς ὤφθης,* ἀθλοφόρε Δημήτριε,* ἀεὶ ἐκκενούμενον καὶ μένον* καὶ τὰς καρδίας ἱλαρῦνον* πιστῶν, ἔνδοξε,* μύροις τοῖς βλύζουσιν ἐκ σοῦ* καὶ θαύμασι πάντοτε.

Δόξα... **Ἦχος πλ. β'**

Ὑπὲρ Χριστοῦ νομίμως* ἀθλήσας, Δημήτριε,* καὶ τῷ αἰσθητῷ βασιλεῖ* τὸν νοητὸν συγκαθελὼν ἀντίπαλον,* ἐπάξιον ἀπείληφας* παρὰ τοῦ ἀθλοθέτου Σωτῆρος τὸν στέφανον·* καὶ νῦν ἐν οὐρανοῖς* τῶν ἀγγέλων συναγάλλῃ τοῖς τάγμασι,* τῆς ἀνωτάτω φωτοχυσίας* συναπολαύων τρανῶς* καὶ τὸ τρισυποστάτῳ καὶ πρώτῳ* λαμπρυνόμενος φέγγει·* διὸ καὶ ἡμεῖς* ὁ εὐσεβὴς λαὸς καὶ φιλομάρτυς* ᾀσματικῶς ἐκβοῶμέν σοι·* Χαίροις, ὁ τῆς πλάνης τῶν εἰδώλων καθαιρέτης* καὶ τῆς ἀληθείας ὑπερασπιστὴς λαμπρότατος.* Χαίροις, ἀδαμάντινε τὴν ψυ-

χὴν* καὶ καρτερικώτατε ὁπλῖτα Χριστοῦ,* Δημήτριε, Θετταλίας τὸ θαῦμα.* Ἀλλὰ πρέσβευε τῷ Κυρίῳ* καὶ ἡμᾶς διὰ πολιτείας θεοφιλοῦς* τῆς σὺν σοὶ τυχεῖν στάσεως* ἐν τῷ θρόνῳ τῆς μεγαλωσύνης αὐτοῦ.

Καὶ νῦν... **Θεοτοκίον**

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·* σὲ ἱκετεύομεν,* πρέσβευε, δέσποινα,* μετὰ τοῦ ἀθλοφόρου* καὶ πάντων τῶν ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## ΤΗ ΚΓ΄ ΟΚΤΩΒΡΙΟΥ
## («ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ»)

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ 'Κύριε, ἐκέκραξα' ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἓξ**
**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι**

Ὅλος ἀνακείμενος* τῷ παντεπόπτῃ δεσπότῃ* ὅλως προσεπέλασας* ἀριδήλως, ἅγιε,* τῷ Κυρίῳ σου* καὶ σαυτὸν δέδωκας* εἰς σφαγήν, παμμάκαρ,* ἐκμιμούμενος τὸν Κύριον* καὶ λογχευόμενος,* αἵμασιν ἐφοίνιξας χλαῖναν σου,* διὸ καὶ μύρα βλύζουσι* ἔνθα ἡ σορός σου, Δημήτριε·* οἶδε γὰρ δοξάζειν* ὁ Κύριος τοὺς ὄντας ἑαυτοῦ,* ὃν παρρησίᾳ ἱκέτευε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Χάρισμα ἐπλούτησας* ἐκ δεξιᾶς τοῦ Ὑψίστου,* ἀθλητὰ Δημήτριε,* φωτὸς ὥσπερ εἴωθε* μεταδίδοται* εἰσαεί, ἔνδοξε,* φυσικῶς μὴ λῆγον,* ἀλλὰ μένει ἀδαπάνητον,* οὕτως ἐκβλύζει νῦν* μύρα ἡ σορός σου ἑκάστοτε,* τοῖς χρήζουσι μυρίζουσα,* λῆξιν μηδαμῶς ὑπομένουσα·* ὅθεν παρρησίαν* ὡς ἔχων, μυροβλύτα, πρὸς Χριστόν,* αὐτὸν δυσώπει λυτρώσασθαι* πάντας τῆς κολάσεως.

Ὅλην ἀναθέμενος* μετὰ Θεὸν τὴν ἐλπίδα* ἐπὶ σέ, Δημήτριε,* ταῖς εὐχαῖς σου ἄριστα* ὑπεισέρχεται* τὸ ἐχθροῦ στάδιον* ἰσχυρῶς ὁ Νέστωρ* καὶ καθέλει τὸν ἀντίπαλον,* συγκαθελὼν ὁμοῦ* καὶ τὸν ἀρχαιότατον δράκοντα·* διὸ καὶ τὸ μαρτύριον*

τὸ ὑπὲρ Χριστοῦ ἀνεδέξατο,* καθὰ σὺ προέφης,* παμμάκαρ μυροβλύτα, πρὸς αὐτόν·* ὅθεν πρὸς πάλην πάντων ἐχθρῶν* καὶ ἡμᾶς ἐνίσχυε.

**Ἕτερα στιχηρὰ προσόμοια**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων**

Δεῦτε, φιλέορτοι πάντες,* ἀνευφημήσωμεν* τὸν μέγαν στεφανίτην,* μετὰ δέους βοῶντες·* Δημήτριε τρισμάκαρ,* σῶσον ἡμᾶς* τοὺς πιστῶς ἀνυμνοῦντάς σε* ἐν τῷ ναῷ σου τῷ θείῳ καὶ ἐκ φθορᾶς* αὐτοὺς μάρτυς διαφύλαττε.

Θεσσαλονίκης τὸ κλέος* καὶ τὸ στερέωμα,* Δημήτριον τὸν θεῖον* εὐφημήσωμεν πάντες,* συμφώνως μελῳδοῦντες* καὶ ἐν ᾠδαῖς* τὴν αὐτοῦ νῦν πανήγυριν* ἐπικροτοῦντες, πρεσβεύοντα ἐκτενῶς* ὑπὲρ τῶν ἀνευφημούντων αὐτόν.

Σὺν ταῖς χορείαις ἀγγέλων* καὶ τῶν μαρτύρων, σοφέ,* τῷ Θεανθρώπῳ Λόγῳ* παρεστὼς καὶ δοξάζων* τοῦτον ὡς δεσπότην* καὶ ποιητὴν* τῶν ἁπάντων, Δημήτριε,* μέμνησο πάντων τῶν πίστει τὴν ἱερὰν* ἐκτελούντων σου πανήγυριν.

Δόξα... **Ἦχος δ΄**

Δημήτριος καὶ Νέστωρ,* ἡ τερπνὴ τῶν μαρτύρων* καὶ φαιδρὰ λαμπηδών,* τῶν μὲν τυράννων τὸ θράσος κατέβαλε,* τῶν δὲ εἰδώλων τὴν πλάνην κατήργησε* καὶ τῆς θεογνωσίας τὸ τέλειον μυστήριον* λαμπρᾷ τῇ φωνῇ* ὑψηγοροῦντες ἀνεκήρυττον·* ὧν ταῖς πρεσβείαις, Χριστὲ ὁ Θεός,* ὁ τούτων νομοθέτης,* καὶ ἡμᾶς ἀξίωσον* κατὰ τῶν ἀοράτων καὶ ὁρατῶν δυνάμεων* τὸ κράτος ἀναδήσασθαι.

Καὶ νῦν... **Θεοτοκίον**

Ὁ διὰ σὲ Θεοπάτωρ προφήτης Δαυὶδ* μελῳδικῶς περὶ σοῦ προανεφώνησε* τῷ μεγαλεῖά σοι ποιήσαντι·* «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου».* Σὲ γὰρ μητέρα* πρόξενον ζωῆς ἀνέδειξεν* ὁ ἀπάτωρ ἐκ σοῦ* ἐνανθρωπῆσαι εὐδοκήσας Θεός,* ἵνα τὴν ἑαυτοῦ* ἀναπλάσῃ εἰκόνα,* φθαρεῖσαν τοῖς πάθεσι,* καὶ τὸ πλανηθὲν* ὀρειάλωτον εὑρὼν πρόβατον,* τοῖς ὤμοις ἀναλαβὼν* τῷ Πατρὶ προσαγάγῃ* καὶ τῷ ἰδίῳ θελήματι* ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι* καὶ σώσῃ, Θεοτόκε,* τὸν κόσμον Χριστός,* ὁ ἔχων τὸ μέγα ἔλεος.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**
**Εἰς τὸν στίχον στιχηρὰ προσόμοια**
**Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ**

Θαύμασι τοὺς πιστοὺς* πλουτίζεις, μυροβλύτα,* καὶ νόσους θεραπεύεις* ψυχῶν τε καὶ σωμάτων,* Δημήτριε πανθαύμαστε.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Ἔλυσας τὴν ὀφρὺν* Λυαίου θεοφρόνως,* σταυροῦ τῷ θείῳ τύπῳ* πρὸς συμπλοκὴν στομώσας* τὸν Νέστορα, Δημήτριε.

**Στίχ.** Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου...

Πάντας τοὺς εὐσεβῶς* σορῷ σου τῇ ἁγίᾳ* προστρέχοντας, παντοίων* κινδύνων τε καὶ νόσων* περίσωζε, Δημήτριε.

Δόξα... **Ἦχος α΄**

Πνευματικὴ πανήγυρις* σήμερον, ἀδελφοί·* σκιρτάτω ἡ φύσις,* χορευέτω ἡ ἀνθρωπότης·* συνε-

κάλεσε γὰρ ἡμᾶς* ὁ θαυμάσιος Δημήτριος,* τὸ θειότατον κειμήλιον τῆς παρθενίας,* ὁ ποταμὸς τῶν θαυμάτων ὁ πλημμυρέστατος,* τὸ κατοικητήριον τοῦ ἁγίου Πνεύματος,* ἡ ἀκένωτος τῶν ἰαμάτων* καὶ ξένη θάλασσα,* ὁ στερρότατος τῆς Ἐκκλησίας* καὶ ἀκράδαντος πύργος,* ἡ ὄντως κρηπὶς τῶν μαρτύρων* καὶ φωστὴρ οἰκουμένης ὁ πολύφωτος·* αὐτοῦ ταῖς ἱκεσίαις,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... **Θεοτοκίον**

Ἰδοὺ πεπλήρωται* ἡ τοῦ Ἡσαΐου πρόρρησις·* παρθένος γὰρ ἐγέννησας* καὶ μετὰ τόκον* ὡς πρὸ τοῦ τόκου διέμεινας·* Θεὸς γὰρ ἦν ὁ τεχθείς,* διὸ καὶ φύσεις ἐκαινοτόμησεν.* Ἀλλ' ὦ Θεομῆτορ,* ἱκεσίας σῶν δούλων,* σῷ τεμένει προσφερομένας σοι,* μὴ παρίδῃς·* ἀλλ' ὡς τὸν εὔσπλαγχνον* σαῖς ἀγκάλαις φέρουσα,* σοῖς ἱκέταις σπλαγχνίσθητι* καὶ πρέσβευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον. Ἦχος γ΄**

Μέγαν εὕρατο...

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν...

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὸν ἑξάψαλμον καὶ τὸ 'Θεὸς Κύριος'**

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι...

**Εὐαγγέλιον μαρτυρικὸν**

**Ὁ ν΄ ψαλμὸς**

**Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· «Τῇ μακρᾷ Πέμπτῃ μακρὸν ὕμνον ἐξᾴδω». Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ εἱρμὸς**

Τμηθείσῃ τμᾶται* πόντος Ἐρυθρός,* κυματοτρόφος δὲ ξηραίνεται βυθός,* ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς βατὸς* καὶ πανοπλίταις τάφος·* ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο·* Ἐνδόξως δεδόξασται* Χριστὸς ὁ Θεὸς ἡμῶν.

**Τροπάρια**

Τμηθείσῃ ῥάβδῳ* σχίζεται ὑγρά,* κύματα πλάνης δὲ ξηραίνεται σταυρῷ,* ὁ αὐτὸς Θεὸς καὶ τότε ἐν Μωσῇ* ποιῶν καὶ Δημητρίῳ ξένα·* ᾠδὴ οὖν ἐξ ἀμφοτέρων νῦν πλέκεται·* Ἐνδόξως δεδόξασται* Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἡ παρουσία* τῆς ἀληθινῆς ζωῆς* ἐν σώματι Σοφίας τοῦ Θεοῦ* παρεσκεύασε πολλοὺς τῶν ἑαυτῆς* θανεῖν ὑπὲρ τῆς δόξης αὐτῆς·* διὸ καὶ ἐνηθληκότα Δημήτριον* ἐνδόξως ἐδόξασε* Χριστὸς ὁ Θεὸς ἡμῶν.

Μυσταγωγεῖ* τῷ λόγῳ ἑαυτοῦ* μὴ φθειρομένην εὐτρεπίζων τράπεζαν,* ἀθανάτου δὲ ὁ ὄντως ὁπλίτης Χριστοῦ* νέμει κρατῆρα τρυφῆς·* διδάγμασιν εὐσεβέσι γὰρ ἔκραζεν·* Ἐνδόξως δεδόξασται* Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἀκουτισθῶμεν* πάντες εὐσεβεῖς* συγκαλουμένου τοῖς θαύμασιν ἄνωθεν* τοῦ μεγίστου Δημητρίου, ἀγάπῃ θερμῇ* βοᾷ γάρ· Ἴδετε καὶ γνῶτε,*

ὅτι Χριστός ἐστι Κύριος* δοξάζων ἐν χάριτι* τοὺς τοῦτον δοξάζοντας.

**Καταβασία·** Τμηθείσῃ τμᾶται...

**Ὠδὴ γ΄. Ὁ εἱρμὸς**

Κύριος ὢν πάντων* καὶ κτίστης Θεός,* τὸ κτιστὸν ὁ ἀπαθὴς* πτωχεύσας σεαυτῷ ἥνωσας·* καὶ τὸ Πάσχα, οἷς ἔμελλες θανεῖν,* αὐτὸς ὢν σεαυτὸν προετίθης·* Φάγετε, βοῶν, τὸ σῶμά μου* καὶ πίστει στερεωθήσεσθε.

**Τροπάρια**

Κύριος τῶν ὅλων* ὑπάρχων Χριστός,* τὸν ἁγνόν σε ὁ ἁγνὸς* ποθήσας ἐν σοὶ κατῴκησε* καὶ τῷ πόθῳ διήγειρεν αὐτοῦ* σαυτὸν ὑπὲρ αὐτοῦ θυσιάσαι·* Σφάττετε, τυράννοις κράζοντα,* τῇ πίστει γὰρ ἐστερέωμαι.

Ῥεύσεως χωρὶς* γεννηθεὶς θεόθεν,* τὸ οἰκεῖον, ἀθλητά,* ῥυὲν δὲ τῷ Κυρίῳ ἔσπεισας* ἐσφαγμένος, Δημήτριε, αἷμα·* αὐτῷ γὰρ λογχευθεὶς ηὐχαρίστεις·* Πρόσδεξαι, βοῶν, τὸ αἷμά μου,* τῷ πόθῳ σου γὰρ ἐκκέχυται.

Ἄφρων ἀνὴρ ἔφη·* «Θεὸς οὐκ ἔστι»,* τὸν οἰκεῖον ποιητὴν* μὴ στέργων ὁ δυσσεβέστατος,* σοῦ κηρύττοντος αὐτόν, οὐκ ἔγνω,* ξένα πράττοντός σου, οὐ συνῆκεν·* ὅμως ἐν τῇ σῇ χάριτι* καὶ πίστει ἡμᾶς στερέωσον.

**Καταβασία·** Κύριος ὢν πάντων...

**Κάθισμα. Ἦχος α΄. Χορὸς ἀγγελικὸς**

Θαυμάτων ποταμοὺς* καὶ ἰάσεις ἀπείρους,* Δη-

μήτριε σοφέ,* καθ' ἑκάστην προχέεις* τοῖς πίστει προστρέχουσι,* στρατηλάτου γὰρ ἔστησας* τὴν αἱμόρροιαν* καὶ τοῦ λοιμοῦ καὶ λοιμώδους* ἠλευθέρωσας* σὴν πόλιν, ἅγιε, πάθους,* σοφῶς προμηθούμενος.

Δόξα... **Ἦχος δ'. Ἐπεφάνης σήμερον**

Δημητρίου σήμερον* τοῦ ἀθλοφόρου* ἑορτὴν τελέσωμεν* εὐσεβοφρόνως, ὡς Χριστῷ* ἀκαταπαύστως πρεσβεύοντος* πᾶσι δοθῆναι* εἰρήνην καὶ ἔλεος.

Καὶ νῦν... **Θεοτοκίον. Ὅμοιον**

Τὴν θερμὴν ἀντίληψιν* τῶν ἐν ἀνάγκαις,* τὴν ἡμῶν βοήθειαν* καὶ πρὸς Θεὸν καταλλαγήν,* δι' ἧς φθορᾶς ἐλυτρώθημεν,* τὴν Θεοτόκον,* πιστοί, μακαρίσωμεν.

**Ὠδὴ δ'. Ὁ εἱρμὸς**

Προκατιδὼν ὁ προφήτης* τοῦ μυστηρίου σου τὸ ἀπόρρητον,* Χριστέ, προανεφώνησεν·* Ἔθου κραταιὰν* ἀγάπησιν ἰσχύος, Πάτερ οἰκτίρμον·* τὸν μονογενῆ Υἱὸν γάρ, ἀγαθέ,* ἱλασμὸν εἰς τὸν κόσμον ἀπέστειλας.

**Τροπάρια**

Προεγνωκὼς ὡς προφήτης* ἐν μυστηρίῳ λέγεις τῷ Νέστορι·* Χριστὸν ἔχων βοήθειαν* ἔσο κραταιός,* νικήσεις ἐν ἰσχύι γὰρ τὸν Λυαῖον,* τῷ μονογενεῖ Υἱῷ δὲ τοῦ Θεοῦ* εἰς θυσίαν προσάξεις τὸ αἷμά σου.

Ἐπὶ τὸ πάσχειν σπουδάζων* ὑπὲρ Χριστοῦ πολ-

λοὺς ἐπεστήριζες* λόγοις σοφοῖς, Δημήτριε,* οἷς καὶ ἐκβοᾷς·* Παθεῖν ὑπὲρ Χριστοῦ λίαν ἐπεθύμησα,* τὸν μονογενῆ Υἱὸν γὰρ ὁ Θεὸς* ὑπὲρ πάντων εἰς θάνατον δέδωκε.

Μεταλαβὼν εὐσεβείας* καὶ τοῖς λαοῖς αὐτῆς ἐκοινώνησας,* γεννήματα δὲ Πνεύματος* ποιήσας αὐτούς,* τοῦ μένειν μετ' αὐτῶν ἐπηγγείλω·* τοῦ μονογενοῦς Υἱοῦ γὰρ τοῦ Θεοῦ* μιμητὴς ἀνεδείχθης, Δημήτριε.

Πόμα κεράσας τοῦ Λόγου* πίνεις καινὸν ἐν τῇ βασιλείᾳ νῦν* Χριστοῦ σὺν φίλοις ἅπασιν,* ὡς θέσει θεὸς* Θεῷ Πατρὶ συνὼν εἰς αἰῶνας·* τὸν μονογενῆ ζηλώσας γὰρ Υἱόν,* ἐν μεθέξει υἱὸς Θεοῦ γέγονας.

**Καταβασία·** Προκατιδὼν ὁ προφήτης...

**Ὠδὴ ε΄. Ὁ εἱρμὸς**

Τῷ συνδέσμῳ τῆς ἀγάπης* συνδεόμενοι οἱ ἀπόστολοι,* τῷ δεσπότῃ τῶν ὅλων* ἑαυτοὺς Χριστῷ ἀναθέμενοι,* ὡραίους πόδας ἐξαπενίζοντο,* εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην.

**Τροπάρια**

Τῷ συνδέσμῳ τῆς ἀγάπης* δεδεμένος, μάρτυς, τοῦ κτίστου σου,* τοῦτον Κύριον τῶν ὅλων* τοῖς λαοῖς Χριστὸν ἀνεκήρυττες* ὡραίους πόδας ἔχων, Δημήτριε,* εὐαγγελιζόμενος ἀγαθὰ πᾶσιν.

Ἡ προάναρχος Σοφία* ἡ συστήσασα τὴν ὑδάτων φύσιν,* τὰς ἀβύσσους τῶν κριμάτων* καὶ θαλάσσας αὐτῆς τῆς γνώσεως,* σοὶ παροχεύει ὕδωρ ζωῆς ἐκ γλώσσης,* μύρα ἐκ σαρκός σου δὲ βλύζειν παρέσχε.

Μαθητὴν ἄλλον δεικνύει* σὲ ζηλώσαντα ὁ δεσπότης τοῦτον,* ὁ τῇ δόξῃ οὖν τῇ κάτω* διαλάμπων δείκνυσαι δέσμιος* καὶ σφάττῃ, μάρτυς, μέσον εἱρκτῆς ἀδίκως* καὶ ἐν τῇ χειρὶ ψυχὴν δίδως τοῦ κτίστου.

**Καταβασία·** Τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεόμενοι...

**Ὠδὴ ς΄. Ὁ εἱρμὸς**

Ἄβυσσος ἐσχάτη* ἁμαρτημάτων ἐκύκλωσέ με* καὶ τὸν κλύδωνα μηκέτι φέρων,* ὡς ὁ Ἰωνᾶς τῷ δεσπότῃ βοῶ σοι·* Ἐκ φθορᾶς με ἀνάγαγε.

**Τροπάρια**

Ἄβυσσος μεγάλη* σοῦ τῶν θαυμάτων κυκλοῖ τὴν κτίσιν* καὶ τὸν κλύδωνα τῶν νόσων παύει,* ὡς Ἰωνᾶς γὰρ ἐρρύσθης καὶ σώζεις* ἐκ φθορᾶς, ὦ Δημήτριε.

Κύριον γινώσκων,* ὡς μαθητὴς καὶ διδάσκαλόν σου* ἐκμιμούμενος Χριστόν, ἐβόας·* Πάντες ζηλοῦτε Κυρίου τὸ πάθος,* ὡς ἐμὲ ἐθεάσασθε.

Ῥύπον σὺ μὴ ἔχων,* ἀποκαθαίρων τοὺς πάντας φαίνῃ,* καθαρὸς ὤν, ἀθλητά, καθάπαξ·* ἀλλ' οὖν καὶ πάντας ῥοπῇ σου τῆς ἰσχύος* ἐκ παντὸς ῥύπου ἔκπλυνον.

**Καταβασία·** Ἄβυσσος ἐσχάτη...

**Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς**

Ὁ τὸν Χριστὸν ἐν παρρησίᾳ κηρύξας* καὶ τὴν εὐσέβειαν σοῖς λόγοις τρανώσας* καὶ στηλιτεύσας πλάνην πᾶσαν δυσσεβῶν,* ἤθλησας γενόμενος* μι-

μητὴς τοῦ δεσπότου·* λόγχαις γάρ, Δημήτριε,* τὴν πλευράν σου ἐτρώθης·* ὅθεν Χριστοῦ ὡς θεῖος ἀθλητὴς* τοὺς σὲ τιμῶντας* ἀεὶ διαφύλαττε.

**Ὠδὴ ζ΄. Ὁ εἱρμὸς**

Οἱ παῖδες ἐν Βαβυλῶνι* καμίνου φλόγα οὐκ ἔπτυξαν,* ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες,* δροσιζόμενοι ἔψαλλον·* Εὐλογητὸς εἶ, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

**Τροπάρια**

Οἱ παῖδες ἐν τῇ καμίνῳ* δρόσῳ Θεοῦ οὐκ ἐφλέχθησαν* καὶ αὐτὸς νεκρωθείς, τεθαμμένος* μύρα βλύζεις τοῖς ψάλλουσιν·* Εὐλογητὸς εἶ, Κύριε,* τοῦ κλεινοῦ Δημητρίου Θεός.

Νικᾷς καὶ κάραν συντρίβεις* δεινοῦ σκορπίου, Δημήτριε,* ἐκζητοῦντος, σοφέ, τοῦ δολίως* σε προδοῦναι εἰς θάνατον,* Χριστὸν τὸν πάντων Κύριον* καὶ Θεὸν καταγγέλοντα.

Ὑμῶν, ὁ Χριστοῦ σὺ φίλος* ἐβόας, οὐκ ἀπολείψομαι·* εὐφραινόμεθα ὅθεν καὶ δουλείας* καὶ φόβου ἐλεύθεροι·* Τίς καθ' ἡμῶν; κραυγάζομεν,* μεθ' ἡμῶν Δημητρίου Θεός.

Μεθ' ὅστις σου, ἔφης, ἔλθοι* παλαίων, Νέστορ, θρασύτητι,* τοῦτον δὴ πλήξας σὺ ἐκ τοῦ βίου* ἐκτρίψεις ἐν χάριτι·* τοῦτο εἰπὼν εὐλόγεις δὲ* τὸν Θεὸν ὑπὲρ τούτου καλῶν.

**Καταβασία·** Οἱ παῖδες ἐν Βαβυλῶνι...

**Ὠδὴ η΄. Ὁ εἱρμὸς**

Νόμων πατρῴων οἱ μακαριστοὶ* ἐν Βαβυλῶνι

νέοι προκινδυνεύοντες,* βασιλεύοντος κατέπτυξαν* προσταγῆς ἀλογίστου* καὶ συνημμένοι ᾧ οὐκ ἐχωνεύθησαν πυρί,* τοῦ κρατοῦντος ἐπάξιον ἀνέμελπον τὸν ὕμνον·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Τροπάρια**

Νόμων ἁγίων σὺ ὑπεραθλῶν* τοὺς ἐν Περσίδι νέους ἐκμιμησάμενος,* τυραννοῦντος κατεφρόνησας* προσταγμάτων ἀθέων* καὶ κεκλεισμένος ἐν τῷ βαλανείῳ καὶ σφαγεὶς* τῷ δεσπότῃ ἁρμόδιον ἀνέμελπες τὸν αἶνον·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε,* βοῶν, εἰς τοὺς αἰῶνας.

Οἱ δαιτυμόνες τῶν μαρτυρικῶν* ἀγωνισμάτων πόθῳ συναθροιζόμενοι* οἱ φιλόχριστοι ἑπόμεθα* Δημητρίῳ ἐν πίστει* καὶ πληρωθέντες, ὧν αὐτῷ παρέσχεν ὁ Χριστὸς* θείων μύρων καὶ χάριτος,* εὐχαρίστως βοῶμεν·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Νόμου εὐνοίας ὡς πιστότατος* σοῦ ὑπηρέτης Λοῦπος μὴ ἐκλαθόμενος,* οὓς ἐδέξατο χιτῶνάς σου* εἰς ἰατρείαν νέμει* καὶ σὲ δοξάζων, μάρτυς, πόθῳ θείῳ λαμβάνει* τὴν σφαγὴν ὑπὲρ τοῦ Χριστοῦ,* ἐκβοῶν παρρησίᾳ·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ἐδεξιοῦτο τὸ ἀμόλυντον* τοῦ καθαροῦ σου σώματος περιβόλαιον,* ᾑμαγμένον τε δακτύλιον* ὑπὲρ πάντων ὁ Λοῦπος* καὶ οὐκ ᾐδεῖτο πράττων ἐν ἀπίστοις θαυμαστά,* οὐ τῇ πλάνῃ ὑπέκυψε* καὶ ἀθλῶν οὐ πτοεῖται·* Τὸν Κύριον ὑμνεῖτε, κραυγάζων,* καὶ

ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Νόμων πατρῴων οἱ μακαριστοί...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Ξενίας δεσποτικῆς* καὶ ἀθανάτου τραπέζης* ἐν ὑπερῴῳ τόπῳ* ταῖς ὑψηλαῖς φρεσί,* πιστοί, δεῦτε ἀπολαύσωμεν* ἐπαναβεβηκότα λόγον,* ἐκ τοῦ Λόγου μαθόντες,* ὃν μεγαλύνομεν.

**Τροπάρια**

Ξενίας μαρτυρικῆς* καὶ μυριπνόου τραπέζης* ἐν παναγίῳ οἴκῳ* ταῖς καθαραῖς ψυχαῖς,* πιστοί, πόθῳ νῦν μετάσχωμεν* ἐκ τοῦ κεκαθαρμένου μύρα* Δημητρίου λαβόντες,* ὃν μεγαλύνομεν.

Ἄπιτε, πᾶσι πιστοῖς* ὁ μάρτυς κράζει, τὴν χάριν* ἐν παναγίῳ οἴκῳ,* ἐν ᾧ κατάκειμαι* καὶ μυροβλυτῶ, κομίσασθε* ἀδόλῳ εὐσεβείας πόθῳ,* τὸ λαμπρὸν δὲ τοῦ θαύματος* ἀνυμνήσατε.

Δημιουργεῖ σε Θεὸς* καὶ τῇ ἀνάρχῳ Σοφίᾳ* δόξης ἐκπληροῖ, μάρτυς,* καὶ ἔργα δίδωσι* τελεῖν θαυμαστά, Δημήτριε·* Λόγον γὰρ ζῶντα καταγγείλας* τὸν Χριστόν, ᾠκειώθης* τούτῳ καὶ ἥνωσαι.

Ὡς ἄνθρωπος ἐσφάγης,* τῇ φύσει, μάρτυς, ὑπήκων,* οὕτως ἁγνὸν τὸ σῶμα* ἔχων καὶ ἄφθορον,* τὰ μύρα βλύζειν δὲ δεδόξασαι,* Χριστὸν ζῶντα καὶ γὰρ κηρύξας,* ἐξ αὐτοῦ χάριν εὗρες* ἄφθαρτος σώζεσθαι.

**Καταβασία·** Ξενίας δεσποτικῆς...

**Ἐξαποστειλάριον. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος γ΄. Τὸν νυμφῶνά σου βλέπω**

Ὡς νυμφῶνα ὁρῶ σου* τὸν τάφον, Δημήτριέ μου,* καὶ τρέμω προσεγγίσαι* ῥερυπωμένος·* ἔκπλυνόν με καὶ καθάρισον σὺ* καὶ τοῦ μύρου σου πλήρωσον.

**Θεοτοκίον**

Ὁ γλυκασμὸς τῶν ἀγγέλων,* τῶν θλιβομένων ἡ χαρά,* χριστιανῶν ἡ προστάτις,* παρθένε μήτηρ Κυρίου,* ἀντιλαβοῦ μου καὶ ῥῦσαι* τῶν αἰωνίων βασάνων.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἐκ τῶν κατ' ἀλφάβητον τέσσαρα. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. β΄. Αἱ ἀγγελικαὶ**

Νέος ἀληθῶς,* μάρτυς, ἄνθρωπος ἐδείχθης,* πᾶσαν τῶν παθῶν* ἀπορρίψας τὴν κηλῖδα* καὶ ξύλου γεγευμένος* τῆς ζωῆς, ὦ Δημήτριε,* ὅθεν καὶ ἱδρῶτας ἁμαρτίας,* σύμβολα νεκρώσεως, οὐ ῥέεις,* παμμακάριστε,* ἀλλ' ἀφθαρσίας ἀληθοῦς* δείγματα τὰ μύρα σου.

Ξύλον ὁ Χριστὸς* τῆς ζωῆς ὑπάρχει μόνος,* ὃς τοὺς ἐπὶ γῆς* ὡς ζωῆς καρποὺς ἐκθρέψας,* ἐδίωξεν ἐκ πάντων* τὴν φθορὰν καὶ τὴν νέκρωσιν,* οὗπερ μετασχὼν καὶ αὐτὸς ὤφθης* φυτὸν ζωῆς καὶ καρποὺς νέμεις* ἀφθαρτίζοντας,* τὰ θεῖα μύρα σου, ἡμᾶς,* διό σε δοξάζομεν.

Ὅρμος καὶ λιμὴν* τοῖς ἐν σάλῳ τῶν πταισμάτων* καὶ τοῖς χαλεποῖς* πάθεσι κυματουμένοις,*

Δημήτριε, ὑπάρχεις,* πελαγίζων τὰ μύρα σου* καὶ πάθη ξηραίνων καὶ τὰς νόσους* καὶ κλύδωνας παύων καὶ θαλάσσας* περιστάσεων,* διὸ προσφεύγομεν εἰς σὲ* καὶ πίστει σωζόμεθα.

Πᾶσά σε ψυχὴ* ποθεῖ, μάρτυς, ἐκ καρδίας* καὶ διακαῶς* σοῦ ἐρᾷ καὶ τὴν γλυκεῖάν* σου κλῆσιν ἐν τῇ γλώσσῃ* περιφέρει, Δημήτριε,* καὶ σοῦ ἀπολαῦσαι τῆς τῶν μύρων* γλίχεται χάριτος ἐκ πόθου·* οὕτως, ἔνδοξε,* σὲ ἐμεγάλυνε Χριστός,* ἐν γῇ ὃν ἐδόξασας.

Δόξα... **Ποίημα Γερμανοῦ**
**Ἦχος β'**

Εἰς τὰ ὑπερκόσμια σκηνώματα,* τὸ πνεῦμά σου, Δημήτριε μάρτυς σοφέ,* Χριστὸς ὁ Θεὸς προσήκατο ἀμώμητον·* σὺ γὰρ τῆς Τριάδος γέγονας ὑπέρμαχος,* ἐν τῷ σταδίῳ ἀνδρείως ἐναθλήσας* ὡς ἀδάμας στερρός·* λογχευθεὶς δὲ τὴν πλευρὰν* τὴν ἀκήρατόν σου, πανσεβάσμιε,* μιμούμενος τὸν ἐπὶ ξύλου τανυσθέντα* εἰς σωτηρίαν παντὸς τοῦ κόσμου,* τῶν θαυμάτων εἴληφας τὴν ἐνέργειαν,* ἀνθρώποις παρέχων τὰς ἰάσεις ἀφθόνως.* Διό σου σήμερον τὴν κοίμησιν ἑορτάζοντες,* ἐπαξίως δοξάζομεν* τὸν σὲ δοξάσαντα Κύριον.

Καὶ νῦν... **Θεοτοκίον**

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς σὲ ἀνατίθημι,* μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με* ὑπὸ τὴν σκέπην σου.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## Τῌ ΚΑ΄ ΟΚΤΩΒΡΙΟΥ
## («ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ»)

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ Κύριε, ἐκέκραξα ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἕξ**

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος**

Ὢ τοῦ παραδόξου θαύματος!* Δημητρίου ψυχὴ* ἀπὸ γῆς ἀνέρχεται* καὶ ἄνω πρὸς οὐρανὸν* ἐγκατοικίζεται·* εὐφραίνου ὁ οὐρανός,* τοῦ ἀθληφόρου τὸ θεῖον κατάλυμα·* βοάτω δὲ πᾶς πιστὸς* ἐν καθαρᾷ τῇ καρδίᾳ γηθόμενος·* Δημήτριε μάρτυς, χαῖρε,* μετὰ σοῦ ἡ δύναμις τοῦ Κυρίου ὑπάρχει,* ἐκτελοῦσα τὰ τεράστια.

Βαβαὶ τῶν σῶν μεγαλείων, σοφέ!* τοῦ τυράννου θράσος* ἀνδρείως κατέβαλες* καὶ πᾶσαν τὴν μηχανὴν* εἰδώλων ἔσβεσας·* κηρύξας δὲ τρανῶς* τῆς εὐσεβείας τὰ θεῖα διδάγματα,* δι᾽ ὧν πάντες πιστοὶ* τῇ ἀληθείᾳ στερρῶς ἐστηρίχθησαν* καὶ πρὸς σὲ βοῶσι, μάρτυς·* Μετὰ σοῦ ἡ δύναμις* τοῦ Κυρίου ὑπάρχει,* ἐκτελοῦσα τὰ τεράστια.

Τὴν σὴν δοξάζουσιν ἄθλησιν* οὐρανῶν τὰ πλήθη* καὶ ἀνθρώπων ὅμιλος* καὶ πάντων τῶν ποιητῶν* θεῖος διάκοσμος·* ἀγάλλονται οἱ πιστοὶ* ἐν τῇ πανσέπτῳ σου μνήμῃ, Δημήτριε·* Λυαῖος ὁ δυσσεβὴς* τῇ σῇ δεήσει δεινῶς κατασφάττεται.* Διὸ πάντες σοι βοῶμεν·* Μετὰ σου ἡ δύναμις* τοῦ Κυρίου ὑπάρχει,* ἐκτελοῦσα τὰ τεράστια.

**Ἕτερα στιχηρὰ προσόμοια**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου**

Λάμπεις τῇ πατρίδι σου ἀεί,* ἔνδοξε Δημήτριε μάρτυς,* ὥσπερ ἀστὴρ φαεινός,* σκέπεις γὰρ ἑκάστοτε* ταύτην ἐκ βλάβης ἐχθρῶν* καὶ λυτροῦσαι κακώσεως* καὶ ζάλης παντοίας,* ὅθεν καὶ χαρμόσυνον* ἄγει ἐτήσιον,* μάκαρ, ἑορτὴν ἐκτελοῦσα,* πίστει τε καὶ πόθῳ ὑμνοῦσα* Κύριον τὸν σὲ ὑπερδοξάσαντα.

Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ,* θαύμασιν ἀστράπτεις τῷ κόσμῳ* οἷά περ ἥλιος,* ἅγιε Δημήτριε,* διὸ τῇ μνήμῃ σου* εὐωχούμεθα ἅπαντες,* τῶν σῶν τεραστίων,* μάρτυς, τὰ ἐξαίρετα* πανηγυρίζοντες* πίστει, παρρησίαν οὖν ἔχων,* πρέσβευε πρὸς Κύριον σῶσαι* ἐκ φθορᾶς καὶ θλίψεως τοὺς δούλους σου.

Λόγχαις ἐκεντήθης τὴν πλευρὰν* διὰ τὸν νυγέντα Σωτῆρα* ἐν τῷ σταυρῷ τὴν πλευράν,* τούτου γὰρ τὰ στίγματα* πόθῳ ἐζήλωσας,* ἀθλοφόρε ἀοίδιμε,* δεικνύων τοῖς πᾶσι* τὸ ἀκαταγώνιστον* τῆς μαρτυρίας σου·* ὅθεν καὶ τρωθεὶς ὁ διώκτης,* βέβληται λαβών σου τὴν πεῖραν* τῆς ὁμολογίας σου, Δημήτριε.

Δόξα... **Ποίημα Ἰωάννου τοῦ Σταυρακίου**
**Ὀκτάηχον. Ἦχος α΄**

Τρισαριστεῦ, ἀντιλῆπτορ ἡμῶν,* μεγαλόδοξε Δημήτριε,* τῶν μαρτυρικῶν κοιλάδων* τὸ ἀμάραντον ἄνθος,* τὸ μῆλον τὸ εὔοσμον,* ἄμπελος ἡ κυπρίζουσα* ταῖς διαφόροις τοῦ Πνεύματος χάρισιν,

**Ἦχος β΄**

ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ,* ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια τῶν θαυμάτων σου* ὑπεράνω τῶν οὐρανῶν·

**Ἦχος γ΄**

προσᾳδέτω σοι ταῦτα κατὰ καιρὸν* κιννύρα Δαυιτική·* τὸν γὰρ Θεάνθρωπον Λόγον* τοῦ πανυψίστου Πατρός,* ὡς ἐκείνου γνήσιος δοῦλος* κατὰ δύναμιν μιμησάμενος,

**Ἦχος δ΄**

ἐπὶ σταυροῦ μὲν οὐκ ἀνέβης,* λόγχαις δὲ ὅμως τὸ καθαρώτατον σῶμά σου* μυριότρωτον ἐκ τούτων ἀπέδειξας.

**Ἦχος πλ. α΄**

Καὶ νῦν αἰδεῖταί σου τὸ τίμιον πάθος* ἡ ἐν Ἐδὲμ φλογίνη ῥομφαία,

**Ἦχος πλ. β΄**

ὡς πάλαι τῆς τοῦ Σωτῆρος πλευρᾶς* τὸ ἓν φόβηται λόγχευμα* καὶ πάροδον πρώτῳ παρέσχε* τῷ εὐγνώμονι καὶ θεοσόφῳ ληστῇ.

**Ἦχος βαρὺς**

Διὰ τοῦτο καὶ θαυμαστοῦται τὸ ὄνομά σου* ἐν πάσῃ τῇ γῇ* καὶ ἡ μεγαλοπρέπεια τῆς δόξης σου* ἀπὸ περάτων εἰς πέρατα μεγαλύνεται·

**Ἦχος πλ. δ΄**

ὑπερβαλλόντως δὲ τῇ πατρῴα σου γῇ,* τῇ τῶν

Θετταλῶν προκαθεζομένη* καὶ ὑπὸ σοῦ περιφρουρουμένη* ἐκ παντοδαπῶν καὶ συνεχῶν περιστάσεων.

Καὶ νῦν... **Θεοτοκίον. Ἦχος πλ. δ΄**

Ὁ βασιλεὺς τῶν οὐρανῶν* διὰ φιλανθρωπίαν* ἐπὶ τῆς γῆς ὤφθη* καὶ τοῖς ἀνθρώποις συνανεστράφη·* ἐκ παρθένου γὰρ ἁγνῆς* σάρκα προσλαβόμενος* καὶ ἐκ ταύτης προελθὼν* μετὰ τῆς προσλήψεως,* εἷς ἐστιν Υἱός,* διπλοῦς τὴν φύσιν,* ἀλλ᾽ οὐ τὴν ὑπόστασιν·* διὸ τέλειον αὐτὸν Θεὸν* καὶ τέλειον ἄνθρωπον* ἀληθῶς κηρύττοντες,* ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν·* ὃν ἱκέτευε, μῆτερ ἀνύμφευτε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**
**Εἰς τὸν στίχον στιχηρὰ ἐκ τῶν κατ᾽ ἀλφάβητον. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. β΄. Αἱ ἀγγελικαὶ**

Ἀμπέλου νοητῆς* ὥσπερ κλῆμα τῇ μαχαίρᾳ* ἐτμήθης τῇ σφαγῇ,* ἵνα βότρυας βλαστήσῃς* ἐντίμους μαρτυρίου,* ἀθλοφόρε Δημήτριε,* γλεῦκος ἀποστάζοντας τῇ κτίσει,* τὸν γλυκασμὸν τῶν ἰαμάτων,* δι᾽ ὧν ἅπασα* πικρία, μάρτυς, τῶν παθῶν* ἡμῶν φυγαδεύεται.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Ἑπόμενος ἀμνῷ* τῷ ἀμώμῳ ὡς ἀρνίον,* ἐδέξω τὴν σφαγὴν* ὥσπερ πόμα εὐφροσύνης,* ἐπάξιον ὡς θῦμα* καὶ δεκτὸν ὁλοκαύτωμα* θείᾳ ἀνηνέχθης τῇ τραπέζῃ* ἐν τῇ ὀσμῇ τῶν σῶν αἱμάτων,* εἰδώλων, μακάριε,* τῶν ψυχοφθόρων θυσιῶν* τῆς κνίσης λυτρούμενος.

**Στίχ.** Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου...

Χαίρεις τὴν χαρὰν* τὴν ἀπέραντον καὶ ξένην* καὶ πλήρης τελεῖς* εὐφροσύνης ἀεννάου·* διὸ καὶ τοὺς τιμῶντας* καὶ ποθοῦντάς σε εὔφρανον* καὶ ταῖς καλλοναῖς τῶν σῶν χαρίτων* ἡμᾶς καταλάμπρυνον καὶ δίδου* τυχεῖν, ἔνδοξε,* τῆς σῆς χαρᾶς τῆς ὑπὲρ νοῦν,* μέγιστε Δημήτριε.

Δόξα... **Ποίημα Λέοντος τοῦ Σοφοῦ**
**Ἦχος πλ. δ'**

Ὁ τῆς ἀληθείας ἀήττητος στρατιώτης,* ὁ μέγας μάρτυς Δημήτριος,* σήμερον θριαμβεύων τὴν πλάνην* καταλαμβάνει τὰ οὐράνια* καὶ ἐν θρόνῳ δόξης τῷ καθημένῳ* ἐξ ἀχράντου πορφύρας αἱμάτων* ἐστολισμένῳ βασιλεῖ* προσφέρει τῆς σφαγῆς τὸ αἷμα* καὶ ὡς πολυτίμητα δῶρα* τὰ τραύματα τερπνῆς προσενέξεως.* Ὢ γλυκείας ἀντιδόσεως!* Ἀντὶ σφαγῆς θνητοῦ αἵματος,* λαμπρότητα περιβάλλεται ἄφθαρτον.* Ἀντὶ τῶν ἐν γῇ τραυμάτων,* τάξεσι δορυφορεῖται ὁ ἀθλοφόρος* τῶν ἄνω ταγμάτων.* Καὶ χεῖρα τὴν πρὸ τὴν ὑπὲρ τοῦ κόσμου τραυματισθεῖσαν* ὁ πάντων βασιλεὺς ἁπλώσας,* στέφει τὴν κεφαλὴν τοῦ μάρτυρος.* Ὁ δι' αὐτοῦ ἐνισχύσας ἡμᾶς,* Χριστὲ ὁ Θεός, δόξα σοι.

Καὶ νῦν... **Θεοτοκίον**

Ἀνύμφευτε παρθένε,* ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί,* μήτηρ Θεοῦ τοῦ ὑψίστου,* σῶν οἰκετῶν παρακλήσεις δέχου, πανάμωμε·* ἡ πᾶσι χορηγοῦσα* καθαρισμὸν τῶν πταισμάτων,* νῦν τὰς

ἡμῶν ἱκεσίας προσδεχομένη,* δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Ἀπολυτίκιον. Ἦχος γ´**

Μέγαν εὕρατο...

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν...

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὸν ἑξάψαλμον καὶ τὸ 'Θεὸς Κύριος'**

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι...

**Εὐαγγέλιον μαρτυρικὸν**

**Ὁ ν´ ψαλμὸς**

**Τριῴδιον, οὗ ἡ ἀκροστιχίς· «Προσάββατόν τε». Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ὠδὴ ε´. Ἦχος πλ. β´. Ὁ εἱρμὸς**

Πρὸς σὲ ὀρθρίζω,* τὸν δι' εὐσπλαγχνίαν* σεαυτὸν τῷ πεσόντι* κενώσαντα ἀτρέπτως* καὶ μέχρι παθῶν* ἀπαθῶς ὑποκύψαντα,* Λόγε Θεοῦ.* Τὴν εἰρήνην παράσχου μοι, φιλάνθρωπε.

**Τροπάρια**

Πρὸς σὲ προσφεύγω,* τὸν διὰ τὸν κτίστην* ἑαυτὸν τοῖς ἀνόμοις* θελήσαντα ἐκδοῦναι* καὶ μέχρι σφαγῆς* εὐθαρσῶς ἐναθλήσαντα,* μάρτυς Χριστοῦ,* καὶ ἰάσεις παρέχοντα, Δημήτριε.

Ῥυφθεὶς καθόλου* καὶ κεκαθαρμένος* μυστικῷ ἐν λουτῆρι,* τοῖς θείοις αἵμασί σου* ὡς χριστοκήρυξ* ἐκ πλευρᾶς σου χεθεῖσιν* αὖθις ἐπλύθης,* συν-

δοξάζει Χριστῷ δὲ νῦν, Δημήτριε.

Ὁρᾶτε, κράζεις* πάσχων, μὴ πτοεῖσθε,* νῦν γὰρ ἔφθασεν ὥρα* λογχεῦσαί με, φονεῦσαι* χεῖρας ἀνόμων,* πάντας δὲ μετὰ θάνατον* ὅμως φρουρήσω,* οὓς προσῆξα τῷ κτίστῃ διὰ πίστεως.

**Καταβασία·** Πρὸς σὲ ὀρθρίζω...

**Κοντάκιον. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος πλ. δ΄. Πρὸς τό· Τὸν δι' ἡμᾶς σταυρωθέντα**

Τὸν δι' ἡμᾶς λογχευθέντα* ἐμιμήσω, Δημήτριε·* αὐτὸν γὰρ κηρύττων ἐκ πόθου* ἐλογχεύθης καὶ ἔκραζες·* Εἰ καὶ τὸ σὸν φέρω πάθος,* σοῦ μετέχω* τῆς ζωῆς, ὁ Θεός μου.

**Ὠδὴ η΄. Ὁ εἱρμὸς**

Στήλην κακίας ἀντιθέου* παῖδες θεῖοι παρεδειγμάτισαν·* κατὰ Χριστοῦ δὲ φρυαττόμενον* ἄνομον συνέδριον* βουλεύεται κενά·* κτεῖναι μελετᾷ* τὸν ζωῆς κρατοῦντα παλάμῃ·* ὃν πᾶσα κτίσις εὐλογεῖ,* δοξάζουσα εἰς τοὺς αἰῶνας.

**Τροπάρια**

Στηλιτευθεῖσαν τυραννοῦντος,* μάρτυς, πλάνην λόγοις κατῄσχυνας·* ἐν τῷ Χριστῷ δὲ ἐγκαυχώμενον,* ἀνόμως ὁ ἄνομος* μαινόμενος ἐχθρὸς* κτεῖναί σε ζητεῖ,* τὸν ζωὴν τὴν ἄνω ποθοῦντα* καὶ σὺν ἀγγέλοις Χριστὸν* μεγαλύνοντα εἰς τοὺς αἰῶνας.

Ἀπὸ καρδίας σεαυτοῦ* τὸν φόβον ῥίψον, ἔφης τῷ Νέστορι,* τῇ προσευχῇ δέ μου ὁπλίζου,* πειρασμὸς γὰρ οὐκ ἔσται σοι,* Λυαῖον φονεύσεις,* τῷ ἰσχυρῷ γὰρ* μεῖζον πτῶμα ἔσται θεόθεν* καὶ Χρι-

στὸν ὕμνει, εὐλογῶν* τὸν σώζοντα εἰς τοὺς αἰῶνας.

Βέβηλον ῥῆμα τῆς σῆς γλώσσης* οὔ ποτε προῆλθε, Δημήτριε.* σοῦ δὲ καρδία ἁγνοτάτη* καὶ τὸ σῶμα πανάμωμον,* ἐδείχθης γὰρ τέκνον* σαρκὸς οὐδόλως;* ἐκ Θεοῦ δὲ ἐγεννήθης καθαρός,* ὃν θείοις λόγοις καὶ ἄθλοις* ἐκήρυξας γενναιοφρόνως.

Βάθους σοφίας μετασχών,* Δημήτριε, Θεοῦ γνῶσιν ἔβλυσας,* ἄβυσσον ῥέεις οὖν τῶν μύρων* ὡς ἀθάνατος ἄνθρωπος* καὶ ἄφθορος μένεις* σαρκί, τρισμάκαρ,* μὴ φθαρείς, θείαν δὲ χάριν νέμων* πάσῃ τῇ κτίσει, ὑμνούσῃ* τὸν Κύριον εἰς τοὺς αἰῶνας.

Ἀπαγορεῦσαι νίκην, Νέστορ,* μὴ λογίσῃ Λυαίου πώποτε,* ὡς νεανίαν καὶ γὰρ θᾶττον* ἐκπηδήσας πτοήσει σε,* Δημήτριος ἔφη,* πλὴν τοῦτον τρώσεις* ἰσχὺν ἔχων τὸν Κύριόν μου,* ὃν πᾶσα κτίσις εὐλογεῖ,* δοξάζουσα εἰς τοὺς αἰῶνας.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Στήλην κακίας ἀντιθέου...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Τὴν τιμιωτέραν τῶν χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον* σὲ μεγαλύνομεν.

**Τροπάρια**

Τὸν τετιμημένον ἐν ἀθληταῖς* καὶ δεδοξασμένον* ἐξαιρέτως ἐν καθαροῖς,* τὸν πλευρᾶς ἀφθόρου* ἐκβλύζοντα τὰ μύρα* Δημήτριον τὸν μέγαν,* σὲ μεγαλύνομεν.

᾿Ολέθριον σμῆνος στρατιωτῶν,* δυσσεβῶν ἀθέων* μιαιφόνων συνασπισμὸς* ἐπέστη σοι, μάρτυς,* τοῦ ὡς ἄνομον σφάττειν* τὸν δίκαιόν σε, μάκαρ,* ὃν μεγαλύνομεν.

Νόμους μὴ εἰδότες τοὺς εὐσεβεῖς,* ῥήσεις σου ἐνθέους* καὶ τὴν πίστιν τοῦ ᾿Ιησοῦ* ὡς πρᾶον ἀρνίον* σὲ ὑπὲρ τοῦ δεσπότου* κατέσφαξαν ἀδίκως,* σὲ μεγαλύνομεν.

Τοῖς ἔθνεσιν ἔκδοτον, ἀθλητά,* σὲ τοῖς ἀσεβέσι* κατασφάξαι ὁ δυσσεβὴς* παρέσχε, μὴ στέγων* τὴν χάριν σου τῷ φθόνῳ,* Δημήτριε παμμάκαρ,* σὲ μεγαλύνομεν.

᾿Εκύκλωσαν θῆρες ὡς φονικοί,* ἠκόντισαν λόγχαις* τὴν πλευράν σου τὴν ἱεράν,* ἐφόνευσαν, μάρτυς,* εἱρκτῇ σε τὸν ὡραῖον,* Δημήτριε, γενναίως* ἅπαντα φέροντα.

**Καταβασία·** Τὴν τιμιωτέραν...

**᾿Εξαποστειλάριον**
**῏Ηχος γ΄. Φῶς ἀναλλοίωτον**

᾿Εν τῷ σταυρῷ καθοπλίσας* τὸν Νέστορα, δι᾿ ἐκείνου* Λυαίου ἔλυσας θράσος,* Δημήτριε, ἐν σταδίῳ,* ὡς ὁ Χριστὸς δὲ ἐνύγης* λόγχῃ πλευράν σου·* διὸ ἡμᾶς περιφρούρει.

**῞Ετερον. ῏Ηχος γ΄. ῾Ο οὐρανὸν τοῖς ἄστροις**

῾Ημεῖς αἰτοῦμεν ἐκ πόθου,* Δημήτριε ἀθλοφόρε,* τὴν σὴν ἀντίληψιν νέμειν* καὶ θεραπεύειν τὰς νόσους,* ὡς ἔχων τὴν παρρησίαν* πρὸς τὸν φιλάνθρωπον Θεόν.

**Θεοτοκίον. Ὅμοιον**

Τὸν ποιητὴν τῶν αἰώνων* καὶ τῶν ἀγγέλων δεσπότην* ἀποτεκοῦσα, παρθένε,* τοῦτον ἱκέτευε δεῖξαι* τῆς δεξιᾶς παραστάτας* μερίδος τοὺς σοὺς οἰκέτας.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἐκ τῶν κατ' ἀλφάβητον τέσσαρα. Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος πλ. β'. Αἱ ἀγγελικαὶ**

Ῥεύσεως χωρὶς* ἐγεννήθης οὐρανόθεν,* εἰ καὶ ἐκ γαστρὸς* ἀπὸ ῥεύσεως συνέστης·* τῷ γὰρ ἁγίῳ, μάρτυς,* ἀνεπλάσθης βαπτίσματι* καὶ πάλιν ἐπλύθης αἵματί σου,* διὸ ὡς μὲν ἄνθρωπος ὑπάρχεις* νεκρὸς κείμενος,* ὡς δὲ Θεοῦ θέσει υἱὸς* βλύζεις μύρα πάντοτε.

Στόματι λαμπρῶς* ἀνεκήρυξας τὸν κτίστην* καὶ τὸν πρὸς αὐτὸν* ἐμαρτύρησάς σου πόθον,* οὐ μόνον δὲ ἐν λόγοις* ἀλλά, μάρτυς, καὶ πράξεσι,* θείᾳ παρθενίᾳ καὶ ἀθλήσει,* ὅθεν καὶ αὐτός, ὡς ἔφη, λόγοις* καὶ ἐν πράγμασι* σὲ ἐμεγάλυνε, σοφέ,* αὐτὸν μεγαλύναντα.

Τύπος Ἰσαὰκ* τῆς σφαγῆς ἦν τοῦ δεσπότου,* πλὴν οὐ νεκρωθείς,* ἀλλὰ μόνον ἐν συμβόλοις·* σὺ δὲ εἰκὼν ἐδείχθης* ἀληθὴς τοῦ Κυρίου σου,* πλευρὰν δι' αὐτὸν λελογχευμένος,* διὸ καὶ εἰκόνα ζῶσαν φέρεις* τῆς πλευρᾶς αὐτοῦ,* ῥέων ἀθάνατον, σοφέ,* χάριν τὴν τῶν μύρων σου.

Ὕψος κατοικεῖς* οὐρανοῦ σὺν τοῖς ἀγγέλοις,* χαίρων σὺν αὐτοῖς* τῇ ψυχῇ τῇ παναμώμῳ* καὶ

νοερᾷ καὶ θείᾳ,* ὡς ὑπάρχων ἰσάγγελος,* τὸ δὲ σκῆνός σου ὡς οἶκος, μάκαρ,* καὶ ὄργανον θεῖον τῆς ψυχῆς σου* μένει ἄφθορον* καὶ χάριν νέμει τοῖς πιστοῖς,* οἵ σε μακαρίζομεν.

Δόξα... **Ποίημα Βυζαντίου**

**Ἦχος πλ. β'**

Σήμερον συγκαλεῖται ἡμᾶς* τοῦ ἀθλοφόρου ἡ παγκόσμιος πανήγυρις.* Δεῦτε οὖν, φιλέορτοι, φαιδρῶς ἐκτελέσωμεν* τὴν μνήμην αὐτοῦ λέγοντες·* Χαίροις ὁ τὸν χιτῶνα τῆς ἀσεβείας* διαρρήξας διὰ τῆς πίστεως,* τὴν δὲ ἀνδρείαν τοῦ Πνεύματος* σεαυτῷ περιθέμενος.* Χαίροις, ὁ καταργήσας τὰς ἐπινοίας τῶν παρανόμων* τῇ ἰσχύι τῇ δοθείσῃ σοι παρὰ τοῦ μόνου Θεοῦ.* Χαίροις, ὁ λογχευθέντων τῶν μελῶν,* τὸ μακάριον πάθος πνευματικῶς* ἡμῖν ἀναζωγραφήσας τοῦ Χριστοῦ.* Ὃν καθικέτευε,* ἀθλητῶν ἐγκαλλώπισμα Δημήτριε,* λυτρωθῆναι ἡμᾶς ὁρατῶν* καὶ ἀοράτων ἐχθρῶν* καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... **Θεοτοκίον**

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·* σὲ ἱκετεύομεν,* πρέσβευε, δέσποινα,* μετὰ τοῦ ἀθλοφόρου* καὶ πάντων τῶν ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## ΤΗ ΚΕ΄ ΟΚΤΩΒΡΙΟΥ
## («ΜΕΓΑ ΣΑΒΒΑΤΟΝ»)

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ 'Κύριε, ἐκέκραξα' ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἕξ**
**Ποίημα Ἰωάννου τοῦ Σταυρακίου**
**Ἦχος β΄. Ποίοις εὐφημιῶν**

Πᾶσαν ἀντ' οὐδενὸς θέμενος* τὴν ἐπίγειον εὔκλειαν, μάρτυς,* ἔσπευσας τὴν ἄνω κληρώσασθαι,* ἣν ὁ Πατὴρ Θεὸς δίδωσι* τοῖς αὐτοῦ ἐντάλματα τηροῦσι* καὶ θέλων Χριστοῦ μιμήσασθαι τὸ πάθημα,* τρανῶς τοῦτον ἀνεκήρυττες, Δημήτριε,* ἐνώπιον βασιλέως* καὶ τυχὼν τοῦ πόθου* νῦν πρεσβεύεις, μάκαρ, ἡμῖν* πταισμάτων τὴν ἄφεσιν* δοθῆναι καὶ μέγα ἔλεος.

Νόες οἱ τοῦ Θεοῦ βήματι* παριστάμενοι πρὸς σὲ κατῆλθον,* ἅλωσιν πατρίδος μηνύοντες,* νεύσει τῇ τοῦ κτίστου τῆς κτίσεως·* ἀλλὰ σύ, φιλόπολις ὑπάρχων,* τὸν κτίστην τοῖς δάκρυσί σου ἐξηυμένισας,* θνησκόντων συναποθνήσκω, φάσκων, δέσποτα·* ὅθεν σωθέντες ἐν πίστει,* ἀθλητῶν ἀκρότης,* ἀνυμνοῦμεν χρεωστικῶς* τὸν σὲ στεφανώσαντα* ἀξίως καὶ σὲ δοξάζομεν.

Σκέπη χριστιανῶν, δέσποινα,* ἀειπάρθενε μήτηρ Κυρίου,* πίστει δυσωποῦμέν σε πρόστηθι,* ῥῦσαι καὶ σεισμοῦ καὶ ἀλώσεως* καὶ πάσης ἀνάγκης τὴν σὴν πόλιν·* ἱλέωσαι τὸν υἱόν σου δέ, πανάχραντε,*

δωρήσασθαι τοῖς οἰκέταις σου τὸν μάρτυρα* Δημήτριον εἰς αἰῶνας* μέγιστον προστάτην,* ὅπως θείαις αὐτοῦ λιταῖς* λυτρούμεθα βλάβης* ἐναντίων καὶ πάσης θλίψεως.

**Ἕτερα στιχηρὰ προσόμοια**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων**

Τῇ παμφαῆ πανηγύρει* τοῦ χριστομάρτυρος* εὐωχηθῶμεν πάντες* καὶ πιστῶς εὐφρανθῶμεν,* πανέορτον τελοῦντες* φαιδρὰν ἑορτὴν* τῆς αὐτοῦ τελειώσεως,* ᾀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν* τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Θεσσαλονίκη σε ἔχει* πύργον ἀπόρθητον,* ἐν ταύτῃ γὰρ προθύμως* τὸ πανάγιον αἷμα* ἐξέχεας, παμμάκαρ,* διὸ καὶ ἡμῶν* ἀνεδείχθης καλλώπισμα,* τὸν ποιητὴν καὶ Σωτῆρα ὑπὲρ ἡμῶν* καθικέτευε, Δημήτριε.

Τὴν τῶν λειψάνων σου θήκην* Θεσσαλονίκη τιμᾷ·* ταύτην κυκλοῦντες πίστει,* ἐξ αὐτῆς τὰς ἰάσεις* δρεπόμεθα, ἀξίως τὴν ἱερὰν* ἐκτελοῦντές σου μνήμην πιστῶς* καὶ τὸν Σωτῆρα ὑμνοῦντες θεοπρεπῶς* τὸν δοξάσαντα τὴν μνήμην σου.

Δόξα... **Ποίημα Χρυσάφη**
**Ἦχος δ΄**

Τὸν στρατιώτην τὸν λαμπρὸν* τοῦ πάντων βασιλέως,* τὸν ἀθλητὴν τὸν θαυμαστόν,* τὸ κλέος τῶν μαρτύρων,* τὸ ἄνθος τὸ τερπνότατον* καὶ κατηγλαϊσμένον,* τὸ ῥόδον τὸ μυρίπνοον,* τὴν βρύσιν τῶν θαυμάτων,* μύρου σεπτοῦ τὴν καλλονήν,* τῶν πάντων κορωνίδα,* τὴν δόξαν καὶ τὸ καύχημα* τῶν

χριστωνύμων πάντων,* Δημήτριον τὸν ἔνδοξον* ὑμνήσωμεν συμφώνως* καὶ μακαρίσωμεν αὐτὸν* ὡς πρεσβευτὴν τοῦ Λόγου·* πρεσβεύει γὰρ ὑπὲρ ἡμῶν* ἀπαύστως τῷ δεσπότῃ* καὶ βασιλεῖ τῶν οὐρανῶν* δοῦναι πταισμάτων λύσιν* καὶ φωτισμὸν καὶ ἱλασμὸν* ψυχῶν τε καὶ σωμάτων.

Καὶ νῦν... **Θεοτοκίον**

Ὁ διὰ σὲ Θεοπάτωρ προφήτης Δαυὶδ* μελῳδικῶς περὶ σοῦ προανεφώνησε* τῷ μεγαλεῖά σοι ποιήσαντι·* «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου»·* σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν* ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός,* ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα,* φθαρεῖσαν τοῖς πάθεσι* καὶ τὸ πλανηθὲν* ὀρειάλωτον εὑρὼν πρόβατον,* τοῖς ὤμοις ἀναλαβών,* τῷ Πατρὶ προσαγάγῃ* καὶ τῷ ἰδίῳ θελήματι* ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι* καὶ σώσῃ, Θεοτόκε, τὸν κόσμον Χριστός,* ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**
**Εἰς τὸν στίχον στιχηρὰ προσόμοια**
**Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ**

Σίμβλον ὁ σὸς ναός,* κηρίον σου ἡ λάρναξ,* ὡς μέλι σου τὰ μύρα,* ἐξ ὧν πιστοὶ τρυγῶμεν* καὶ ῥῶσιν ἀρυόμεθα.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Πόλιν τῶν Θετταλῶν* τὴν προκαθεζομένην,* ὡς πόλιν Θεοῦ οὖσαν,* ὁρμήματα τῶν μύρων* δαψιλῶς εὐφραίνουσι.

**Στίχ.** Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου...

᾿Αεὶ παρεστηκὼς* Τριάδι τῇ ἁγίᾳ* μετὰ ἁγίων πάντων,* Δημήτριε παμμάκαρ,* τὴν ποίμνην σου περίσωζε.

Δόξα... **Ἦχος πλ. β΄**

Σήμερον ἡ οἰκουμένη πᾶσα* ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ἀκτῖσι* καὶ ἡ τοῦ Χριστοῦ ᾿Εκκλησία* τοῖς ἄνθεσιν ὡραϊζομένη,* Δημήτριε, βοᾷ σοι·* Θεράπον Χριστοῦ* καὶ προστάτα θερμότατε,* μὴ ἐλλίπῃς πρεσβεύων* ὑπὲρ τῶν δούλων σου.

Καὶ νῦν... **Θεοτοκίον**

῾Ο ποιητής* καὶ λυτρωτής σου, πάναγνε,* Χριστὸς ὁ Κύριος,* ἐκ τῆς σῆς νηδύος προελθών,* ἐμὲ ἐνδυσάμενος,* τῆς πρώην κατάρας τὸν ᾿Αδὰμ ἠλευθέρωσε·* διό σοι, πάναγνε,* ὡς τοῦ Θεοῦ μητρί τε* καὶ παρθένῳ ἀληθῶς,* βοῶμεν ἀσιγήτως* τὸ Χαῖρε τοῦ ἀγγέλου.* Χαῖρε, δέσποινα,* προστασία καὶ σκέπη* καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**᾿Απολυτίκιον. Ἦχος γ΄**

Μέγαν εὕρατο...

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν...

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**῾Ο ἑξάψαλμος, ἡ συναπτή, τὸ ῾Θεὸς Κύριος᾿ καὶ τὰ τροπάρια.**

**Εἶτα κηρίων δοθέντων καὶ ἀναφθέντων, ἐξέρχονται οἱ ἱερεῖς ἠλλαγμένοι ἅπασαν τὴν στολὴν αὐτῶν· καὶ λαβὼν ὁ**

**πρῶτος αὐτῶν θυμιατόν, θυμιᾷ τρὶς ἔμπροσθεν τῆς ἁγίας εἰκόνος τοῦ μάρτυρος, ψάλλων μόνος τὸ μεγαλυνάριον·**

**Ἦχος πλ. α΄**

Μακαρίζομέν σε,* ἀθλοφόρε Χριστοῦ,* καὶ τιμῶμεν τὴν ἁγίαν εἰκόνα σου,* ὡς ἀντίτυπον τῆς θείας σου μορφῆς.

**Καὶ τοῦτο ψάλλων δίς, παρὰ τῶν κληρικῶν βοηθούμενος, θυμιᾷ καὶ εἰς τὸν ἱερὸν τάφον, ψάλλων κἀκεῖσε ἅπαξ·**

**Ἦχος πλ. α΄**

Μακαρίζομέν σε,* ἀθλητὰ τοῦ Χριστοῦ,* καὶ τιμῶμεν τὴν ἁγίαν σου λάρνακα,* ὡς πηγάζουσαν τὰ μύρα τοῖς πιστοῖς.

**Τοῦτο ψάλλεται καὶ πάλιν δίς. Καὶ εὐθὺς ἐκφωνοῦσιν οἱ ψάλται·**

Εὐλογητὸς εἶ, Κύριε.

**Καὶ στιχολογουμένου τοῦ ἀμώμου ψάλλονται τὰ μεγαλυνάρια εἰς τέσσαρας χορούς.[1]**

**Ὁ δὲ πρῶτος τῶν ἱερέων θυμιᾷ τοὺς ἱερεῖς, τοὺς χορούς, τὸν λαὸν ὅλον καὶ τὸν ναὸν κατὰ τάξιν. Πληρωθέντος δὲ τοῦ ἀμώμου μετὰ τῶν μεγαλυναρίων, ψάλλονται τὰ καθίσματα·**

**Ἦχος α΄. Τὸν τάφον σου, Σωτὴρ**

**Ποίημα Συμεὼν Θεσσαλονίκης**

Σινδόνι μὲν Χριστὸς* νεκρωθεὶς ἐνειλήθη,* Δημήτριε σοφέ,* καὶ ἀρώμασι θείοις* ἐτάφη ὁ ὑπέρθεος,* σὺ δὲ ἄταφος ἔμεινας* καὶ εἰς φρέαρ δὲ* ἀπορ-

---

**1. Ἐπισταμένη ἀναζήτησις τῶν μεγαλυναρίων τούτων εἰς τὰ χειρόγραφα ἀπέβη ἐπὶ τοῦ παρόντος ἄκαρπος. Ἀντ' αὐτῶν δυνατὸν νὰ ψάλλωνται πολλάκις ἐναλλὰξ τὰ ἀνωτέρω δύο μετὰ στίχων κατ' ἐκλογὴν ἐκ τοῦ ἀμώμου.**

ριφεὶς δι' ἐκεῖνον,* ὡς ἀρώματα* μύρα λαμβάνεις ἐκ τούτου,* ὡς μύρον ἀκένωτον.

Δόξα... **Ἕτερον**

**Ἦχος α'. Χορὸς ἀγγελικὸς**

Σὲ κέκτηται φρουρὸν* καὶ λιμένα γαλήνης,* ποικίλων πειρασμῶν* κλονουμένη μηδέπω* ἡ πόλις σου, ἅγιε* μυροβλύτα Δημήτριε,* ἥνπερ φύλαττε* ἀπὸ λιμοῦ καὶ σεισμοῦ τε* καὶ ὁδήγησον* τὰς τοῦ Κυρίου εὐθείας* ὁδοὺς πολιτεύεσθαι.

Καὶ νῦν... **Θεοτοκίον**

Ὁδήγησον ἡμᾶς* ἐν ὁδῷ μετανοίας,* ἐκκλίνοντας ἀεὶ* πρὸς κακῶν ἀνοδίας* καὶ τὸν ὑπεράγαθον* παροργίζοντας Κύριον,* ἀπειρόγαμε,* εὐλογημένη Μαρία,* καταφύγιον* ἀπεγνωσμένων ἀνθρώπων,* Θεοῦ ἐνδιαίτημα.

**Καὶ μετὰ τοῦτο** Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι...

**Εὐαγγέλιον μαρτυρικὸν**

**Ὁ ν' ψαλμὸς**

**Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· «Καὶ σήμερον δὲ Σάββατον μέλπω μέγα». Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ὠδὴ α'. Ἦχος πλ. β'. Ὁ εἱρμὸς**

Κύματι θαλάσσης* τὸν κρύψαντα πάλαι* διώκτην τύραννον* ὑπὸ γῆς ἔκρυψαν* τῶν σεσωσμένων οἱ παῖδες·* ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες* τῷ Κυρίῳ ᾄσωμεν,* ἐνδόξως γὰρ δεδόξασται.

**Τροπάρια**

Κύματι θαλάσσης* ὁ πάλαι βυθίσας* Θεὸς τὸν τύραννον* σοὶ ἰσχὺν δέδωκε* κατὰ τυράννου

ἀθλοῦντι·* ἀλλ' ἡμεῖς ὡς μέγαν μάρτυρα* τῷ Κυρίῳ ᾄδοντες* ὑμνοῦμέν σε, Δημήτριε.

Κάλλιστε μαρτύρων,* ἐντάφιον μέλος* καὶ ἐπικήδειον* ᾆσμα νῦν πρόσδεξαι,* ὁ τῇ σφαγῇ σου τὴν λόγχην* τοῦ Χριστοῦ σου μιμησάμενος* καὶ θανάτῳ νέκρωσιν* ζωοποιόν, Δημήτριε.

Ἄνω θείᾳ δόξῃ* καὶ κάτω τοῖς μύροις* οἱ ἐπουράνιοι* καὶ οἱ ἐπίγειοι* κεκοσμημένον ὁρῶντες,* εὐφημοῦσί σε, Δημήτριε,* τῇ ψυχῇ γὰρ πάμφωτος,* σαρκὶ δὲ τελεῖς ἄφθορος.

Ἵνα σου τὴν πίστιν* τῷ κόσμῳ γνωρίσῃ* καὶ τὴν ἀγάπησιν* πληροῖ σε μύρων Χριστός,* ἀπὸ τῆς σῆς πλευρᾶς, μάρτυς,* βλύζειν ταῦτα παρασχόμενος* καὶ τῷ τάφῳ κείμενος* ῥέεις ζωήν, Δημήτριε.

**Καταβασία·** Κύματι θαλάσσης τὸν κρύψαντα...

**Ὠδὴ γ΄. Ὁ εἱρμὸς**

Σὲ τῶν ἐπὶ ὑδάτων* κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως* ἡ κτίσις κατιδοῦσα* ἐν τῷ Κρανίῳ κρεμάμενον,* θάμβει πολλῷ συνείχετο·* Οὐκ ἔστιν ἅγιος* πλήν σου, Κύριε, κραυγάζουσα.

**Τροπάρια**

Σὲ τὸν πεφιλημένον* ὡς πάναγνον Χριστῷ νῦν ἐσφαγμένον* ἡ σύμπασα ὁρῶσα* ἐκ τάφου μύρα ἐκβλύζοντα* Χριστῷ κράζει, Δημήτριε·* Οὐκ ἔστιν ἅγιος* πλήν σου, Κύριε, φιλάνθρωπε.

Σύμβολα σῆς ἁγνείας* ἀνέδωκεν ἐκ σοῦ εὐώδη μύρα* Χριστός, τὴν κεκρυμμένην* θείαν ἐν σοὶ χάριν φαίνοντα* τοῖς κράζουσι, Δημήτριε·* Οὐκ ἔστιν ἅγιος* πλήν σου, Κύριε, φιλάνθρωπε.

Ἤνοιξας τὰς ἀγκάλας* καὶ δέδεξαι τὰς σφαγὰς τῇ πλευρᾷ σου* καὶ νεκρωθεὶς δέ, μάρτυς,* δίχα ταφῆς τε καὶ μνήματος* ἐρρίφης κράζων, ἔνδοξε·* Οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε, φιλάνθρωπε.

Μνῆμά σου ἀπεδείχθη* καὶ οἶκός σου τὸ φρέαρ ᾧ ἐρρίφης·* καὶ γὰρ ἡ θεία χάρις* ταῖς ἐνεργείαις σε ἔδειξε* τῶν μύρων θαυμαζόμενον* καὶ νῦν τοῖς θαύμασι* καταλάμπει σε, Δημήτριε.

**Καταβασία·** Σὲ τῶν ἐπὶ ὑδάτων...

**Κάθισμα. Ἦχος πλ. δ΄. Ἀνέστης ἐκ νεκρῶν**

Διέκοψάς ποτε* κεφαλὰς τῶν βαρβάρων,* ἐλθόντων ἐμμανῶς* ἀπολέσαι σοὺς δούλους·* οὕτω καὶ νῦν, παμμάκαρ,* μὴ ἐπιλάθῃ ὑπὲρ τῆς ποίμνης σου* πάντοτε ἐπιθάλπειν* καὶ συντηρεῖσθαι ἀδιαλώβητον,* λιταῖς ταῖς σαῖς πρὸς τὸν Θεόν,* ἀοίδιμε Δημήτριε.

Δόξα...Καὶ νῦν...

**Θεοτοκίον. Ὅμοιον**

Ἐκ πάσης ἀπειλῆς* καὶ κακίας ἀνθρώπων* διάσωσον ἡμᾶς,* παναγία παρθένε·* σκέπην καὶ γὰρ σε πάντες* καὶ προστασίαν θερμὴν κεκτήμεθα* καὶ τῷ ἐκ σοῦ τεχθέντι,* ἐν σοὶ θαρροῦντες,* ἀεὶ προσπίπτομεν·* ὃν ἐκδυσώπει ῥύσασθαι ἡμᾶς* ἐκ πάσης περιστάσεως.

**Ὠδὴ δ΄. Ὁ εἱρμὸς**

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν* προορῶν Ἀββακούμ,* ἐξεστηκὼς ἐβόα·* Σὺ δυναστῶν διέ-

κοψας* κράτος, ἀγαθέ,* ὁμιλῶν τοῖς ἐν ᾍδῃ* ὡς παντοδύναμος.

**Τροπάρια**

Τὴν ἐν σταυρῷ φρικτὴν ἐκκέντησιν* σοῦ δεσπότου ζηλῶν,* διακαῶς ἐβόας·* Τῷ μώλωπι ἰάθημεν* τῷ σῷ, λυτρωτά,* καὶ πόθῳ σου τὸ πάθος* καὶ τοῦτο δέχομαι.

Ἑβδόμην, ἔνδοξε, παρήλασας,* τῆς ὀγδόης ζωὴν* βιώσας θείοις ἔργοις·* παρεῖδες γὰρ τὰ πρόσκαιρα* καὶ ὅλος καινὸς* ἀπεδείχθης ἁγνείᾳ* καὶ θείοις αἵμασι.

Ῥωμαλαιότατον τὸν Νέστορα,* νικητήν τε δεινοῦ* Λυαίου ἀπειργάσω,* ὃν ῥήξας διεσπάραξε* ταῖς σαῖς προσευχαῖς* καὶ σφαγεὶς Χριστοῦ μάρτυς* ὤφθη, Δημήτριε.

Ὁρμήσας δόλῳ θανατῶσαί σε* ὁ σκορπίος νεκρὸς* ὡράθη παραυτίκα,* ἰδὼν θεοφορούμενον* σὲ καὶ φωταυγῆ* καὶ σταυρῷ Χριστοῦ πίπτει* συνάμα τῷ νοητῷ.

**Καταβασία·** Τὴν ἐν σταυρῷ σου...

**Ὠδὴ ε΄. Ὁ εἱρμὸς**

Θεοφανείας σου, Χριστέ,* τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης,* Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον,* ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν·* Ἀναστήσονται οἱ νεκροὶ* καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις* καὶ πάντες οἱ ἐν τῇ γῇ* ἀγαλλιάσονται.

**Τροπάρια**

Θεοφανείας τοῦ Χριστοῦ* ὡς ἀληθῶς ἐξεικό-

νισμα ὤφθης* καὶ ἐδείχθης φῶς λαοῖς, Δημήτριε,* τοῖς νυκτὶ τῇ πλάνῃ καθεύδουσιν,* οὓς ἀνέστησας πρὶν νεκρούς,* ζωώσας λόγοις σου καὶ νῦν ἐκ μνημείου* σοῖς μύροις τοὺς ἐν τῇ γῇ* πάντας εὐφραίνεις πιστούς.

Νέος ἐδείχθης ἀληθῶς,* τὸν ποιητήν σου βροτὸν γεγονότα* τῆς πλευρᾶς τῇ λόγχῃ μιμησάμενος* καὶ τὸ τούτου φαίνεις μυστήριον·* ὁ δεσπότης γὰρ λογχευθεὶς* ὕδωρ σὺν αἵματι ζωὴν ἡμῖν βλύζει* καὶ σὺ τὰ μύρα, πιστῶν* εἰς ἰατήριον.

Διὰ θανάτου πρὸς ζωήν,* διὰ σφαγῆς πρὸς χαρὰν μεταβαίνεις·* ἀθανάτου γὰρ ζωῆς δωρήματα* ὁ μόνος ἀθάνατος νέμει σοι* καὶ τὸ σῶμά σου μὲν φθορᾶς* ὤφθη ἀμέτοχον, ψυχὴ δέ σου δόξης* πληροῦται ἐν οὐρανῷ,* θεῖε Δημήτριε.

Ἐκ λογχευθείσης ζῶν πλευρᾶς* καὶ λογχευθεὶς τὴν πλευρὰν Χριστοῦ πόθῳ,* ἐξ αὐτῆς τῶν μύρων τὴν ἀνάβλυσιν* ἐκομίσω, μάκαρ Δημήτριε,* καὶ ὑπνώσας οἷα νεκρός,* ὑπὲρ τὴν φύσιν ζῇς ζωήν, νέμων πᾶσιν* ἐκ τάφου ῥῶσιν ψυχῆς* τε καὶ τοῦ σώματος.

**Καταβασία·** Θεοφανείας σου, Χριστέ...

**Ὠδὴ ϛ΄. Ὁ εἱρμὸς**

Συνεσχέθη,* ἀλλ᾽ οὐ κατεσχέθη* στέρνοις κητῴοις Ἰωνᾶς·* σοῦ γὰρ τὸν τύπον φέρων* τοῦ παθόντος καὶ ταφῇ δοθέντος,* ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε,* προσεφώνει δὲ τῇ κουστωδίᾳ·* Οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ,* ἔλεον αὐτοῖς ἐγκατελίπετε.

**Τροπάρια**

Συνελήφθης* σαρκί, οὐκ ἐδέθης* ὅλως τῆς πλάνης ταῖς σειραῖς·* σὸν γὰρ ποθῶν δεσπότην,* σταυρωθέντα, λογχευθέντα, ζῶντα,* ὡς δεσμόν, μάρτυς, τὸ σῶμα κατέλιπες* καὶ ἐβόας τοῖς σὲ θανατοῦσι·* Πάντες μισοῦντές με ἄρχοντες δωρεάν,* νῦν διὰ Χριστὸν νεκροῦτε, σφάττετε.

Ἀνῃρέθης,* ἀλλ' οὐκ ἐχωρίσθης* ὅλως τῆς χάριτος Χριστοῦ·* εἰ γὰρ καὶ ἐνεκρώθη* σοῦ ἡ σάρξ ὡς λογχευθεῖσα, μάρτυς,* ἀλλὰ καὶ αὕτη τῇ ψυχῇ ὁμοίως σου* κεχαρίτωται καὶ ἐδοξάσθη,* ἐν ἑκατέροις τε ὁ Χριστὸς ἐνεργεῖ,* μύρα χορηγῶν καὶ λάμπων ἄνω σε.

Βροτοκτόνον* κατήργησας ὄφιν,* μάρτυς, τῇ λόγχῃ τῆς πλευρᾶς·* εἰ γὰρ καὶ ἔσπευσε* θανατῶσαι, τοῦ Χριστοῦ ὁπλῖτα,* ἀλλὰ ἐκ τούτου μᾶλλον οὗτος τέθραυσται,* οἱ πιστοὶ δέ σου διὰ τοῦ πάθους* ἀναζωούμεθα, ἀθανάτου ζωῆς* ἀπαρχὰς τοῖς μύροις σου λαμβάνοντες.

Βασιλέα* τὸν τῆς ἁμαρτίας* ἅμα τυράννῳ ἀναιρεῖς·* σὺ γὰρ θανὼν ταῖς λόγχαις* πάλιν ζῇς ζωαρχικῇ δυνάμει* καὶ ἀφθαρσίας σύμβολα ἐπλούτησας,* δι' ὧν τέρπεις τε καὶ ζωοῖς πάντας* πιστούς, Δημήτριε, λύων πάθη δεινὰ* καὶ ψυχὰς εὐφραίνων, ὡς ζῶν πάντοτε.

**Καταβασία·** Συνεσχέθη...

**Κοντάκιον. Ποίημα Συμεὼν Θεσσαλονίκης**
**Ἦχος β'. Πρὸς τό· Τὴν ἄβυσσον ὁ κλείσας**

Τὸν ἄφθαρτον καὶ ζῶντα* Χριστὸν ποθήσας,*

ταῖς λόγχαις κατετρώθης* καὶ ἐνεκρώθης,* ἐν τῷ φρέατι δὲ ἔρριψαι, μὴ ταφείς,* μένων ἄφθαρτος,* ἐκ τάφου δὲ σεπτὰ* ἔβλυσας μύρα,* χάριν χορηγῶν τοῖς ἐκβοῶσι·* Ταῦτα σώματός εἰσι* τοῦ πανάγνου Δημητρίου,* ἐν ᾧ Χριστὸς ἐδοξάσθη* ὁ ζῶν, ἀναστὰς τριήμερος.

**Ὁ οἶκος. Πρὸς τό· Ὁ συνέχων τὰ πάντα**

Ὁ κατέχων τὰ σύμπαντα* ἐν τῇ δρακὶ ἐσταυρώθη,* ὃν ὑμνείτω ἡ κτίσις·* τοῦτον οὖν ζηλῶν Δημήτριος* σταυρῷ λελογχευμένον,* ἐν ἔρωτι τὰς ἀγκάλας ἐξέτεινε* καὶ πλευρᾷ τὰς λογχεύσεις ὑπεδέξατο,* ῥιφεὶς δὲ ὡς νεκρός, τῷ φρέατι συγκέκλεισται* καὶ ὡς θάλασσαν ἔβλυσε* ῥεῖθρα μύρων ἀκένωτα,* θαυμάτων δὲ πηγαὶ ἐξεδόθησαν* καὶ σώματα καὶ πνεύματα ἰάθη πολλῶν,* ἡ πλάνη πᾶσα ἐπαύθη* καὶ ὁ Λυαῖος τέθραυσται* καὶ σὺν ἐκείνῳ Χριστὸν οἱ διώκοντες,* πιστοὶ δὲ μύροις κράζομεν·* Ταῦτα σώματός εἰσι τοῦ πανάγνου Δημητρίου,* ἐν ᾧ Χριστὸς ἐδοξάσθη* ὁ ζῶν, ἀναστὰς τριήμερος.

**Ὠδὴ ζ΄. Ὁ εἱρμὸς**

Ἄφραστον θαῦμα!* ὁ ἐν καμίνῳ ῥυσάμενος* τοὺς ὁσίους παῖδας ἐκ φλογός,* ἐν τάφῳ νεκρὸς* ἄπνους κατατίθεται* εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·* Λυτρωτά,* ὁ Θεός, εὐλογητὸς εἶ.

**Τροπάρια**

Ἄφραστον τέρας!* σὺ τὸν Λυαῖον κατέστρεψας,* σαῖς πρεσβείαις Νέστορα φρουρῶν* καὶ διὰ Χριστὸν* σφάττῃ ζῶν, Δημήτριε,* καὶ ἀναβλύζεις

ἡμῖν τὰ θεῖα μύρα* τοῖς βοῶσι·* Χριστέ, εὐλογητὸς εἶ.

Τέτρωται ὄφις* κατὰ καρδίας, Δημήτριε,* ὡς ἐτρώθης λόγχῃ τὴν πλευρὰν* καὶ πίπτει δεινὸν* δαιμονίων σύστημα,* οἱ εὐσεβεῖς δὲ εὐφραίνονται σοῖς μύροις* ἐκβοῶντες·* Χριστέ, εὐλογητὸς εἶ.

Ὄλβιος τάφος* ὄντως ὁ σός, ὦ Δημήτριε,* ὁ νεκρόν σε ἄφθαρτον πλουτῶν* καὶ ζωῆς κρουνοὺς* βλύζων μύρα ἄπαυστα* τοῖς ἐκβοῶσι·* Χριστέ, εὐλογητὸς εἶ.

Νόμοις ἀνθρώπων* ἀκολουθῶν, μάρτυς ἔνδοξε,* ἐν τῷ τάφῳ κρύπτῃ ὡς θνητός,* τοῦτον δὲ πηγὴν* μύρων φαίνεις ἄφθονον* εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·* Ὁ Θεὸς* μεθ' ἡμῶν τοῦ Δημητρίου.

Μία ἡ δόξα* Πατρός, Υἱοῦ τε καὶ Πνεύματος,* ἣν κηρύττεις, καὶ ταύτης, σοφέ,* πλουσίως τυχών,* μέγιστε Δημήτριε,* καταφωτίζεις τοὺς πίστει μελῳδοῦντας·* Ἡ Τριάς,* ὁ Θεός, εὐλογητὸς εἶ.

**Καταβασία·** Ἄφραστον θαῦμα...

**Ὠδὴ η΄. Ὁ εἱρμὸς**

Ἔκστηθι φρίττων, οὐρανέ,* καὶ σαλευθήτωσαν* τὰ θεμέλια τῆς γῆς·* ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται* ὁ ἐν ὑψίστοις οἰκῶν* καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται·* ὃν παῖδες εὐλογεῖτε,* ἱερεῖς ἀνυμνεῖτε,* λαὸς ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Τροπάρια**

Ἔφριξε σμῆνος δυσμενὲς* καὶ κατῃσχύνθη δὲ* τῶν δαιμόνων ἡ πληθύς,* ἰδοῦσα τὴν ψυχήν σου βαίνουσαν* εἰς οὐρανοὺς ἐν φωτί,* ἐκ τάφου μικροῦ δέ

σου τὸ σῶμα* τὰ μύρα ἀναβλύζει,* οἱ πιστοὶ δὲ βοῶμεν·* Τὸν Χριστὸν ὑμνεῖτε* εἰς πάντας τοὺς αἰῶνας.

Λέλυσαι σώματος θνητοῦ,* τὴν ἐπουράνιον* δὲ ἀπείληφας ζωήν·* Ἀδὰμ γὰρ τὸν νέον μιμούμενος,* λόγχῃ ἐτρώθης πλευρὰν* καὶ μένεις, Δημήτριε, ἀπαύστως* φρουρῶν τοὺς μελῳδοῦντας·* Ἱερεῖς εὐλογεῖτε* καὶ ὑπερυψοῦτε* Χριστὸν εἰς τοὺς αἰῶνας.

Πέλεις τῷ σώματι νεκρός,* ὁ Λοῦπος δὲ ὁ σὸς* ἀριστεύει ὢν πιστός·* λαβὼν γὰρ τὸν χειρὸς δακτύλιον* καὶ τὸν χιτῶνα τὸν σὸν* θαυμάτων πληθὺν ἐκ τούτων πράττει* καὶ τὸν Χριστὸν κηρύττει* καὶ ἀθλεῖ ὑπὲρ τούτου·* αὐτὸν καὶ σέ, μάρτυς* Δημήτριε, τιμῶμεν.

Ὢ τῶν χαρίτων τῶν ἐν σοί!* ὢ σφαγῆς ὑπὲρ Χριστοῦ!* ἰδοὺ γὰρ ὑπὸ γῆν μὲν τέθεισαι* καὶ συγκαλύπτῃ χοΐ, τὸ σῶμα* θνητὸν ὡς κεκτημένος,* ἀλλ' εἰς τὸν κόσμον φθάνεις* ὥσπερ ἄγγελος, μάρτυς,* καὶ εὐωδιάζεις* Χριστὸν τοὺς ἀνυμνοῦντας.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἔκστηθι φρίττων, οὐρανέ...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Μὴ ἐποδύρου μου, μῆτερ,* καθορῶσα ἐν τάφῳ,* ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες υἱόν·* ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι* καὶ ὑψώσω ἐν δόξῃ* ἀπαύστως ὡς Θεός* τοὺς ἐν πίστει καὶ πόθῳ* σὲ μεγαλύνοντας.

**Τροπάρια**

Μὴ δειλιᾷς, ὦ πατρίς μου* Θεσσαλονίκη πόλις,* ἣν ἐκ δεινῶν ἐλευθερῶ ἀεὶ ταῖς προσευχαῖς·* ἐκλυτρώσομαι γὰρ καὶ νῦν ἐκ θλίψεων* καὶ πληρώσω ἐνθέων* ἀμέτρων ἀγαθῶν* καὶ φυλάξω καὶ σώσω,* λέγει Δημήτριος.

Ἐπὶ ταῖς σαῖς μεσιτείαις* τῶν δεινῶν λυτρωθεῖσα,* ὑπὸ τὰς σὰς διεφυλάχθην πτέρυγας ἀεί·* νῦν δὲ ἡ πατρίς σου τοῦ κινδυνεῦσαι δεινῶς,* κλονουμένη ἀθλίως,* προστρέχω πάλιν σοὶ* καὶ βοῶ σοι· Βοήθει* μοι, ὦ Δημήτριε.

Γῆ με καλύπτει καὶ τάφος,* ἀλλὰ πλήρης ὁ κόσμος* ἐμῆς ὀσμῆς τῆς ἐκ τῶν μύρων χάριτι Χριστοῦ·* μὴ φοβοῦ οὖν, πατρίς μου, ἐμὲ κατέχουσα·* τοὺς ἐχθρούς σου γὰρ πάντας* πατάξω ἐν Χριστῷ* καὶ φυλάξω καὶ σώσω* σὲ τὴν τιμῶσάν με.

Ἀγαλλιάσθω γῆ πᾶσα·* Θεσσαλονίκη χαῖρε* ἡ εὐσεβής· ὁ γὰρ Χριστοῦ ὁπλίτης ὁ λαμπρὸς* μετὰ σοῦ εἰσαεὶ φρουρῶν καὶ σῴζων σε,* τοὺς ἐχθρούς σου συντρίβων,* πληρῶν σε ἀγαθῶν,* ᾧ καὶ κράζε τιμῶσα·* Χαίροις, Δημήτριε.

**Καταβασία·** Μὴ ἐποδύρου μου...

**Ἐξαποστειλάριον**
**Ἦχος γ'. Ἐν Πνεύματι τῷ ἱερῷ**

Σταυρῷ καθοπλισάμενος* τοῦ ἐχθροῦ τὰς ἐπάρσεις* εἰς τέλος κατηδάφισας* καὶ τὸ στέφος τῆς νίκης* ἐδέξω, παμμακάριστε,* ἐκ χειρὸς τοῦ κτίστου σου,* Δημήτριε ἀθλοφόρε,* σὺν ἀρχαγγέλοις χορεύων,* καθικέτευε ἀπαύστως* ὑπὲρ τῶν σὲ ἀνυ-

μνούντων.

**Ἕτερον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε**

Πορφύραν ἐξ αἱμάτων σου* στολισαμένη, ἔνδοξε,* ἡ Ἐκκλησία κομπάζει,* Δημήτριε ἀθλοφόρε,* μαρτύρων ἐγκαλλώπισμα,* Θεσσαλονίκης καύχημα·* δι᾽ ὅ σε ἱκετεύομεν* ὑπὲρ ἡμῶν μὴ ἐλλείπης* Χριστῷ πρεσβεύων ἀπαύστως.

**Θεοτοκίον· Ὅμοιον**

Σὲ οἱ προφῆται ἅπαντες,* παρθένε, προηγόρευσαν* στάμνον καὶ ῥάβδον καὶ πλάκα* καὶ ἀλατόμητον ὄρος* καὶ κιβωτὸν καὶ τράπεζαν,* λυχνίαν χρυσαυγίζουσαν·* ἡμεῖς δέ σε Θεοτόκον* ἀξίως ἀνευφημοῦμεν.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἐκ τῶν κατ᾽ ἀλφάβητον. Ποίημα Συμεὼν Θεσσαλονίκης.**

**Ἦχος πλ. β΄. Αἱ ἀγγελικαὶ**

Φῶς τὸ τριλαμπὲς* καθορᾷς καὶ φῶς ὑπάρχεις* ἀκτινοβολοῦν* τῇ ψυχῇ σου τῇ ἐνδόξῳ,* ἣ καὶ ἀντανακλάσεις* ἐνεργεῖ ἐν τῷ σκήνει σου* ὡς ἐπισκιάζουσα καὶ χάριν* τὴν αὐτῆς αὐτῷ ἐναφιεῖσα·* δι᾽ οὗ πλήρωσον* πάντας ἐνθέου φωτισμοῦ,* μάρτυς, τοὺς ὑμνοῦντάς σε.

Χαίροις ὁ κλεινὸς* ἐν τοῖς μάρτυσι καὶ μέγας* ὄντως ἀθλητὴς* καὶ τῆς πλάνης καταλύτης,* Δημήτριε τρισμάκαρ,* ὃς τὸ αἷμα ἐξέχεας* διὰ τὸν Χριστὸν τὸν πάντων κτίστην,* φρούρησον ἡμᾶς τοὺς ὑμνητάς σου,* θερμῶς ψάλλοντας·* Ὁ Δημητρίου βραβευτής,* Χριστέ, δόξα σοι.

Ψάλλεις νοερῶς* σὺν ἀγγέλοις καὶ γεραίρεις* τὸν δημιουργὸν* ἐν Τριάδι Θεὸν ἕνα,* τρισάγιον τὸν αἶνον* ἀναμέλπων, Δημήτριε,* καὶ τριαδικῆς πληροῦσαι δόξης,* ἧς καὶ ἡμᾶς τυχεῖν δυσώπει* τοὺς δοξάζοντας* μίαν θεότητα πιστῶς,* ἁπλῆν, τρισυπόστατον.

Ὦ τῶν ἀθλητῶν* κορωνὶς καὶ μέγα κλέος,* ὦ τῶν ἀρετῶν* θεῖος οἶκος καὶ ταμεῖον,* ὦ πάντων τῶν ἁγίων* τῶν χαρίτων συμμέτοχε,* πάντας προσλαβόμενος δυσώπει* σὺν τῇ πανάγνῳ Θεοτόκῳ* πάσης θλίψεως* ρυσθῆναι ἅπαντας τοὺς σὲ* τιμῶντας, Δημήτριε.

Δόξα... **Ἦχος α'**

Τοῦ μεγάλου βασιλέως* θεράπων, Δημήτριε,* χαῖρε καὶ εὐφραίνου·* Θεῷ γὰρ εὐηρέστησας,* πάντων καταφρονήσας,* ζωὴν τὴν αἰώνιον* ἔλαβες ἐν οὐρανοῖς·* τὸ γὰρ σῶμά σου πᾶσαν νόσον* ἐξ ἀνθρώπων ἀπελαύνει,* Χριστὸς γάρ, ὃν ἐπόθησας,* αὐτός σε δοξάζει, μακάριε.

Καὶ νῦν... **Θεοτοκίον**

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη* καὶ τῶν θλιβομένων στεναγμὸν μὴ παρορῶσα,* πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου* σωθῆναι ἡμᾶς, παναγία παρθένε.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

## Τῌ ΚϚ΄ ΟΚΤΩΒΡΙΟΥ
## («ΠΑΣΧΑ»)

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εἰς τὸ Κύριε, ἐκέκραξα' ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἕξ**

**Ποίημα Ἀλεξίου Νικαίας**

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος**

Δεῦτε, τῶν πιστῶν τὸ πλήρωμα,* εὐσεβῶς τὰς χεῖρας* πρὸς Θεὸν ὑψώσωμεν* καὶ ᾄσμασιν ἱεροῖς* πάντες τιμήσωμεν* τὸν μιμητὴν τοῦ Χριστοῦ,* τὸν λογχευθέντα στερρῶς δι' ἀθλήσεως,* Δημήτριον τὸν κλεινόν,* τῶν ἀσθενούντων τὴν θείαν παράκλησιν,* τὸν τῆς οἰκουμένης πάσης* βοηθὸν ταχύτατον,* τὸν παρέχοντα πᾶσι* τοῖς αἰτοῦσι τὰ αἰτήματα.

Σήμερον πιστοὶ χορεύσωμεν,* ἐν ψαλμοῖς καὶ ὕμνοις* τῷ Κυρίῳ ᾄδοντες,* τιμῶντες καὶ τὸν αὐτοῦ* μεγαλομάρτυρα,* τὸν μυρορρόαν, ᾠδαῖς,* τὸν συνταφέντα αὐτῷ δι' ἀθλήσεως,* Δημήτριον τὸν στερρόν,* τῶν ἀθλοφόρων εὐῶδες ἀπάνθισμα,* τὸ τῶν Μακεδόνων κλέος,* Θετταλίας καύχημα,* τῆς Χριστοῦ Ἐκκλησίας* τὸ ἀσάλευτον ἑδραίωμα.

Ὢ τοῦ παραδόξου θαύματος!* ἡ πηγὴ τῆς ζωῆς,* Χριστὸς ὁ Θεὸς ἡμῶν,* τοῦ μύρου σε νοητὴν* πηγὴν ἀνέδειξε,* Δημήτριε ἀθλητά,* Θεσσαλονίκης τερπνὸν ἐγκαλλώπισμα·* διὸ τιμῶμεν τὴν σὴν* χαρμονικῶς σεβασμίαν πανήγυριν* καὶ ἐν τῷ ναῷ σου πάντες* ἀθροισθέντες, κράζομεν·* Μὴ ἐλλίπῃς πρεσ-

βεύων* ἐκτενῶς ὑπὲρ τῶν δούλων σου.

**Ἕτερα στιχηρὰ**
**Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν**

Δεῦρο, μάρτυς Χριστοῦ, πρὸς ἡμᾶς* σοῦ δεομένους συμπαθοῦς ἐπισκέψεως* καὶ ῥῦσαι κεκακωμένους* τυραννικαῖς ἀπειλαῖς* καὶ δεινῇ μανίᾳ τῆς αἱρέσεως·* ὑφ' ἧς ὡς αἰχμάλωτοι* καὶ γυμνοὶ διωκόμεθα,* τόπον ἐκ τόπου* συνεχῶς διαμείβοντες* καὶ πλανώμενοι* ἐν σπηλαίοις καὶ ὄρεσιν.* Οἴκτιρον οὖν, πανεύφημε,* καὶ δὸς ἡμῖν ἄνεσιν·* παῦσον τὴν ζάλην καὶ σβέσον* τὴν καθ' ἡμῶν ἀγανάκτησιν,* Θεὸν ἱκετεύων,* τὸν παρέχοντα τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Τεῖχος ὠχυρωμένον ἡμῖν,* τὰς ἑλεπόλεις τῶν ἐχθρῶν μὴ πτοούμενον,* ἐδόθης τὰς τῶν βαρβάρων* ἐπιδρομὰς καταργῶν* καὶ πασῶν τῶν νόσων τὰ συμπτώματα·* κρηπὶς ἀκατάβλητος* καὶ θεμέλιος ἄρρηκτος* καὶ πολιοῦχος,* οἰκιστὴς καὶ ὑπέρμαχος* ἐχρημάτισας* τῇ σῇ πόλει, Δημήτριε·* ἣν λυτρωθεῖσαν, ἔνδοξε,* Θεοῦ εὐδοκήσαντος,* διὰ παντὸς ἐλευθέραν* ταῖς σαῖς πρεσβείαις διάσωσον,* Χριστὸν ἱκετεύων,* τὸν παρέχοντα τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Πᾶσαν τὴν ἀρετὴν συλλαβὼν* τῶν ἀθλοφόρων ὁ χορὸς ἀναδείκνυται·* ἐντεῦθεν τῆς ἀκηράτου* καὶ μακαρίας ζωῆς,* τὴν τρυφὴν ἀξίως ἐκληρώσαντο·* ἐν οἷς, ἀξιάγαστε,* διαπρέπων, Δημήτριε,* καὶ τῇ μιμήσει* τοῦ Χριστοῦ σεμνυνόμενος* καὶ καυχώμενος* τῇ τῆς λόγχης ἰσότητι,* αἴτησαι ἐκτενέστερον* ἡμᾶς τοὺς τιμῶντάς σε* τῶν παθημάτων ῥυ-

σθῆναι* καὶ χαλεπῶν περιστάσεων,* θερμῶς ἱκετεύων* τὸν παρέχοντα τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Δόξα... **Ἦχος α΄**

Ἐπινίκιον χορεύσωμεν* πνευματικῶς γεραίροντες* τὸν βασιλέα Χριστόν,* τὴν ἐτήσιον τοῦ μάρτυρος* καταλαβόντες ἑορτήν,* ἐν ᾗ τὸν ὑπὲρ τῆς πίστεως* ἀγῶνα διανύσας,* τὸ οἰκεῖον αἷμα* ἐξέχεεν ὑπὲρ αὐτοῦ.* Πρέσβευε τῷ Κυρίῳ* σωθῆναι τοὺς ἐκτελοῦντας ἐν πίστει* τὴν μνήμην σου, Δημήτριε.

Καὶ νῦν... **Θεοτοκίον**

Τὴν παγκόσμιον δόξαν,* τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν* καὶ τὸν δεσπότην τεκοῦσαν,* τὴν ἐπουράνιον πύλην,* ὑμνήσωμεν Μαρίαν τὴν παρθένον,* τῶν ἀσωμάτων τὸ ᾆσμα* καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα·* αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς* καὶ ναὸς τῆς Θεότητος·* αὕτη τὸ μεσότοιχον* τῆς ἔχθρας καθελοῦσα,* εἰρήνην ἀντεισῆξε* καὶ τὸ βασίλειον ἠνέῳξε.* Ταύτην οὖν κατέχοντες* τῆς πίστεως τὴν ἄγκυραν,* ὑπέρμαχον ἔχομεν* τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον.* Θαρσείτω τοίνυν,* θαρσείτω λαὸς τοῦ Θεοῦ·* καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς,* ὡς παντοδύναμος.

**Εἴσοδος, τὸ** Φῶς ἱλαρὸν **καὶ τὸ προκείμενον τῆς ἡμέρας**
**Εἰς τὸν στίχον στιχηρὰ προσόμοια**
**Ἦχος α΄. Ὢ τοῦ παραδόξου**

Ὢ τοῦ παραδόξου θαύματος!* τοῦ Χριστοῦ ὁ μάρτυς* ἐν φρέατι ῥίπτεται,* διὰ δοράτων πολλῶν* νεκρὸς γενόμενος.* Εὐφραίνου τῶν ἀθλητῶν* ἡ κο-

ρωνὶς καὶ τὸ θεῖον ἐντρύφημα,* βοήσωμεν, οἱ πιστοί,* τοῦ ἀθλοφόρου τῇ πόλει, ὡς ἔμψυχον·* Ὦ Θεσσαλονίκη, χαῖρε,* μετὰ σοῦ Δημήτριος,* ὁ πρεσβεύων ἀπαύστως* ὑπὲρ σοῦ Χριστὸν τὸν Κύριον.

**Στίχ.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Βαβαὶ τῶν σῶν λογχευμάτων δεινῶν* ὧν ὑπέστης, Δημήτριε μέγιστε,* καὶ γῆθεν πρὸς οὐρανὸν* μετέστης σήμερον* πρὸς πόλιν τὴν ἀρραγῆ,* τὴν τῶν ἁγίων ἁπάντων μητρόπολιν,* στρατίαι αἱ τῶν πιστῶν,* τοῦ βασιλέως πρὸς ὕψος βοήσατε·* Ὦ Θεσσαλονίκη, χαῖρε,* μετὰ σοῦ Δημήτριος·* ὑπὲρ σοῦ γὰρ ἀπαύστως* ἱκετεύει τὸν Σωτῆρα Χριστόν.

**Στίχ.** Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου...

Τὴν σὴν δοξάζουσι λόγχευσιν* βασιλεῖς ἐνδόξως,* ἡγεμόνες ἅπαντες,* τὰ πλήθη τὰ τῶν πιστῶν* καὶ τοῦ στρατοῦ ἡ πληθύς·* ἀγάλλονται σὺν αὐτοῖς* ἐπὶ τῇ θείᾳ σου δόξῃ οἱ ἄγγελοι·* προσπίπτουσιν ἱερεῖς* σὺν πατριάρχαις, λευΐταις καὶ μέλπουσιν·* Ὦ Θεσσαλονίκη, χαῖρε,* μετὰ σοῦ Δημήτριος,* ἱκετεύων ἀπαύστως* λυτρωθῆναί σε βαρβάρων ἐχθρῶν.

Δόξα... **Ἦχος δʹ**

Τὸν τοῦ Χριστοῦ στρατηγέτην ἄριστον* καὶ τῆς αὐτοῦ κληρονόμον μακαριότητος* πάντες εὐφημήσωμεν, πιστοί,* καὶ μακαρίσωμεν ἐπαξίως* Δημήτριον τὸν γενναῖον μεγαλομάρτυρα,* τῆς παρθενίας τὸ ἄχραντον κειμήλιον* καὶ στόμα τοῦ Κυρίου,* ἐξ ἀναξίου τοῦ βυθοῦ τῆς πλάνης* θεοσόφοις διδαχαῖς* τοὺς λαοὺς ἀνάγοντα,* τὸν καὶ ἡμῶν ἐν κινδύνοις προϊστάμενον* καὶ πρεσβεύοντα ἐκτενῶς τῷ Κυρίῳ*

ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... **Θεοτοκίον**

Νεῦσον παρακλήσεσι* σῶν ἱκετῶν, πανάμωμε,* παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις,* πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα·* σὲ γὰρ μόνην ἀσφαλῆ* καὶ βεβαίαν ἄγκυραν ἔχομεν* καὶ τὴν σὴν προστασίαν κεκτήμεθα.* Μὴ αἰσχυνθῶμεν, δέσποινα,* σὲ προσκαλούμενοι·* σπεῦσον εἰς ἱκεσίαν* τῶν σοὶ πιστῶς βοώντων·* Χαῖρε, δέσποινα,* ἡ πάντων βοήθεια,* χαρὰ καὶ σκέπη* καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Ἀπολυτίκιον. Ἦχος γ´**

Μέγαν εὕρατο...

**Θεοτοκίον**

Σὲ τὴν μεσιτεύσασαν...

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Κατὰ τὸν τύπον τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσεως καὶ ἐν τῇ μνήμῃ τελεῖται τοῦ μυροβλύτου καὶ θείου μάρτυρος Δημητρίου ἐν τῷ σεβασμίῳ τούτου ναῷ ἐν τῇ Θεσσαλονικέων.**

**Τῶν ἱερέων πάντων ἠλλαγμένων ὄντων καὶ εὐλογήσαντος τοῦ πρώτου, γίνεται περίοδος ἐντὸς τοῦ ναοῦ ἀπὸ τοῦ τάφου κύκλῳ εἰς τὰς πλαγίας (τὰ πλάγια κλίτη) ἐξερχομένων, τοῦ σταυροῦ προηγουμένου, καὶ ψαλλομένου τροπαρίου, ἦχος πλ. α´, ὡς καὶ ἐπὶ τῆς ἀναστάσεως·**

Χριστοῦ τὴν δόξαν μαρτυρεῖ,* πηγάζων ἐκ πλευρᾶς τὰ μύρα* ὁ μάρτυς Δημήτριος,* αὐτὸν μεγαλύνωμεν.

**Καὶ κυκλοῦντες τὰς πλαγίας, εἰσέρχονται τὸν ναόν, ἀπὸ τῆς πλαγίας τῆς ἐκ τοῦ ἄμβωνος εἰσερχόμενοι, καὶ κατερχόμενοι τὸν ναόν, προσκυνοῦσι τὸν τάφον.**

**Εἶτα λέγονται τὰ εἰρηνικὰ**

**Καὶ ψάλλεται ὁ κανών, ὡς ἕπεται·**

**Κανών, προσόμοιος τοῦ κανόνος τοῦ Πάσχα**

**Ποίημα Ἰωάννου τοῦ Σταυρακίου**

**Ὠδὴ α΄. Ἦχος α΄. Ὁ εἱρμὸς**

Ἀναστάσεως ἡμέρα,* λαμπρυνθῶμεν, λαοί,* Πάσχα Κυρίου Πάσχα·* ἐκ γὰρ θανάτου πρὸς ζωὴν* καὶ ἐκ γῆς πρὸς οὐρανὸν* Χριστὸς ὁ Θεὸς* ἡμᾶς διεβίβασεν,* ἐπινίκιον ᾄδοντας.

**Τροπάρια**

Ἀναστάσεως ἡμέρα,* Δημητρίου σφαγή,* πίπτει καὶ γὰρ ἡ πλάνη·* ἡ δ' Ἐκκλησία τοῦ Χριστοῦ* ἐξεγήγερται λαμπρῶς* καὶ χαίρει χαρᾷ,* ᾠδὴν χαριστήριον* τῷ Θεῷ ἀνακράζουσα.

Καθαρθῶμεν ῥύπον* πάντα καὶ συνδράμωμεν* ἔνδον λευχειμονοῦντες* τοῦ Δημητρίου τῆς σοροῦ,* ἐξαστράπτοντα αὐτὸν* ὁρῶντες τρανῶς,* ὡς ἂν ἀκουσώμεθα* πρὸς τοῦ μάρτυρος· Χαίρετε.

Οὐρανοὶ μὲν διηγοῦνται* ὄντως δόξαν Θεοῦ,* ἣν τοὺς πιστοὺς δοξάζει·* ποίησιν δ' αὖθις τῶν χειρῶν* τὸ στερέωμα ὑμνεῖ·* ὁ μάρτυς ἰδού,* χειρῶν Θεοῦ ποίημα,* διὰ τοῦτο γεραίρεται.

**Καταβασία·** Ἀναστάσεως ἡμέρα...

**Ὠδὴ γ΄. Ὁ εἱρμὸς**

Δεῦτε πόμα πίωμεν καινόν,* οὐκ ἐκ πέτρας ἀγόνου* τερατουργούμενον·* ἀλλ' ἀφθαρσίας πηγὴν*

ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ,* ἐν ᾧ στερεούμεθα.

**Τροπάρια**

Δεῦτε πόμα πίωμεν καινὸν* ἐκ πλευρᾶς Δημητρίου* τὸ προχεόμενον* καὶ τῆς ὀσμῆς τῶν αὐτοῦ* αἰσθώμεθα μύρων δαψιλῶς,* ἐν οἷς στερεούμεθα.

Νῦν πᾶσα πεπλήρωται χαρᾶς* ἡ Χριστοῦ Ἐκκλησία* μνήμῃ τοῦ μάρτυρος·* Θεσσαλονίκη δὲ κροτεῖ* καὶ μᾶλλον τοῖς μύροις αὐτοῦ,* ἐν οἷς ἐστερέωται.

Χθὲς συνεσταυροῦτο τῷ Χριστῷ* τῇ ἀθλήσει ὁ μέγας* μάρτυς Δημήτριος* καὶ συνδοξάζεται νῦν* λαμπρῶς στεφανούμενος Θεῷ,* ἐν ᾧ ἐστερέωται.

**Καταβασία·** Δεῦτε πόμα πίωμεν...

**Κάθισμα**

**Ἦχος β΄. Τὰ ἄνω ζητῶν**

Πρεσβείαν τὴν σὴν* ὡς ὅπλον ἀπροσμάχητον* πλουτοῦντες ἀεὶ* οἱ πίστει σοι προσφεύγοντες,* ἐκτενῶς βοῶμέν σοι·* Ἀθλοφόρε Κυρίου, πρόφθασον* καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς,* τὸν πάντων δεσπότην ἱλεούμενος.

Δόξα...Καὶ νῦν... **Θεοτοκίον**

Πρεσβεία θερμὴ* καὶ τεῖχος ἀπροσμάχητον,* ἐλέους πηγή,* τοῦ κόσμου καταφύγιον,* ἐκτενῶς βοῶμέν σοι·* Θεοτόκε δέσποινα, πρόφθασον* καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς,* ἡ μόνη ταχέως προστατεύουσα.

**Ὠδὴ δ΄. Ὁ εἱρμὸς**

Ἐπὶ τῆς θείας φυλακῆς* ὁ θεηγόρος Ἀββα-

κοὺμ* στήτω μεθ' ἡμῶν καὶ δεικνύτω* φαεσφόρον ἄγγελον* διαπρυσίως λέγοντα·* Σήμερον σωτηρία τῷ κόσμῳ,* ὅτι ἀνέστη Χριστός,* ὡς παντοδύναμος.

**Τροπάρια**

Ἐπὶ τῆς θείας φυλακῆς* τοῦ Δημητρίου τῆς σοροῦ* στῶμεν εὐλαβῶς, καθορῶντες* φαεσφόρον σήμερον* τὸν ἀθλοφόρον, κράζοντα·* Ἥσθητε νοητῆς εὐφροσύνης* καὶ ὕδωρ ὡς ἐκ πηγῆς* μύρον ἀντλήσατε.

Ὡς ἐνιαύσιος ἀμνὸς* ὁ μυρορρόας τῷ Χριστῷ* τέθυται σφαγῇ ἑκουσίῳ,* τοῦ πιεῖν γὰρ ἔσπευδε* τὸ τοῦ Χριστοῦ ποτήριον·* πίνει οὖν, καὶ πηγὴν τὴν τῶν μύρων* πιστοὺς ποτίζει, δι' ὃ* καὶ μεγαλύνεται.

Ἄρσεν μὲν τὸ εἰς θυσίαν* προσαγόμενον ποτὲ ἦν,* ὑποδηλοῦν τὸ γενναῖον* ἀρετῶν καὶ γόνιμον* τῶν προσαγόντων· οὕτω γὰρ* βούλεται ὁ Θεὸς ἔχειν πάντας.* Ὅρα μοι ταῦτα λοιπὸν* τῷ θείῳ μάρτυρι.

Ὁ θεοπάτωρ μὲν Δαυὶδ* πρὸ τῆς σκιώδους κιβωτοῦ* ἥλατο σκιρτῶν,* ἡμεῖς δὲ κιβωτοῦ τοῦ μάρτυρος* νῦν προσκιρτῶντες κράζομεν·* Αἴνεσις τῷ ἡμῖν χορηγοῦντι* λύτρον παθῶν καὶ χρηστὰ* διὰ τοῦ μάρτυρος.

**Καταβασία·** Ἐπὶ τῆς θείας φυλακῆς...

**Ὠδὴ ε΄. Ὁ εἱρμὸς**

Ὀρθρίσωμεν ὄρθρου βαθέος* καὶ ἀντὶ μύρου τὸν ὕμνον* προσοίσωμεν τῷ δεσπότῃ* καὶ Χριστὸν ὀψόμεθα* δικαιοσύνης ἥλιον,* πᾶσι ζωὴν ἀνατέλλοντα.

**Τροπάρια**

Ὀρθρίσωμεν ὄρθρου βαθέος* καὶ ἀντὶ μύρου τοῖς μύροις* προσέλθωμεν Δημητρίου* καὶ αὐτὸν ὀψόμεθα,* ὡς ἐκ παστοῦ ἀνίσχοντα* ἥλιον, πάντας φωτίζοντα.

Τὴν ἄμετρόν σου καρτερίαν,* Χριστοῦ ὁπλῖτα, καὶ ἄγγελοι* βλέποντες· Ἰδοὺ σῶμα,* ἐκπλαγῶς ἀνέκραζον,* ἀδάμαντος στερρότερον,* πνεῦμα χειρῶν Θεοῦ δ᾿ ἄξιον.

Προσέλθωμεν λαμπαδηφόροι* τῇ μυροθήκῃ Δημητρίου* μάρτυρος καὶ λαμπάδας* τὰς ἔνδον κοσμήσωμεν,* τὸ μύρον ὡσεὶ ἔλαιον* ψυχῆς ἀγγείοις λαμβάνοντες.

**Καταβασία·** Ὀρθρίσωμεν ὄρθρου βαθέος...

**Ὠδὴ ς΄. Ὁ εἱρμός**

Κατῆλθες* ἐν τοῖς κατωτάτοις τῆς γῆς* καὶ συνέτριψας μοχλοὺς αἰωνίους,* κατόχους πεπεδημένων, Χριστέ·* καὶ τριήμερος,* ὡς ἐκ κήτους Ἰωνᾶς,* ἐξανέστης τοῦ τάφου.

**Τροπάρια**

Κατῆλθες* ἐν μνήματι, μάρτυς, καινῷ,* ὥσπερ ἥλιος φαιδρός, ἁγιάζων* τοὺς πίστει ἀνευφημοῦντας τὴν σὴν* νῦν πανίερον* καὶ αἰσίαν ἑορτήν,* Δημήτριε τρισμάκαρ.

Φυλάξας* τὰ σήμαντρα σῷα, σοφέ,* ὡραιότητος πρώτης εἰς καιρόν,* ζωῆς ξύλου λαμπρῶς τετύχηκας,* τὸν ἁρμόζοντα* καὶ τρυγᾷς ἐν τῇ Ἐδὲμ* ἀγαθῶν παγκαρπίαν.

Σωτήρ μου* καὶ ῥύστης, ἐβόας, Χριστός,* ἐξ

ἐχθρῶν μου ὀργίλων,* τῶν ἀθέων εἰδώλων καταμωκώμενος·* καὶ λελόγχευσαι* διὰ τοῦτο τὴν πλευράν,* ἀθλητὰ γενναιόφρον.

**Καταβασία·** Κατῆλθες ἐν τοῖς κατωτάτοις...

**Κοντάκιον. Ποίημα Στεφάνου**
**Ἦχος β΄. Αὐτόμελον**

Τοῖς τῶν αἱμάτων σου ῥείθροις, Δημήτριε,* τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν,* ὁ δούς σοι τὸ κράτος ἀήττητον* καὶ περιέπων τὴν πόλιν σου ἄτρωτον·* αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

**Ὁ οἶκος. Πρὸς τό· Τράνωσόν μου**

Τοῦτον τὸν μέγαν πάντες συμφώνως* συνελθόντες ἐν πίστει, ὡς ὁπλίτην Χριστοῦ* καὶ μάρτυρα καταστέψωμεν,* ἐν ᾠδαῖς καὶ ὕμνοις συνεκβοῶντες* τῷ δεσπότῃ καὶ κτίστῃ τῆς οἰκουμένης·* Ῥῦσαι ἡμᾶς τοῦ σεισμοῦ τῆς ἀνάγκης, φιλάνθρωπε,* πρεσβείαις τῆς Θεοτόκου, τῶν ἁγίων* καὶ πάντων τῶν μαρτύρων σου·* εἰς σὲ γὰρ πάντες ἐλπίζομεν* τοῦ ῥυσθῆναι κινδύνων καὶ θλίψεων·* αὐτὸς γὰρ ὑπάρχεις τὸ στήριγμα.

**Συναξάριον**

Τῇ κς΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Δημητρίου τοῦ μυροβλύτου καὶ θαυματουργοῦ.

**Στίχοι**

Δημήτριον νύττουσι λόγχαι, Χριστέ μου,
ζηλοῦντα πλευρᾶς λογχονύκτου σῆς πάθος.

Εἰκοστῇ μελίαι Δημήτριον ἕκτῃ ἀνεῖλον.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς· ἀμήν.

**Ὠδὴ ζ΄. Ὁ εἱρμὸς**

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος,* γενόμενος ἄνθρωπος,* πάσχει ὡς θνητὸς* καὶ διὰ πάθους τὸ θνητὸν* ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,* ὁ μόνος εὐλογητὸς τῶν πατέρων* Θεὸς καὶ ὑπερένδοξος.

**Τροπάρια**

Ὁ Νέστορα καὶ Λοῦπον Δημήτριος* ἀλείψας πρὸς ἄθλησιν,* πάσχει ὡς θνητὸς* καὶ διὰ πάθους τὸ θνητὸν* ἀφθαρσίας ἐνδύει εὐπρέπειαν·* Σὺ μόνος εὐλογητός, ἀνακράζων,* Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες εὐσεβεῖς νῦν διδάχθητε* παρθενίας χάριτας·* ἴδε ὁ κλεινὸς* Χριστοῦ ὁπλίτης τὰ μύρα* τῆς καθάρσεως δείκνυσι μέγαν καρπόν,* ἃ βλύζει παρθενικῶν ἐξ αἱμάτων,* ὑμνῶν τὸν τῶν πατέρων Θεόν.

Ὡς ὄντως ἱερά, ὦ Δημήτριε,* σφαγή σου πλευρόνυκτος·* ῥηγνὺς γὰρ πλευρᾶς* τὸ ἐπισκέπον σαρκίον* καὶ γυμνὴν τῷ Χριστῷ δεικνύς, ἔκραζες·* Οὐ κέκρυπται ἀπὸ σοῦ τὸ ὀστοῦν μου,* κρυφῇ ὅπερ εἰργάσω, Χριστέ.

Θανάτῳ ἀντηλλάξω, Δημήτριε,* ζωὴν τὴν αἰώνιον·* σπείρεις οὐ σαρκί,* ἀλλὰ τῷ Πνεύματι· διὸ* καὶ θερίζεις ἐκ τούτου τὰ μόνιμα,* τὸν μόνον εὐλογητὸν μεγαλύνων* Θεὸν τὸν τῶν πατέρων ἡμῶν.

**Καταβασία·** Ὁ παῖδας ἐκ καμίνου...

**Ὠδὴ η΄. Ὁ εἱρμὸς**

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,* ἡ μία τῶν Σαββάτων,* ἡ βασιλὶς καὶ κυρία,* ἑορτῶν ἑορτὴ* καὶ πανήγυρίς ἐστι πανηγύρεων,* ἐν ᾗ εὐλογοῦμεν* Χριστὸν εἰς τοὺς αἰῶνας.

**Τροπάρια**

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,* ἐν ᾗ Θεσσαλονίκῃ* ὡς βασιλὶς καὶ κυρία,* ἑορτῶν ἑορτὴν* καὶ πανήγυριν αὐχεῖ πανηγύρεων,* καθ' ἣν εὐλογοῦμεν* Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ, ἀνεβόας Δημήτριε,* ἄρτου, σαρκὸς τοῦ Λόγου,* κατατρυφήσωμεν πάντες* καὶ τοῦ αἵματος* ζωηφόρου εὐλαβῶς κοινωνήσωμεν·* λογχεύῃ διὸ* τὴν πλευρὰν καὶ μύρα βλύζεις.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου* φαιδρῶς καὶ ἴδε,* πόλις Θεσσαλονίκη·* λαοὶ ἐκ γῆς μακρόθεν* ἐκ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης* καὶ ἑώας νῦν ἥκασιν,* ἐν σοὶ προσκυνῆσαι* Δημήτριον τὸν μέγαν.

Πάτερ παντοκράτορ καὶ Λόγε καὶ Πνεῦμα,* μοναρχικὴ οὐσία,* σὺ εἶ Θεός μου καὶ δόξα,* ἀνεκραύγαζεν* ὁ Δημήτριος· διὸ καὶ λελόγχευται* καὶ νῦν τὴν Τριάδα* δοξάζει μετ' ἀγγέλων.

**Καταβασία·** Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα...

**Ὠδὴ θ΄. Ὁ εἱρμὸς**

Φωτίζου, φωτίζου,* ἡ νέα Ἱερουσαλήμ·* ἡ γὰρ δόξα Κυρίου* ἐπὶ σὲ ἀνέτειλε·* χόρευε νῦν καὶ

ἀγάλλου, Σιών,* σὺ δὲ ἁγνὴ* τέρπου, Θεοτόκε,* ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

**Τροπάρια**

Φωτίζου, φωτίζου,* πᾶσα ἡ ποίμνη Θετταλῶν·* ὁ γὰρ σοῦ πολιοῦχος* ὡς ἀστὴρ ἐπέφανεν,* ἐξ οὐρανοῦ πεμπόμενος,* φωταγωγῶν* ἅπασαν τὴν κτίσιν* ὁ μέγας μάρτυς Δημήτριος.

Ὢ θείας, ὢ φίλης,* ὢ γλυκυτάτης σου φωνῆς!* τοῦ Χριστοῦ ἀθλοφόρε,* ἐπηγγείλω ἔσεσθαι* καὶ γὰρ κινδύνων καιρῷ μεθ' ἡμῶν·* ἣν σὸς λαὸς* ἄγκυραν ἐλπίδος* κατέχοντες, ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ θεῖον* ἡμῶν, Δημήτριε σοφέ·* διὰ σοῦ πάσης βλάβης* ἐξ Αἰγύπτου ἄντικρυς* βαίνομεν πᾶσα ἡ ποίμνη σου·* ἣν ὁδηγῶν* τῇ ἐπηγγελμένῃ* τρυφῇ εἰσάγοις πρεσβείαις σου.

**Καταβασία·** Φωτίζου, φωτίζου...

**Ἐξαποστειλάριον**
**Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν**

Λαμπραῖς ἀκτῖσι, πάνσοφε,* τῆς ἁγίας Τριάδος* τρανῶς περιεχόμενος,* λάμπρυνον σαῖς πρεσβείαις* τῶν σὲ ὑμνούντων καρδίας* καὶ εἰρήνην τῷ κόσμῳ* πρυτάνευσον, Δημήτριε,* ἐκ Θεοῦ καὶ ταῖς νίκαις* τοὺς εὐσεβεῖς* βασιλεῖς κραταίωσον ἐν πολέμοις,* μεγαλομάρτυς ἔνδοξε,* παρρησίαν γὰρ ἔχεις.

**Ἕτερον. Ἦχος γ΄. Ἐπεφάνη ὁ Σωτὴρ**

Παριστάμενος φωτὶ* ἀδύτῳ, παναοίδιμε,* νῦν τοὺς τὴν σὴν ἐκτελοῦντας* μνήμην ἐπόπτευσον ἡμᾶς*

φωτὸς ἀκηράτου,* Δημήτριε ἔνδοξε.

**Θεοτοκίον. Ὅμοιον**

Ἐπὶ σοὶ μετὰ Θεὸν* ἐλπίζομεν, πανάχραντε,* καὶ τῷ ἐκ σοῦ προελθόντι* συσταυρούμεθα Χριστῷ·* ταῖς πρὸς αὐτὸν πρεσβείαις σου* ἀπροσκόπους εἰς τέλος* ἡμᾶς διαφύλαξον.

**Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τέσσαρα. Ποίημα Συμεὼν Θεσσαλονίκης**

**Ἦχος πλ. α΄. Πρὸς τό· Πάσχα ἱερὸν**

Ἔαρ νοητὸν ἡμῖν σήμερον ἀνατέταλκεν,* ἔαρ καινὸν ἅγιον,* ἔαρ παμφαέστατον,* μάρτυς Χριστοῦ χρυσοειδής,* μάρτυς πάμφωτος,* μάρτυς μέγας,* μάρτυς μυστικός,* μάρτυς ὁ πνεύσας ὀσμὴν* τοῦ παραδείσου ἡδίω* ἐν τῇ μνήμῃ τῆς αὐτοῦ ἑορτῆς.

Δεῦρο ἀπὸ θέας τῶν ἄνω* ἐλθέ, Δημήτριε,* καὶ τοῖς ἐν γῇ φάνηθι* φέρων ἐκ Θεοῦ* χαρᾶς εὐαγγέλια* τοῖς λυπουμένοις ἐν δεινοῖς·* τέρπε, φώτιζε* καὶ εὐλόγει* ἅπαντας ἡμᾶς,* τοῦ βασιλέως Χριστοῦ* τεθεωμένος ἐκ μεθέξεως* στρατιώτης γνωριζόμενος.

Οἱ ἐν πυρφόρῳ καμίνου* λύπης βαθείας ἐπιστάντες* πρὸς τὸν τάφον τοῦ στεφηφόρου,* ἄλλον ἄγγελον* δροσοβολοῦντα ὀψόμενοι·* καὶ αὐτὸς ἐφιπτάμενος,* ἡμῖν οὕτω φθέγγεται·* Τί ζητεῖτε τὸν ὄντα ἤδη μεθ' ὑμῶν;* τί θρηνεῖτε, κατέχοντές με ἤδη τὴν χαράν;* ἀπελήλυθε, χαίρετε,* ἀφ' ὑμῶν τὰ δεινά.

Χαίροις, ἀθλητά·* χαῖρε, ὁπλῖτα, χαῖρε·* χαῖρε, κοσμοπόθητον* ἡμῶν διάσωσμα·* χαῖρε, ὄντως χαρᾷ* καρδίας περιπτυσσόμεθα·* ὢ χαῖρε, λύτρον

λύπης·* καὶ γὰρ ἐξ ὕψους σήμερον,* ὥσπερ ἐκ παστοῦ* νυμφίος φανείς,* τὰ γήινα χαρᾶς ἔπλησας, λύσας* κατήφειαν ἐκ προσώπου.

Δόξα... **Ποίημα Εὐσταθίου Θεσσαλονίκης**
**Ἦχος πλ. α΄. Πρὸς τό· Σαλπίσωμεν ἐν σάλπιγγι**

Συνδράμωμεν ἐν πίστει τε καὶ πόθῳ,* βοήσωμεν ἑόρτια* καὶ κροτήσωμεν χεῖρας ἅπαντες* ἐν τῇ δι᾽ ἔτους πανηγύρει* τοῦ ἀθλοφόρου Χριστοῦ·* στρατιαὶ οὐράνιαι εὐφραινέσθωσαν* καὶ τὸν λογχευθέντα διὰ τὸν λόγχῃ νυγέντα Κύριον* καὶ τὸ θράσος τοῦ Λυαίου καθῃρηκότα* θαρσαλέως, θαυμαζέτωσαν·* ἡ γῆ τε καὶ ἡ θάλασσα* τὰ τοῦ λαμπροῦ φωστῆρος παράδοξα σημεῖα* κατὰ χρέος εὐφημείσθωσαν·* ἡ νεότης τὸν χαλινόν,* οἱ ἐν τῷ γήρει τὴν βακτηρίαν,* οἱ ἐν συμφοραῖς τὸν προστάτην,* οἱ ἄποροι τὸν πλουτιστήν,* οἱ ἐν εὐπορίᾳ τὸν οἰκονόμον,* τὴν συμμαχίαν οἱ στρατιῶται,* οἱ ἐν πελάγει τὸν συμπλωτῆρα,* σὺν πᾶσι τὸν ἑαυτῆς στερρὸν ὑπέρμαχον* πόλις Θεσσαλονίκη,* καθικετεύοντες οὕτως εἴπωμεν·* Περίδοξε Δημήτριε,* πρόφθασον, ἐξελοῦ ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης* καὶ σῶσον τοὺς δούλους σου ταῖς ἱκεσίαις σου.

Καὶ νῦν... **Θεοτοκίον**

Μακαρίζομέν σε,* Θεοτόκε παρθένε,* καὶ δοξάζομέν σε* οἱ πιστοὶ κατὰ χρέος,* τὴν πόλιν τὴν ἄσειστον,* τὸ τεῖχος τὸ ἄρρηκτον,* τὴν ἀρραγῆ προστασίαν* καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη, ἐκτενὴς καὶ ἀπόλυσις.**

# ΠΑΡΑΡΤΗΜΑ

## ΕΚΛΟΓΗ

### εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον καὶ εἰς τοὺς λοιποὺς μάρτυρας

Καὶ δύναμις.* Ἀλληλούϊα.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις,* βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.* Ἀλληλούϊα.

Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράττεσθαι τὴν γῆν* καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.* Ἀλληλούϊα.

Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι;* μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς, ὁ Θεός.* Ἀλληλούϊα.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν* καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.* Ἀλληλούϊα.

Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην* καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.* Ἀλληλούϊα.

Εἶπον· Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους* καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα τοῦ Ἰσραὴλ ἔτι.* Ἀλληλούϊα.

Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ* κύκλῳ Ἱερουσαλὴμ καὶ οὐκ ἦν ὁ θάπτων.* Ἀλληλούϊα.

Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ,* τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.* Ἀλληλούϊα.

Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν,* ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.* Ἀλληλούϊα.

Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν* καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.* Ἀλληλούϊα.

Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι,* κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.* Ἀλληλούϊα.

Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου ὠνείδιζόν με οἱ ἐχθροί

μου* καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν.* Ἀλληλούϊα.

Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός,* ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον.* Ἀλληλούϊα.

Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα,* ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.* Ἀλληλούϊα.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος* καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.* Ἀλληλούϊα.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι·* ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν.* Ἀλληλούϊα.

Ὅτι Κύριος ἐν γενεᾷ δικαίων* καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται.* Ἀλληλούϊα.

Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν* καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.* Ἀλληλούϊα.

Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους* καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.* Ἀλληλούϊα.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων* καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.* Ἀλληλούϊα.

Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται,* σωτηρία δὲ δικαίων παρὰ Κυρίου.* Ἀλληλούϊα.

Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ* καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.* Ἀλληλούϊα.

Φῶς ἀνέτειλε τῷ δικαίῳ* καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.* Ἀλληλούϊα.

Εὐφράνθητε, δίκαιοι, ἐν Κυρίῳ* καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.* Ἀλληλούϊα.

Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ·* τοῖς εὐθέσι πρέπει αἴνεσις.* Ἀλληλούϊα.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος·* θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ.* Ἀλληλούϊα.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος·* πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.* Ἀλληλούϊα.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει* καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.* Ἀλληλούϊα.

Ὅτι σὺ εὐλογήσεις δίκαιον* καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου.* Ἀλληλούϊα.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ καὶ ἐλπιεῖ ἐπ' αὐτὸν* καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.* Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι·* καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.* Ἀλληλούϊα.

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΜΝΗΜΟΣΥΝΟΥ

# ΕΙΣΑΓΩΓΗ

Ὑπὸ πολλῶν παρετηρήθη ὅτι εἰς τὰ κοιμητήρια τῶν μεγάλων ἰδίᾳ πόλεων θὰ ἔπρεπε νὰ εὑρεθῇ τρόπος βελτιώσεως τῶν ἀφορώντων εἰς τὰς ἐπιμνημοσύνους ὑπὲρ τῶν κεκοιμημένων δεήσεις, πρὸς περιστολὴν τῶν πολλάκις σημειουμένων ἀταξιῶν. Διὰ τὴν βαθμιαίαν παγίωσιν εὐπρεπεστέρας τάξεως θὰ συνετέλει ἀσφαλῶς ἡ εἰς ὡρισμένην πρόσφορον διὰ τοὺς πιστοὺς ὥραν ἑκάστου Σαββάτου ἢ κατὰ τὸ ἑσπέρας τῆς Παρασκευῆς τέλεσις κοινῆς ἐπιμνημοσύνου ἀκολουθίας. Αὕτη θὰ ἔπρεπε νὰ ἔχῃ τοιαύτην λειτουργικὴν δομήν, ὥστε καὶ εἰς εὔλογα πλαίσια χρόνου νὰ κινῆται καὶ ἱκανὰ ἐπὶ μέρους λειτουργικὰ στοιχεῖα νὰ συνδυάζῃ καὶ νὰ δίδεται δι' αὐτῆς ἀφορμὴ εἰς περιστατικήν τινα ὁμιλίαν. Τὸ σύνηθες νεκρώσιμον τρισάγιον, ὑπὸ τὴν συντετμημένην μάλιστα μορφὴν ὑπὸ τὴν ὁποίαν συνήθως τελεῖται, δὲν προσφέρεται πρὸς τοῦτο, τοσοῦτον μάλιστα καθ' ὅσον ἡ νέα ἀκολουθία πρὸς αὐτὴν κυρίως τὴν ἱκανῶς τετριμμένην πρᾶξιν θὰ πρέπει νὰ ἀνταγωνισθῇ.

Ἡ ἀναζήτησις ἐστράφη πρὸς τὰς ἀκενώτους πηγὰς τῆς λειτουργικῆς παραδόσεως τῆς Ἐκκλησίας. Ἐν ἀντιθέσει πρὸς τὰ ἔντυπα Εὐχολόγια, εἰς τὰ ὁποῖα, ὡς γνωστόν, μόνον τὸ σύνηθες νεκρώσιμον τρισάγιον καί τινες σχετικαὶ εὐχαὶ ὑπάρχουν, ἡ σύγχρονος πρᾶξις τοῦ Ἁγίου Ὄρους, τῆς ἐν Πάτμῳ Μονῆς Ἰωάννου τοῦ Θεολόγου καὶ τῶν Σλαβικῶν Ἐκκλησιῶν γνωρίζει ἰδίαν πλουσιωτάτην ἐπιμνημόσυνον ἀκολουθίαν. Κατὰ τὴν τάξιν τοῦ Ἁγίου Ὄρους ἐξεδόθη ἐν Ἀθήναις τὸ 1889, δαπάνῃ τοῦ ἱερομονάχου Σάββα «ἐκ τοῦ Ἰβηριτικοῦ κελλίου τῶν ἁγίων Ἀναργύρων πλησίον τοῦ Πρωτάτου» ὑπὸ τὸν τίτλον «Ἀκολουθία τοῦ μνημοσύνου κατὰ τὴν τάξιν τοῦ Ἁγίου Ὄρους». Εἰς τὰ σλαβωνικὰ καὶ ρουμανικὰ Εὐχολόγια ὁμοίως περιλαμβάνεται ἡ αὐτὴ ἀκολουθία, καλουμένη «Παννυχίδα» ἢ «Παραστὰς» (βλ. ἔκδ. Μόσχας 1623, 1651, Lvov

1645, Κιέβου 1646, Karlovtsi 1911, Σόφιας 1929, Βουκουρεστίου 1896 κ.ἄ.). Εἰς ἑλληνικὰ λειτουργικὰ χειρόγραφα ἀπὸ τοῦ ΙΔ' αἰῶνος καὶ ἑξῆς εὕρηται ἡ ἀκολουθία τοῦ μνημοσύνου ὑπὸ διαφόρους τίτλους, ὡς «Ἀκολουθία εἰς μνημόσυνα νεκρῶν», «Ἀκολουθία νεκρώσιμος ψαλλομένη ἐπὶ κολύβων», «Ἀκολουθία τοῦ μνημοσύνου», «Ἀκολουθία εἰς μνημόσυνον», «Ἀκολουθία ἐν κολλύβοις», διαφοροποιουμένη ἐνίοτε εἰς ἀκολουθίαν ἐπιμνημόσυνον εἰς ἱερέα, εἰς μοναχόν, εἰς μονάζουσαν, εἰς λαϊκὸν κ.τ.τ.

Κατὰ βάσιν ἡ ἀκολουθία τοῦ μνημοσύνου, ὡς ἐκτίθεται εἰς τὰς ἀνωτέρω πηγάς, εἶναι ἡ αὐτή. Παρουσιάζει ὅμως ἀπὸ κώδικος εἰς κώδικα καὶ ἀπὸ ἐντύπου εἰς ἔντυπον πολλὰς παραλλαγάς, ὀφειλομένας προφανῶς εἰς διαφόρους τοπικὰς παραδόσεις ἢ εἰς προσπάθειαν περιστολῆς τοῦ μήκους αὐτῆς. Εἰς ὅλας ὅμως τὰς περιπτώσεις αὕτη εἶναι μακρὰ καὶ πλουσία. Ἀκριβῶς ὅμως αἱ διάφοροι παραλλαγαὶ εἶναι χαρακτηριστικαὶ τῆς εὐελιξίας τῆς παραδόσεως καὶ ἐνδεικτικαὶ ἀναλόγων δυνατοτήτων διὰ τὴν σημερινὴν πρᾶξιν. Οὕτως, ἐνῷ ἡ ὅλη ἀκολουθία ἐμφανίζεται ὁμολογουμένως δυσβάστακτος διὰ τὴν ἐνοριακὴν πρᾶξιν, ὑπὸ τὰς σημερινὰς ἰδίᾳ ἐνοριακὰς προϋποθέσεις, ἡ κατ' ἐξαίρεσιν χρῆσις αὐτῆς εἰς νεκρώσιμόν τινα μικρὰν ἀγρυπνίαν ἢ τακτικῶς, ὡς ἀνωτέρω ἐλέχθη, εἰς τὰ μεγάλα κοιμητήρια, δύναται ἀσφαλῶς νὰ ἐπιδράσῃ ἀναγεννητικῶς ἐπὶ τῆς σημερινῆς πράξεως.

Εἰς τοῦτο ἀποβλέπει καὶ ἡ εἰς τὸ Παράρτημα μικρὰ ἀνθολογία σχετικῶν κειμένων, ἀμεληθέντων μὲν ἐν τῇ πράξει κατὰ τὴν πάροδον τῶν αἰώνων, λαμπρῶν ὅμως δειγμάτων τῆς περὶ τὰ μνημόσυνα τῶν προκεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν λειτουργικῆς φιλολογίας. Καὶ ταῦτα, καταλλήλως χρησιμοποιούμενα, δύνανται νὰ ἐμπλουτίσουν τὴν τόσον πενιχρὰν σημερινὴν πρᾶξιν.

Διὰ τῆς ἐντάξεως τῆς «Ἀκολουθίας τοῦ μνημοσύνου» εἰς τὴν σειρὰν τῶν «Κειμένων Λειτουργικῆς», ἐκτὸς τοῦ ἀνωτέρω πρακτικοῦ σκοποῦ, ἐπιζητεῖται ἡ παρουσίασις καὶ ἡ γνῶσις ὑπὸ τῶν σπουδαζόντων τὴν θείαν λατρείαν ἑνὸς σχε-

δὸν ἀγνώστου λειτουργικοῦ πλούτου, ἐκφράζοντος τόσον εὐγλώττως τὴν πίστιν τῆς Ἐκκλησίας εἰς τὴν ἐν Χριστῷ μετὰ θάνατον ζωήν, τὴν ἀνάστασιν καὶ τὴν κοινωνίαν τῶν ἁγίων.

Αἱ παλαιότεραι λειτουργικαὶ πηγαὶ δὲν μαρτυροῦν περὶ ὑπάρξεως εἰδικῆς ἐπιμνημοσύνου ἀκολουθίας. Εὐχαὶ ὡς ἡ τῶν Ἀποστολικῶν Διαταγῶν «ἐπὶ τῶν ἐν Χριστῷ ἀναπαυσαμένων» (Η΄ 41. Βλ. Παράρτημα ς΄ 1), ἡ τοῦ Εὐχολογίου τοῦ Σεραπίωνος Θμούεως «περὶ τεθνεῶτος καὶ ἐκκομιζομένου» (18. Βλ. Παράρτημα ς΄ 2) καὶ αἱ εὐχαὶ τοῦ Βαρβερινοῦ κώδικος 336 (βλ. Παράρτημα ς΄ 3-7) ἠδύναντο νὰ λέγωνται, ὡς φαίνεται ἐκ τοῦ περιεχομένου των, καὶ κατὰ τὴν νεκρώσιμὸν ἀκολουθίαν καὶ κατὰ τὰς ἐπιμνημοσύνους δεήσεις. Τοῦτο ἄλλως τε γίνεται μέχρι σήμερον καὶ μὲ τὴν ἐν χρήσει παλαιοτάτην εὐχὴν «Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός...».

Ἤδη ὅμως εἰς χειρόγραφα ἀπὸ τοῦ Θ΄-Ι΄ αἰῶνος καὶ ἑξῆς ἀπαντοῦν εἰδικαὶ εὐχαὶ «μνημοσύνων» ἢ «ἐπὶ κολλύβων εἰς κοιμηθέντας» ἢ «εἰς κεκοιμημένους», «θυμιάματος εἰς κεκοιμημένους», «ἐπὶ κολλύβων εἰς κοιμηθέντας εἰς τὰ γ΄ καὶ θ΄ καὶ μ΄», «εἰς κανίσκιον κουκίων κοιμηθέντων», «ἐπὶ κολλύβων μνήμης ἁγίων καὶ εἰς κοιμηθέντας» κ.τ.τ. (κώδ. Μ. Λαύρας Β 7, 21, Παρισ. Coisl. 213, Σινᾶ 957, 968, 973, 975, 1036 κ.ἄ.. Βλ. Παράρτημα ς΄ 8-11). Αἱ εὐχαὶ αὗται προφανῶς ἐλέγοντο κατὰ τὰς ὑπὲρ τῶν κεκοιμημένων λειτουργίας ἢ καὶ ἀνεξαρτήτως αὐτῶν κατὰ περίστασιν. Εἶναι πολὺ φυσικόν, ὅτι τῶν εὐχῶν προηγοῦντο εἰδικαὶ διακονικαὶ παρακελεύσεις, καλοῦσαι τοὺς πιστοὺς νὰ δεηθοῦν ὑπὲρ τῶν τεθνεώτων. Χαρακτηριστικὸν ἀρχαϊκὸν παράδειγμα τοιούτων διακονικῶν σῴζεται εἰς τὰς Ἀποστολικὰς Διαταγὰς (Η΄ 41).

Ἀπηρτισμένη ἀκολουθία μνημοσύνου ἀπαντᾷ, καθ' ὅσον τοὐλάχιστον γνωρίζομεν, μόνον εἰς τὰ ἀπὸ τοῦ ΙΔ΄ αἰῶνος χειρόγραφα, εἰς τὸ ἑλληνικὸν πρωτότυπον (κώδ. Βατοπεδ. 134 (745), Διονυσίου 487, Καρακάλλου 155, 163, Κουτλουμ. 491, Μ. Λαύρας Ι 103, Λ 104, Παντελεήμ. 9 (17), Ἁγ. Σάβα Ἱεροσ. 369 (57), Πάτμου 569, Σινᾶ 972, 975, 979, 989, 990 κ.ἄ.)

καὶ εἰς γεωργιανὴν μετάφρασιν (κώδ. Τυφλίδος 450, 519 καὶ 633). Ἐπὶ τῇ βάσει τῶν γνωστῶν πηγῶν, χειρογράφων καὶ ἐντύπων, ἡ ἀκολουθία τοῦ μνημοσύνου παρουσιάζει τὸ ἀκόλουθον πλῆρες διάγραμμα.

Εὐλογία ἐνάρξεως
Τρισάγιον κλπ.
«Δεῦτε προσκυνήσωμεν...»
Ψαλμὸς ϛ΄
Μεγάλη συναπτή, εὐχή, ἐκφώνησις
Ψαλμὸς ξδ΄ (στίχοι κατ' ἐκλογήν), «Ἀλληλούϊα», τροπάρια
Μικρὰ συναπτή, εὐχή, ἐκφώνησις
Ψαλμὸς ριη΄ («ἄμωμος»), στάσις α΄ (στίχ. 1-93)
Μικρὰ συναπτή, εὐχή, ἐκφώνησις
Ψαλμὸς ριη΄ («ἄμωμος»), στάσις β΄ (στίχ. 94-176)
Εὐλογητάρια νεκρώσιμα
Μικρὰ συναπτή, εὐχή, ἐκφώνησις
Ψαλμὸς ν΄
Καθίσματα («Ἀνάπαυσον...» καὶ θεοτοκίον)
Κανών, ᾠδὴ α΄ καὶ γ΄
Συναπτή, εὐχή, ἐκφώνησις
Κανών, ᾠδὴ δ΄, ε΄ καὶ ϛ΄
Συναπτή, εὐχή, ἐκφώνησις
Κοντάκιον («Μετὰ τῶν ἁγίων...») καὶ οἶκος
Κανών, ᾠδὴ ζ΄, η΄ καὶ θ΄
Συναπτή, εὐχή, ἐκφώνησις
Ἐξαποστειλάριον («Ὁ καὶ νεκρῶν...») καὶ θεοτοκίον
Στιχηρὰ τῶν ὀκτὼ ἤχων
Τρισάγιον κλπ.
Τροπάρια («Μετὰ πνευμάτων...» κλπ.)
Προκείμενον
Ἀπόστολος
Ἀλληλουάριον
Εὐαγγέλιον
Ἐκτενής, εὐχή, ἐκφώνησις
Ἀπόλυσις.

Πάντα τὰ ἀνωτέρω λειτουργικὰ στοιχεῖα δὲν περιέχονται εἰς ὅλους τοὺς μάρτυρας τῆς παραδόσεως. Τὰ ὀλιγώτερον μαρτυρούμενα εἶναι ἡ μεγάλη συναπτή, τὸ ἐξαποστειλάριον, τὰ κατὰ τοὺς ὀκτὼ ἤχους στιχηρὰ καὶ τὰ ἀναγνώσματα. Τὰ σταθερώτερα εἶναι ὁ ϟ΄ ψαλμός, ἡ ψαλμῳδία τοῦ «Ἀλληλούϊα» μετὰ τῶν στίχων καὶ τῶν τροπαρίων, ὁ ἄμωμος εἰς στάσεις δύο καὶ τὰ εὐλογητάρια, ὁ ν΄ ψαλμός, τὸ τρισάγιον μετὰ τῶν τροπαρίων, ἡ ἐκτενὴς καὶ ἡ εὐχὴ «Ὁ Θεὸς τῶν πνευμάτων...».

Χαρακτηριστικὴ εἶναι ἡ ὁμοιότης τῆς ἀκολουθίας τοῦ μνημοσύνου πρὸς τὴν ᾀσματικὴν παννυχίδα, ἰδίᾳ τοῦ μέχρι τοῦ ν΄ ψαλμοῦ πρώτου μέρους αὐτῆς (βλ. *Ἰ. Φουντούλη*, Παννυχίς, Θεσσαλονίκη 1977[2]). Οὕτως ἀμφότεραι αἱ ἀκολουθίαι ἄρχονται διὰ τοῦ ϟ΄ ψαλμοῦ, ἕπονται τρία ψαλμικὰ ἀντίφωνα καὶ ταῦτα ἀκολουθεῖ ὁ ν΄ ψαλμός. Τὰ ἀντίφωνα εἰσάγονται, κατὰ τὸ ἔθος τῆς ᾀσματικῆς ψαλμῳδίας, τὸ μὲν πρῶτον διὰ τῆς μεγάλης συναπτῆς τὰ δὲ λοιπὰ διὰ τῆς μικρᾶς συναπτῆς, εὐχῆς καὶ ἐκφωνήσεως. Τὸ πρῶτον ἐδῶ ἀντίφωνον ἀποτελεῖται ἀπὸ ψαλμικοὺς στίχους κατ' ἐκλογὴν μὲ ἐφύμνιον τὸ τριπλοῦν «Ἀλληλούϊα», τὸ δεύτερον καὶ τὸ τρίτον ἐκ τοῦ «ἀμώμου» (Ψαλμὸς ριη΄), ὁ ὁποῖος κατανέμεται «εἰς στάσεις δύο», ὡς κατὰ τὰ Σάββατα τῆς Μεγάλης Τεσσαρακοστῆς, τὸ πρὸ τῆς Πεντηκοστῆς καὶ κατὰ τὴν νεκρώσιμον ἀκολουθίαν εἰς μοναχούς. Τὴν ὁμοιότητα πρὸς τὴν ᾀσματικὴν παννυχίδα ἐπιτείνουν αἱ ἐνδείξεις ὡρισμένων χειρογράφων καὶ ἐντύπων. Οὕτω κατὰ τοὺς γεωργιανοὺς κώδικας ἡ ἀκολουθία ἄρχεται οὐχὶ διὰ τοῦ «Εὐλογητὸς ὁ Θεός...», ἀλλὰ διὰ τοῦ «Εὐλογημένη ἡ βασιλεία...», ὡς εἰς τὸ ᾀσματικὸν τυπικόν. Τὸ τρισάγιον καὶ τὸ «Δεῦτε προσκυνήσωμεν...», τὰ ὁποῖα μαρτυροῦν μοναχικὴν ἐπίδρασιν, δὲν ὑπάρχουν εἰς τοὺς κώδικας Βατοπεδ. 134 (745), Σινᾶ 977, 989 καὶ εἰς τὴν ἔκδοσιν τοῦ Ἁγίου Ὄρους. Ὁ ϟ΄ ψαλμὸς κατὰ τὸν κώδικα Σινᾶ 989 ψάλλεται «μετὰ μέλους» ὡς εἰς τὰ ᾀσματικά. Πλήρης νε-

κρώσιμος μεγάλη συναπτὴ καὶ μικραὶ τοιαῦται προτάσσονται τῶν ἀντιφώνων, ὡς εἰς τὴν ᾀσματικὴν παννυχίδα, κατὰ τὴν σλαβωνικὴν καὶ τὴν ρουμανικὴν μετάφρασιν. Κατὰ τὰς αὐτὰς μεταφράσεις εἰς τὴν α΄ καὶ β΄ στάσιν τοῦ «ἀμώμου» παρεμβάλλονται ᾀσματικὰ ἐφύμνια, «Μνήσθητι, Κύριε, τῶν ψυχῶν τῶν δούλων σου» καὶ «Ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου» ἀντιστοίχως. Ἀκόμη καὶ ἡ προσθήκη τοῦ κανόνος μαρτυρεῖ μὲν μοναχικὴν ἐπίδρασιν, ἀλλὰ δύναται νὰ ἐνταχθῇ καὶ εἰς τὰ πλαίσια τῆς ᾀσματικῆς παννυχίδος, εἰς τὴν ὁποίαν εἰς ὡρισμένας περιπτώσεις, ὡς κατὰ τὴν Παρασκευὴν τῆς Α΄ Ἑβδομάδος τῶν Νηστειῶν, παρενεβάλλετο μετὰ τὸν ν΄ ψαλμὸν ὁ κανὼν τοῦ ἁγίου Θεοδώρου. Καὶ τὸ ὄνομα «παννυχίδα», τὸ ὁποῖον διεσώθη εἰς τὴν σλαβικὴν παράδοσιν, καὶ ἡ ὥρα τελέσεως αὐτῆς (ἑσπέρας Παρασκευῆς πρὸς Σάββατον), ἐνισχύουν περισσότερον τὴν θέσιν αὐτήν. Εἶναι ἐπίσης χαρακτηριστικὸν ὅτι εἰς τὸν ἑλληνικὸν κώδικα Πατριαρχ. Ἀλεξανδρ. 455-116 (85) τοῦ ἔτους 1501 ἡ ἀκολουθία τοῦ μνημοσύνου ἐμμέσως ὀνομάζεται «παννυχίς», ἀφοῦ ὁ νεκρώσιμος κανὼν τοῦ πλ. δ΄ ἤχου «Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ...» χαρακτηρίζεται ὡς «κανὼν ψαλλόμενος ἐπὶ παννυχίδα νεκρώσιμον». «Παννυχίδας» τέλος ὀνομάζει τὰ μνημόσυνα καὶ ἡ γνωστὴ διάταξις τοῦ Τυπικοῦ τοῦ ἁγίου Σάβα, ἡ παρεμβαλλομένη εἰς τὸ τέλος τῆς ἀκολουθίας τῆς Δευτέρας τῆς Α΄ Ἑβδομάδος τῶν Νηστειῶν εἰς τὸ Τριῴδιον: «Χρὴ εἰδέναι, ὅτι ἐὰν γένηται ἀδελφὸν ἐκδημῆσαι πρὸς Κύριον ἐν ταῖς ἁγίαις ταύταις ἡμέραις διὰ μέσης τῆς ἑβδομάδος, παννυχὶς οὐ γίνεται τῶν τρίτων αὐτοῦ, ἕως τῆς Παρασκευῆς ἑσπέρας· τότε γὰρ τελεῖται ἡ παννυχὶς αὐτοῦ...».

Ποῖαι εὐχαὶ ἐλέγοντο κατὰ τὰ ἀντίφωνα τῆς νεκρωσίμου παννυχίδος; Αἱ κοιναὶ εὐχαί, αἱ ἀποδιδόμεναι εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως Γερμανὸν τὸν Α΄ δὲν κάμνουν εἰδικὸν λόγον, οὔτε ἔχουν ὑπαινιγμοὺς εἰς νεκρώσιμα θέματα. Εἶναι ὅμως πολὺ πιθανὸν ὅτι δὲν ἐγίνετο ἀρχικῶς ἀντικατάστασις τῶν εὐχῶν· τὰ θέματα τῆς ἀκαταπαύστου δοξολογίας μετὰ τῶν ἀγγελικῶν δυνάμεων καὶ τῆς ἀπολαύ-

σεως τῆς λαμπρότητος τῆς ἀϊδίου δόξης τοῦ Θεοῦ, περὶ τὰ ὁποῖα κινοῦνται αἱ εὐχαί, δὲν εἶναι θεολογικῶς τελείως ἄσχετα πρὸς τὴν διὰ τοῦ θανάτου νίκην τῶν πιστῶν καὶ τὴν μακαρίαν ἐν οὐρανοῖς κατάστασιν τῶν ψυχῶν. Εἰς σλαβωνικὰ χειρόγραφα τοῦ ΙΔ΄-ΙΕ΄ αἰῶνος εἰσάγονται πλέον νεκρώσιμοι εὐχαί, συνήθως τρεῖς ἢ καὶ τέσσαρες, ἀνθολογούμεναι ἀπὸ παλαιοτέρας συλλογὰς (κώδ. Σόφιας 522, Shchúkin 745, Πετρουπόλεως Συνοδ. Ἀρχ. 732, Solovétsky 1018 (703), 1083 (725). Ἐνδιάμεσον πρᾶξιν παρουσιάζει ὁ κῶδιξ Μόσχας Συνοδ. Βιβλ. 616 (360). Οὗτος διατηρεῖ τὰς κοινὰς πρώτας πέντε εὐχὰς τῆς ᾀσματικῆς παννυχίδος, προσθέτει δὲ ὡς ἕκτην τὴν κοινὴν νεκρώσιμον· «Ὁ Θεὸς τῶν πνευμάτων...». Εἰς τὰ ἑλληνικὰ χειρόγραφα καὶ ἔντυπα μεθ᾽ ἑκάστην συναπτὴν ἐπαναλαμβάνεται ἡ ἐκφώνησις τῆς συνήθους νεκρωσίμου εὐχῆς· «Ὅτι σὺ εἶ ἡ ἀνάστασις...». Προφανῶς ἐλέγετο κατ᾽ ἐπανάληψιν ἡ εὐχὴ «Ὁ Θεὸς τῶν πνευμάτων...» ἢ μόνον ἡ ἐκφώνησις, ὡς γίνεται καὶ σήμερον εἰς τὰς νεκρωσίμους ἀκολουθίας. Ἐνδεικτικὸν τούτου εἶναι ὅτι εἰς τὸ ἁγιορειτικὸν ἔντυπον σημειοῦται, ὅτι πρέπει νὰ λέγεται ἀπαραιτήτως τρεῖς φορὰς ἡ εὐχὴ αὕτη, ἀσφαλῶς διὰ τὸ ἱερὸν τοῦ ἀριθμοῦ. Εἰς τὴν νεκρώσιμον πάντως ἀκολουθίαν εἰς ἱερεῖς, ἡ ὁποία διατηρεῖ ἱκανὰ ᾀσματικὰ στοιχεῖα εἰσάγονται περισσότεραι εὐχαί.

Ἡ ἀκολουθία τοῦ μνημοσύνου παρουσιάζει ἐμφανεῖς ἐπιδράσεις, ὡς εἶναι φυσικόν, καὶ ἐκ τῆς μοναχικῆς ἀκολουθίας. Τὸ ἐν ἀρχῇ τρισάγιον καὶ ἡ διὰ τοῦ «Δεῦτε προσκυνήσωμεν...» ἔναρξις, ὁ κανών, τὸ ἐξαποστειλάριον καὶ τὰ στιχηρὰ τῶν ὀκτὼ ἤχων (αἶνοι), τὰ ὁποῖα συναντῶνται εἰς ὡρισμένα χειρόγραφα, μαρτυροῦν ἐπίδρασιν τοῦ μοναχικοῦ ὄρθρου. Εἰς τὴν γεωργιανὴν μάλιστα μετάφρασιν ὁ ϛ΄ ψαλμὸς («Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου...») ἀντικαθίσταται διὰ τοῦ ρμβ΄ («Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι...»), ὁ ὁποῖος καὶ εἰς ἄλλας περιπτώσεις ἀντικαθιστᾷ τὸν μοναχικὸν ἑξάψαλμον τοῦ ὄρθρου.

'Εμφανέσταται εἶναι αἱ ὁμοιότητες τῆς παρούσης ἀκολουθίας τοῦ μνημοσύνου πρὸς τὴν κοινὴν νεκρώσιμον ἀκολουθίαν τῶν ἐντύπων, ὁμοιότητες τὰς ὁποίας ἐπιτείνουν αἱ παραλλαγαὶ πολλῶν χειρογράφων, ἀπαντώμεναι ἢ εἰς τὴν νεκρώσιμον ἀκολουθίαν καὶ προσεγγίζουσαι αὐτὴν πρὸς τὴν ἐπιμνημόσυνον ἢ καὶ ἀντιθέτως. Ἡ κοινὴ νεκρώσιμος ἀκολουθία ἔχει καταστρωθῆ ἐπὶ τῇ βάσει τῆς ἀκολουθίας τοῦ μοναχικοῦ ὄρθρου. Εἶναι ὅμως σχετικῶς νεωτέρα, ἐφ' ὅσον εἰς τὰ ἀρχαῖα χειρόγραφα ἀπαντοῦν μόνον σειραὶ νεκρωσίμων εὐχῶν καὶ οὐχὶ ἡ νεκρώσιμος ἀκολουθία ὑπὸ τὴν μορφὴν ὑπὸ τὴν ὁποίαν παρουσιάζεται εἰς τὰ μεταγενέστερα χειρόγραφα καὶ εἰς τὰ ἔντυπα Εὐχολόγια. Εἶναι πολὺ πιθανόν, ὅτι ἡ ἀκολουθία τῆς νεκρωσίμου παννυχίδος ἦτο ἡ πρώτη ἐν χρήσει νεκρώσιμος ἀκολουθία. Λεΐψανον τῆς τοιαύτης πράξεως εἶναι ἀσφαλῶς καὶ ὁ εἰς τὴν ἀρχὴν αὐτῆς ψαλλόμενος, ἀντὶ τοῦ ἑξαψάλμου ἢ τῆς ἐπιτομῆς αὐτοῦ, ϟ' ψαλμός, ὁ εἰσαγωγικὸς δηλαδὴ ψαλμὸς τῆς ᾀσματικῆς παννυχίδος. Εἰς τὸν κώδικα Πάτμου 569 τοῦ ΙΖ' αἰῶνος τὸ πρᾶγμα εἶναι ἐμφανέστατον: Μετὰ τὸν κανόνα, τὸ ἐξαποστειλάριον, τοὺς αἴνους καὶ τὰ ἀναγνώσματα ὑπάρχει ἡ ἀκόλουθος τυπικὴ διάταξις: «Εἶτα λέγονται τὰ παρόντα τροπάρια καὶ γίνεται ὁ ἀσπασμὸς ἐὰν ἔστι σῶμα νεκροῦ· 'Δεῦτε τελευταῖον ἀσπασμόν...'». Ἡ μαρτυρία αὕτη εἶναι σαφής· ἡ αὐτὴ ἀκολουθία ἐτελεῖτο καὶ κατὰ τὰ μνημόσυνα καὶ κατὰ τὰς νεκρωσίμους ἀκολουθίας. Τοῦτο αἰτιολογεῖ καλλίτερον τὰς ἀμοιβαίας ἐπιδράσεις.

'Αξιοσημείωτος τέλος εἶναι καὶ ἡ διάταξις τοῦ κώδικος Σινᾶ 989 τοῦ ΙϚ' αἰῶνος, ἡ διακρίνουσα «μικρὸν» καὶ «μέγα» μνημόσυνον. Τὸ μικρόν, ἐν ἀντιθέσει πρὸς τὸ μέγα, δὲν ἔχει κανόνα.

Ὡρισμέναι ἐξηγήσεις δίδονται κατωτέρω περὶ τῆς μορφῆς, τὴν ὁποίαν προσέλαβεν ἡ ἀκολουθία τοῦ μνημοσύνου εἰς τὴν παροῦσαν ἔκδοσιν, καὶ περὶ τῶν κυριωτέρων διαφορῶν

τῶν χειρογράφων καὶ τῶν ἐντύπων, ὅσαι δὲν ἐθίγησαν ἀνωτέρω.

Προετιμήθη ὡς εὐλογία ἐνάρξεως ἡ μοναχικὴ («Εὐλογητὸς ὁ Θεός...»), ὡς καλλίτερον μαρτυρουμένη. Τὸ «Εὐλογημένη ἡ βασιλεία...» ἀπαντᾷ μόνον εἰς τὰ γεωργιανὰ χειρόγραφα.

Τὸ ἐναρκτήριον τρισάγιον κ.λ.π. καὶ τὸ «Δεῦτε προσκυνήσωμεν...» μαρτυρεῖται ἀπὸ τὰ χειρόγραφα Πάτμου 569, τὰ γεωργιανὰ καὶ τὸ σλαβωνικὸν καὶ ρουμανικὸν Εὐχολόγιον. Δὲν ὑπάρχει εἰς τοὺς κώδικας Βατοπ. 134 (745), Σινᾶ 977 καὶ 989 καὶ εἰς τὴν ἔκδοσιν τοῦ Ἁγίου Ὄρους. Προετιμήσαμεν τὸ δεύτερον, ὡς συμφωνότερον πρὸς τὴν τάξιν τῆς ᾀσματικῆς παννυχίδος.

Ὁ ϟ´ ψαλμὸς ἀναγινώσκεται χύμα καθ' ὅλα τὰ χειρόγραφα καὶ ἔντυπα, πλὴν τοῦ κώδικος Σινᾶ 989.

Τὸ εἰς τὸ τέλος τοῦ ψαλμοῦ «Δόξα....καὶ νῦν...» δὲν ὑπάρχει μὲν εἰς τὴν ἔκδοσιν παπᾶ - Σάββα, μαρτυρεῖται ὅμως ὑπὸ πολλῶν χειρογράφων καὶ ὑπὸ τῶν σλαβικῶν καὶ ρουμανικῶν Εὐχολογίων, διὸ καὶ προσεθέσαμεν αὐτό, παραλείψαντες τὰ μόνον εἰς τὴν σλαβικὴν καὶ ρουμανικὴν ἀκολουθίαν ὑπάρχοντα τριπλᾶ «Ἀλληλούϊα» μετὰ τοῦ «Δόξα σοι, ὁ Θεός», ὡς μὴ ὑπάρχοντα εἰς τὰ ἑλληνικὰ χειρόγραφα καὶ εἰς τὴν ᾀσματικὴν παννυχίδα.

Ἡ εἰδικὴ μεγάλη νεκρώσιμος συναπτὴ μαρτυρεῖται μόνον ὑπὸ τῆς γεωργιανῆς, σλαβωνικῆς καὶ ρουμανικῆς τάξεως. Τὴν ἀπαιτεῖ ὅμως καὶ ἡ τάξις τῆς παννυχίδος. Τὸ κείμενον αὐτῆς ἀποκατεστάθη ἐπὶ τῇ βάσει τῆς σλαβωνικῆς καὶ ρουμανικῆς μεταφράσεως καὶ τῶν ἀναλόγων συναπτῶν τῶν ἐξοδιαστικῶν τῶν ἑλληνικῶν κωδίκων Πάτμου 646, 684, Ἁγ. Σάβα Ἱεροσολ. 373 (291), Σινᾶ 963, 973 καὶ π. Τάφου Κωνσταντ. 8 (182). Ἐν τῇ προσπαθείᾳ ὅπως συγκεντρωθοῦν ἐνταῦθα τὰ αἰτήματα τῶν διαφόρων πηγῶν, ἡ ἐκτενὴς προσέβαλεν ἀσυνήθως μεγάλην ἔκτασιν. Δύναται πάντως κατὰ τὴν χρῆσιν νὰ περισταλῇ, παραλειπομένων μερικῶν συναφῶν αἰτήσεων. Αὕτη ἐξετυπώθη διὰ

μικροτέρων τυπογραφικῶν στοιχείων, ὡς μὴ ὑπάρχουσα εἰς τὰ ἑλληνικὰ χειρόγραφα τῆς ἀκολουθίας τοῦ μνημοσύνου καὶ εἰς τὴν ἔκδοσιν τοῦ Ἁγίου Ὄρους. Διὰ τῶν αὐτῶν στοιχείων καὶ διὰ τοὺς αὐτοὺς λόγους ἐξετυπώθησαν καὶ αἱ μεταξὺ τῶν ἀντιφώνων μ ι κ ρ α ὶ σ υ ν α π τ α ί, ἀποκατασταθεῖσαι καὶ αὗται κατὰ τὰς ἀνωτέρω πηγάς. Ἀντιθέτως αἱ λοιπαὶ μικραὶ συναπταὶ περιωρίσθησαν εἰς τὸ σύνηθες «Τοῦ Κυρίου δεηθῶμεν» καὶ διὰ τὸ μῆκος τῆς ἀκολουθίας καὶ διὰ τὴν ἔλλειψιν ἀντιστοιχίας τοῦ μέρους τούτου τῆς ἀκολουθίας τοῦ μνημοσύνου πρὸς τὴν ᾀσματικὴν παννυχίδα.

Ε ὐ χ α ὶ δὲν ἐτέθησαν εἰς τὸ κείμενον οὔτε μετὰ τὴν μεγάλην οὔτε μετὰ τὰς μικρὰς συναπτάς, ἀλλὰ μόνον εἰς τὸ τέλος τῆς ἀκολουθίας κατὰ τὴν ἐκτενῆ. Ὅπου αἱ θέσεις αὐτῶν ἐτέθη ἡ λέξις [ΕΥΧΗ]. Εἰς τὸ σημεῖον τοῦτο δύνανται νὰ παρεμβάλλωνται εὐχαὶ ἐκ τῆς ἀνθολογίας τοῦ Παραρτήματος, ἢ νὰ λέγεται ἡ κοινὴ νεκρώσιμος «Ὁ Θεὸς τῶν πνευμάτων...», ἢ καὶ μόνη ἡ ἐκφώνησις «Ὅτι σὺ εἶ ἡ ἀνάστασις...», κατὰ τὰ ἀνωτέρω λεχθέντα. Ἐὰν παρεμβάλλεται εὐχὴ ἐκ τοῦ Παραρτήματος φυσικῶς θὰ λέγεται καὶ ἡ ἐκφώνησις αὐτῆς.

Εἰς τὸ α΄ ἀ ν τ ί φ ω ν ο ν προσετέθη καὶ τέταρτος στίχος («Αἱ ψυχαὶ αὐτῶν...») κατὰ τὸ σλαβικὸν καὶ ρουμανικὸν Εὐχολόγιον καὶ κατὰ τὸ πρότυπον τοῦ «Ἀλληλούϊα» τοῦ ὄρθρου.

Ὁ ἄ μ ω μ ο ς δύναται νὰ ἀναγνωσθῇ ὁλόκληρος εἰς στάσεις δύο, ψαλλομένων μόνον τῶν τελευταίων στίχων ἑκάστης στάσεως, ἢ νὰ ψαλοῦν μόνον στίχοι του κατ' ἐκλογὴν ἢ καὶ νὰ παραλειφθῇ, ὡς μαρτυρεῖται ὑπὸ τῶν κωδίκων Πάτμου 569, Σινᾶ 977 καὶ 989 καὶ ἀπὸ τὴν ἐν Πετρουπόλει ἔκδοσιν τῆς ἀκολουθίας τοῦ μνημοσύνου (1804).

Ἀντὶ τοῦ κ α ν ό ν ο ς τοῦ πλ. β΄ ἤχου «Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς...» δυνατὸν νὰ ψαλῇ ὁ κανὼν τοῦ πλ. δ΄ ἤχου «Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ...», μαρτυρούμενος ὑπὸ πολλῶν κωδίκων (Διονυσ. 441, 523, Καρακαλ. 151, Μ. Λαύρας Θ 88, Λ 104, Λ 154, Πατρ. Ἀλεξ. 455-116 (85), Σινᾶ

964, 972, 989), διὸ καὶ ἐτέθη εἰς τὸ Παράρτημα (Γ').

Ἀντὶ τοῦ ψαλμικοῦ στίχου «Αἱ ψυχαὶ αὐτῶν...», ὁ ὁποῖος κατὰ τὴν τάξιν τοῦ Ἁγίου Ὄρους προψάλλεται τοῦ δευτέρου τροπαρίου τῶν ᾠδῶν τοῦ κανόνος, τὸ χειρόγραφον Πάτμου 569 καὶ τὸ σλαβικὸν Εὐχολόγιον προβλέπουν τὴν ψαλμῳδίαν τοῦ «Κύριε, ἀνάπαυσον τὴν ψυχὴν τοῦ (κεκοιμημένου) δούλου σου».

Τὸ κοντάκιον «Μετὰ τῶν ἁγίων...» ψάλλεται κατὰ τὴν τάξιν μετὰ τὴν ς' ᾠδὴν δίς, πρὸ καὶ μετὰ τὸν οἶκον «Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος...». Ὁ οἶκος ἀνήκει εἰς τὸ κοντάκιον τοῦ Ἀναστασίου, τὸ ὁποῖον ὅμως ἔχει ἄλλο προοίμιον: «Ὁ τῆς ζωῆς τῶν ἀνθρώπων...». Εἰς τὸ Παράρτημα (Δ') δημοσιεύεται ὁλόκληρον τὸ κοντάκιον, ἱκανοὶ οἶκοι τοῦ ὁποίου ὑπάρχουν εἰς τὰ χειρόγραφα καὶ εἰς τὰ ἔντυπα Εὐχολόγια εἰς τὰς ἀκολουθίας τῶν ἐξοδιαστικῶν.

Μετὰ τὸν κανόνα κατὰ τὸν κώδικα Πάτμου 569 ψάλλονται τὸ γνωστὸν νεκρώσιμον ἐξαποστειλάριον τοῦ Σαββάτου «Ὁ καὶ νεκρῶν καὶ ζώντων...» καὶ τὸ θεοτοκίον «Ὁ γλυκασμὸς τῶν ἀγγέλων...» ὡς καὶ τὰ νεκρώσιμα ἰδιόμελα τῶν ὀκτὼ ἤχων (βλ. Παράρτημα Ε').

Κατὰ τὸ αὐτὸ χειρόγραφον πρὸ τῆς ἐκτενοῦς προβλέπεται ἡ ἀνάγνωσις Ἀποστόλου καὶ Εὐαγγελίου. Εἰς τοὺς κώδικας Πάτμου 686 καὶ 690 τοῦ ΙΕ' αἰῶνος ὑπάρχει σειρὰ ἑπτὰ ζευγῶν ἀναγνωσμάτων, τιτλοφορουμένη «Ἀποστολοευαγγέλια νεκρώσιμα τὰ ἑπτὰ» (βλ. Παράρτημα Ζ'). Παρομοία σειρὰ ἀναγνωσμάτων ὑπὸ τὸν τίτλον «Ἀναγνώσματα εἰς κοιμηθέντας» ὑπάρχει καὶ εἰς παράρτημα τοῦ Τυπικοῦ τῆς Μεγάλης Ἐκκλησίας (κώδ. τ. Σταυροῦ 40 καὶ Πάτμου 266 τοῦ Θ'-Ι' αἰῶνος. *J. Mateos*, Le Typicon de la Grande Église, τ. II, Roma 1963, σελ. 194-197). Τὰ ζεύγη ἐνταῦθα εἶναι ἕξ: α') Πράξ. θ' 32-42. Ρωμ. ιδ' 6-9. Ἰω. ε' 19-24, β') Α' Κορ. ιε' 20-28. Ἰω. ε' 24-30, γ') Α' Κορ. ιε' 39-45, Ἰω. ς' 35-39, δ') Α' Κορ. ιε' 47-57. Ἰω. ς' 39-40, ε') Β' Κορ. ε' 1-10α. Ἰω. ς' 48-54 καὶ ς') Α' Θεσσ. δ' 13-17. Λουκ. ζ' 11-16. Ὁμοίως

εἰς τὸ τέλος τῶν ἐν χρήσει ἐντύπων Ἀποστόλων καὶ Εὐαγγελίων ὑπάρχουν τέσσαρες ἀποστολικαὶ (α΄ Α΄ Θεσ. δ΄ 13-17, β΄ Α΄ Κορ. ιε΄ 47-57, γ΄ Α΄ Κορ. ιε΄ 20-28 καὶ δ΄ Ρωμ. ιδ΄ 6-10) καὶ πέντε εὐαγγελικαὶ περικοπαὶ (α΄ Ἰω ε΄ 24-30, β΄ Ἰω. ε΄ 17-24, γ΄ Ἰω. ς΄ 35-39, δ΄ Ἰω. ς΄ 40-44 καὶ ε΄ Ἰω. ς΄ 48-54). Αἱ περικοπαὶ αὗται ἀνεγινώσκοντο μᾶλλον κατὰ τὰς ἐπιμνημοσύνους λειτουργίας. Σχετικὴ εἶναι καὶ ἡ σειρὰ τῶν ἑπτὰ ἀποστολοευαγγελίων τῶν ἀναγινωσκομένων κατὰ τὰ νεκρώσιμα εὐχέλαια (κώδ. Ἐσφιγμ. 214, Σινᾶ 981, 995, τ. Σταυροῦ 615 (757) κ.ἄ.). Αἱ περικοπαὶ εἰς ὅλας τὰς ἀνωτέρω πηγὰς οὔτε πάντοτε αἱ αὐταὶ εἶναι, οὔτε τίθενται εἰς τὴν αὐτὴν σειράν. Ἡ λειτουργικὴ πάντως παράδοσις δίδει τὴν δυνατότητα χρήσεως τῶν περικοπῶν τούτων ἐκ περιτροπῆς καὶ κατὰ τὰς ἀκολουθίας τοῦ μνημοσύνου.

Ἡ εὐχὴ «Ὁ Θεὸς τῶν πνευμάτων...» παρουσιάζει πολλὰ κριτικὰ προβλήματα, τὰ ὁποῖα δὲν ἦτο τοῦ παρόντος νὰ ἀντιμετωπισθοῦν. Εἰς τὸ κείμενον τοῦ μνημοσύνου ἡ εὐχὴ δημοσιεύεται κατὰ τὰ ἐν χρήσει λειτουργικὰ βιβλία· εἰς τὸ Παράρτημα (ς΄ 3) κατὰ τὸν Βαρβερινὸν κώδικα 336. Ἁπλῆ ἀντιπαραβολὴ τῶν δύο κειμένων καθιστᾷ φανερὰν τὴν φθοράν, τὴν ὁποίαν ὑπέστη αὕτη λόγῳ τῆς συχνῆς χρήσεως καὶ τῶν πολλῶν ἀντιγραφῶν.

Εἰς τὸ Παράρτημα περιλαμβάνεται:

Α΄ Ὁ «ἄμωμος» εἰς στάσεις τρεῖς κατ' ἐπιτομήν, μετὰ τῶν ᾀσματικῶν ἐφυμνίων, ὡς ψάλλεται σήμερον.

Β΄ Τὰ εἰς τοὺς κώδικας Paris. Nat. Gr. 331 καὶ Λειμῶνος 295 ἀπαντῶντα, πλέον τῶν συνήθων, ἕτερα νεκρώσιμα εὐλογητάρια.

Γ΄ Ὁ κανὼν εἰς κοιμηθέντας τοῦ πλ. δ΄ ἤχου «Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ...».

Δ΄ Τὸ νεκρώσιμον κοντάκιον.

Ε΄ Τὰ νεκρώσιμα ἰδιόμελα τῶν ὀκτὼ ἤχων.

ς΄ Ἀνθολογία νεκρωσίμων εὐχῶν.

Ζ' Τὰ ἑπτὰ ἀ π ο σ τ ο λ ο ε υ α γ γ έ λ ι α εἰς κοιμηθέντας.

Περὶ ὅλων αὐτῶν γίνεται λόγος ἐκτενῶς ἀνωτέρω. Περὶ τῆς ἀκολουθίας τοῦ μνημοσύνου βλέπε *Pl. de Meester*, Rituale - Benedizionale Bizantino, Roma 1929, σελ. 116 ἑξ., *Ἰ. Μ. Φουντούλη*, Μνημόσυνον, ἐν Θ.Η.Ε., τ. 8 (1966), σ. 1226-1229 καὶ ἰδίᾳ *M. Arranz*, Les prières presbytérales de la «Pannychis» de l' ancien Euchologe byzantin et la «Panikhida» des defunts, ἐν «La maladie et la mort du chrétien dans la Liturgie», Roma 1975, σελ. 31-82.

Τὰ κείμενα, ὅσων δὲν δηλοῦται ἡ ἄλλοθεν προέλευσις, ἐλήφθησαν ἐκ τῶν προσφάτων ἐκδόσεων τῶν λειτουργικῶν βιβλίων τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ψαλτήριον (1968), Ἀπόστολος (1967), Εὐαγγέλιον (1977), Ὡρολόγιον (1967), Παρακλητικὴ (1976) καὶ Μικρὸν Εὐχολόγιον (1972).

*Α.* = *Ἀναγνώστης*
*Δ.* = *Διάκονος*
*Ι.* = *Ἱερεὺς*
*Λ.* = *Λαὸς*
* = *Ἀλλαγὴ στίχου (ἐπὶ ἐμμέτρου κειμένου)*

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΝΗΜΟΣΥΝΟΥ

### ΕΝΑΡΞΙΣ

Δ. Εὐλόγησον, δέσποτα.

Ι. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

### Ο Ϟ΄ ΨΑΛΜΟΣ

**Α. Τὸν Ϟ΄ ψαλμόν, χῦμα.**

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπη τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.

Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας.

Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε καὶ ῥύσομαι αὐτόν, σκεπάσω αὐτὸν ὅτι ἔγνω τὸ ὄνομά μου.

Κεκράξεται πρός με καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν.

Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Η ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ

Δ. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῶν κεκοιμημένων ἀδελφῶν ἡμῶν (**τῶνδε**), κοιμήσεως, ἀνέσεως καὶ μακαρίας μνήμης αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ κοινωνοὺς αὐτοὺς γενέσθαι τῆς ἀλήκτου χαρᾶς καὶ εὐφροσύνης τῶν ἀπ' αἰῶνος ἁγίων τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἀπολαῦσαι αὐτοὺς ἤχου ἑορταζόντων καὶ ἀγγέλων χοροστασίας τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ εἰσδεχθῆναι αὐτοὺς ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμὸς τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ μετασχεῖν αὐτοὺς τῆς ἐλλάμψεως τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ ἀμέμπτως παραστῆναι αὐτοὺς τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ καὶ εὑρεῖν αὐτοὺς χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ καταξιωθῆναι αὐτοὺς παραδείσου τρυφῆς καὶ εὑρεῖν μερίδα καὶ κλῆρον ἐν τῇ μελλούσῃ ζωῇ ἐν κόλποις Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ μετὰ πάντων τῶν δικαίων τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ λυτρωθῆναι αὐτούς τε καὶ ἡμᾶς τῆς αἰωνίου κολάσεως τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τῶν ἐν λύπῃ καὶ ἀπογνώσει βαρυνθεισῶν ψυχῶν καὶ τῆς ἐν Θεῷ παρακλήσεως αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα, ἑκούσιόν τε καὶ ἀκούσιον τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν τάξῃ τὰς ψυχὰς αὐτῶν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα οἱ δίκαιοι ἀναπαύονται, τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Λ. Σοί, Κύριε.

Δ. Τοῦ Κυρίου δεηθῶμεν

Λ. Κύριε, ἐλέησον.

[ΕΥΧΗ]

**Ι. Τὴν ἐκφώνησιν**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου (**τῶνδε**), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

(ΑΝΤΙΦΩΝΟΝ Α' - ΨΑΛΜΟΣ ΞΔ' 5. ΡΛΔ' 13. ΚΔ' 13)

**Λ. Τὸ «Ἀλληλούϊα». Ἦχος πλ. δ'**

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα

**Στίχ. α'.** Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

**Στίχ. β'.** Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

**Στίχ. γ'.** Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

᾿Αλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

**Τροπάριον. Ἦχος πλ. δ'**

Ὁ βάθει σοφίας φιλανθρώπως* πάντα οἰκονομῶν* καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων,* μόνε δημιουργέ·* ἀνάπαυσον, Κύριε,* τὰς ψυχὰς τῶν δούλων σου·* ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο,* τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο* τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν* καὶ πρέσβυν εὐπρόσδεκτον* πρὸς ὃν ἔτεκες Θεόν,* Θεοτόκε ἀνύμφευτε,* τῶν πιστῶν ἡ σωτηρία.

## ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ

Δ. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ **(τῶνδε)** καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Λ. Κύριε, ἐλέησον.

Δ. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Λ. Κύριε, ἐλέησον.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

[ΕΥΧΗ]

**Ι. Τὴν ἐκφώνησιν**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Λ. Ἀμήν.

(ΑΝΤΙΦΩΝΟΝ Β'. ΨΑΛΜΟΣ ΡΙΗ' 1-93)

**Α. Τὸν «Ἄμωμον» χύμα. Στάσις α'**

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ ἔκρυψα τὰ λόγια σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός μου.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἐν τοῖς δικαιώμασί σου μελετήσω· οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Ἀνταπόδος τῷ δούλῳ σου· ζῆσόν με καὶ φυλάξω τοὺς λόγους σου.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ᾿ ἐμοῦ τὰς ἐντολάς σου.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Περίελε ἀπ᾿ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Καὶ γὰρ ἐκάθησαν ἄρχοντες καὶ κατ᾿ ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸν ἀληθείας ᾑρετισάμην καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

Συνέτισόν με καὶ ἐξερευνήσω τὸν νόμον σου καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου· ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί με λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα· ἀπὸ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Μερίς μου εἶ, Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

Διελογισάμην τὰς ὁδούς σου καὶ ἐπέστρεφον τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

Χρηστὸς εἶ σύ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

᾿Επληθύνθη ἐπ᾿ ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

᾿Ετυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

᾿Αγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

᾿Αγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

῎Εγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

᾿Ελθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν.

Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

᾿Επιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

᾿Εκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

᾿Εξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· πότε παρακαλέσεις με;

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

**Λ. Ἦχος πλ. α΄**

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με (γ΄).

### ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ

Δ. Ἔτι καὶ ἔτι...

Λ. Κύριε, ἐλέησον.

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως...

Λ. Κύριε, ἐλέησον.

Δ. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν...
Λ. Κύριε, ἐλέησον.
Δ. Τοῦ Κυρίου δεηθῶμεν.
Λ. Κύριε, ἐλέησον.

[ΕΥΧΗ]

**Ι. Τὴν ἐκφώνησιν**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις...
Λ. Ἀμήν.

(ΑΝΤΙΦΩΝΟΝ Γ'. ΨΑΛΜΟΣ ΙΗ' 94-176)

**Α. Τὸν «Ἄμωμον» χῦμα. Στάσις β'**

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα.

Πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν.

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν.

Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγια σου· ὑπὲρ μέλι τῷ στόματί μου.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου.

Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐταπεινώθην ἕως σφόδρα, Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσιν.

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

Παρανόμους ἐμίσησα. τὸν δὲ νόμον σου ἠγάπησα.

Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

Βοήθησόν μοι καὶ σωθήσομαι καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἐποίησα κρῖμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦλός σού εἰμι ἐγώ, συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύριά σου.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.

Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.

Ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.

Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ νόμος σου ἀλήθεια.

Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· αἱ ἐντολαί σου μελέτη μου.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με καὶ ζήσομαι.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

Ἐκέκραξά σοι· σῶσόν με καὶ φυλάξω τὰ μαρτύριά σου.

Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λόγιά σου.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ἐγγὺς εἶ σύ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε· κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε· ἐν τῷ ἐλέει σου ζῆσόν με.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἄρχοντες κατεδίωξάν με δωρεὰν καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐνώπιόν σου, Κύριε.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Ἐξερεύξονται τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Φθέγξεται ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.

Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι.

Λ. Ἦχος πλ. α΄

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε καὶ τὰ κρίματά σου βοηθήσει μοι. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην (γ΄).

**Καὶ εὐθὺς τὰ νεκρώσιμα εὐλογητάρια. Ἦχος πλ. α΄**

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἁγίων ὁ χορὸς* εὗρε πηγὴν τῆς ζωῆς* καὶ θύραν παραδείσου·* εὕρω κἀγὼ* τὴν ὁδὸν διὰ τῆς μετανοίας·* τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι·* ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μὲν* ἐκ μὴ ὄντων πλάσας με* καὶ εἰκόνι σου θείᾳ τιμήσας,* παραβάσει ἐντολῆς δὲ* πάλιν με ἐπιστρέψας* εἰς γῆν ἐξ ἧς ἐλήφθην·* εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε,* τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι* τῆς ἀρρήτου δόξης σου,* εἰ καὶ στίγματα φέρω πταισμάτων·* οἰκτίρησον* τὸ σὸν πλάσμα, δέσποτα,* καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ·* καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι,* παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Οἱ τὸν ἀμνὸν* τοῦ Θεοῦ κηρύξαντες* καὶ σφαγιασθέντες ὥσπερ ἄρνες* καὶ πρὸς ζωὴν τὴν ἀγήρω, ἅγιοι,* καὶ ἀΐδιον μετατεθέντες·* τοῦτον ἐκτενῶς,* μάρτυρες, αἰτήσασθε* ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον,* ὁ Θεός, τοὺς δούλους σου* καὶ κατάταξον αὐτοὺς ἐν παραδείσῳ,* ὅπου χοροὶ τῶν ἁγίων, Κύριε,* καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες·* τοὺς κεκοιμημένους δούλους σου ἀνάπαυσον,* παρορῶν αὐτῶν πάντα τὰ ἐγκλήματα.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Οἱ τὴν ὁδὸν* τὴν στενὴν βαδίσαντες* τεθλιμμένην πάντες οἱ ἐν βίῳ·* οἱ τὸν σταυρὸν* ὡς ζυγὸν ἀράμενοι* καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει,* δεῦτε ἀπολαύετε,* ἃ ἡτοίμασα ὑμῖν* βραβεῖα καὶ στέφη τὰ οὐράνια.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**Τριαδικὸν**

Τὸ τριλαμπὲς* τῆς μιᾶς Θεότητος* εὐσεβῶς ὑμνήσωμεν, βοῶντες·* Ἅγιος εἶ,* ὁ Πατὴρ ὁ ἄναρχος,* ὁ συνάναρχος Υἱὸς* καὶ θεῖον Πνεῦμα·* φώτισον ἡμᾶς* πίστει σοι λατρεύοντας* καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Χαῖρε, σεμνή,* ἡ Θεὸν σαρκὶ τεκοῦσα* εἰς πάντων σωτηρίαν,* δι' ἧς γένος τῶν ἀνθρώπων* εὕρατο τὴν σωτηρίαν·* διὰ σοῦ εὕροιμεν παράδεισον,* Θεοτόκε ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι, ὁ Θεὸς (γʹ).

### ΣΥΝΑΠΤΗ

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

### [ΕΥΧΗ]

**I. Τὴν ἐκφώνησιν**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

### ΚΑΘΙΣΜΑΤΑ

**Α. Τὰ καθίσματα. Ἦχος πλ. αʹ**

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν,* μετὰ δικαίων τοὺς δούλους σου* καὶ τούτους κατασκήνωσον* ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται,* παρορῶν, ὡς ἀγαθός,* τὰ πλημμελήματα αὐτῶν* τὰ ἑκούσια καὶ τὰ ἀκούσια* καὶ πάντα τὰ ἐν ἀγνοίᾳ* καὶ γνώσει, φιλάνθρωπε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ* καὶ γνώσει, φιλάνθρωπε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

῾Ο ἐκ παρθένου ἀνατείλας* τῷ κόσμῳ, Χριστὲ ὁ Θεός,* υἱοὺς φωτὸς δι᾿ αὐτῆς ἀναδείξας,* ἐλέησον ἡμᾶς.

## Ο Ν' ΨΑΛΜΟΣ

Α. ᾿Ελέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

᾿Επὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

῞Οτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

᾿Ιδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

᾿Ιδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

῾Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

᾿Ακουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

᾿Απόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Ο ΚΑΝΩΝ

Λ. **Καὶ εὐθὺς ὁ νεκρώσιμος κανών, οὗ ἡ ἀκροστιχίς· «Ἕκτον προσαυδῶ τοῖς ἀπελθοῦσιν μέλος», ποίημα Θεοφάνους**

**Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Ἐν οὐρανίοις θαλάμοις* διηνεκῶς* οἱ γενναῖοι μάρτυρες* δυσωποῦσί σε, Χριστέ·* οὓς ἐκ γῆς

μετέστησας πιστούς,* αἰωνίων ἀγαθῶν* τυχεῖν ἀξίωσον.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Κατακοσμήσας τὰ πάντα,* ζῶον μικτὸν* μέσον με τὸν ἄνθρωπον* ταπεινότητος ὁμοῦ* καὶ μεγέθους ἔπλασας· διὸ* τὰς τῶν δούλων σου ψυχάς,* Σῶτερ, ἀνάπαυσον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τοῦ παραδείσου πολίτην* καὶ γεωργὸν* κατ' ἀρχάς με ἔταξας·* παραβάντα δὲ τὴν σὴν* ἐντολήν, ἐξώρισας· διό,* τὰς τῶν δούλων σου ψυχάς,* Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Ὁ ἐκ πλευρᾶς διαπλάσας* Εὔαν τὸ πρίν,* τὴν ἡμῶν προμήτορα,* ἐξ ἀχράντου σου γαστρὸς* σάρκα περιβάλλεται, δι' ἧς* τοῦ θανάτου τὴν ἰσχύν,* ἁγνή, διέλυσε.

**Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σὺ**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Νομίμως ἤθλησαν οἱ σοὶ* μάρτυρες, ζωοδότα,* καὶ στεφάνῳ τῆς νίκης* κοσμηθέντες παρὰ σοῦ,* τοῖς μεταστᾶσι πιστοῖς* αἰωνίαν* λύτρωσιν βραβεύουσι.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Παιδεύσας πρότερον πολλοῖς* τέρασι καὶ σημείοις* ἐμὲ τὸν πλανηθέντα,* ἐπ' ἐσχάτων σεαυ-

τὸν* κενώσας, ὡς συμπαθής,* καὶ ζητήσας,* εὗρες καὶ διέσωσας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ῥεόντων ἄστατον φορὰν* τοὺς πρὸς σὲ διαβάντας,* ἐν σκηναῖς αἰωνίοις* κατοικεῖν χαρμονικῶς* ἀξίωσον, ἀγαθέ,* δικαιώσας* πίστει τε καὶ χάριτι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Οὐκ ἔστιν ἄμεμπτος ὡς σύ,* πάναγνε Θεομῆτορ·* μόνη γὰρ ἐξ αἰῶνος* τὸν Θεὸν τὸν ἀληθῆ* συνέλαβες ἐν γαστρί,* τοῦ θανάτου* λύσαντα τὴν δύναμιν.

**Καὶ εὐθὺς τὸν εἱρμὸν**

Οὐκ ἔστιν ἅγιος ὡς σύ,* Κύριε ὁ Θεός μου,* ὁ ὑψώσας τὸ κέρας* τῶν πιστῶν σου, ἀγαθέ,* καὶ στερεώσας ἡμᾶς* ἐν τῇ πέτρᾳ* τῆς ὁμολογίας σου.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

[ΕΥΧΗ]

**Ι. Τὴν ἐκφώνησιν**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Λ. Ἀμήν.

**Τὰ μεσῴδια καθίσματα. Ἦχος πλ. α΄**

Ἀληθῶς ματαιότης τὰ σύμπαντα,* ὁ δὲ βίος

σκιὰ καὶ ἐνύπνιον* καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενής,* ὥς εἶπεν ἡ Γραφή·* ὅτε τὸν κόσμον κερδήσωμεν,* τότε τῷ τάφῳ οἰκήσωμεν,* ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί·* διό, Χριστὲ ὁ Θεός,* τοὺς μεταστάντας ἀνάπαυσον,* ὡς φιλάνθρωπος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Παναγία Θεοτόκε,* τὸν χρόνον τῆς ζωῆς μου* μὴ ἐγκαταλίπῃς με·* ἀνθρωπίνῃ προστασίᾳ* μὴ καταπιστεύσῃς με·* ἀλλ' αὐτὴ ἀντιλαβοῦ* καὶ ἐλέησόν με.

**Ὠδὴ δ'. Χριστός μου δύναμις**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Σοφίας μείζονος* δεικνύων γνώρισμα* καὶ τῆς περὶ τὰ δῶρα* πολυτελοῦς,* δέσποτα, χρηστότητος,* τὰς τῶν μαρτύρων χορείας* τοῖς ἀγγέλοις συνηρίθμησας.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Ἀφράστου δόξης σου* τυχεῖν ἀξίωσον* τοὺς πρὸς σὲ μεταστάντας,* ἔνθα, Χριστέ,* τῶν εὐφραινομένων ἐστὶν* ἡ κατοικία καὶ φωνὴ* καθαρᾶς ἀγαλλιάσεως.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὑμνοῦντας πρόσδεξαι* τὸ θεῖον κράτος σου,* οὓς ἐκ γῆς προσελάβου,* τέκνα φωτὸς* τούτους

ἐργαζόμενος,* τῆς ἁμαρτίας τὴν ἀχλὺν* ἐκκαθαίρων, πολυέλεε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Δοχεῖον ἄχραντον,* ναὸν πανάμωμον,* κιβωτὸν παναγίαν,* παρθενικὸν* τόπον ἁγιάσματος,* σὲ καλλονὴν τοῦ Ἰακώβ,* ὁ δεσπότης ἐξελέξατο.

**Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου, ἀγαθὲ**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Ὡς ὁλοκάρπωσις ἱερὰ* καὶ ὡς ἀπαρχὴ τῆς ἀνθρωπίνης* οἱ μάρτυρες φύσεως,* τῷ δεδοξασμένῳ προσενεχθέντες Θεῷ,* ἡμῖν τὴν σωτηρίαν* ἀεὶ βραβεύουσι.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Τῆς οὐρανίου διαγωγῆς,* τῆς διανομῆς τῶν χαρισμάτων* ἀξίωσον, δέσποτα,* τοὺς προκοιμηθέντας πιστοὺς οἰκέτας σου,* παρέχων τῶν πταισμάτων* τὴν ἀπολύτρωσιν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ μόνος φύσει ζωοποιός,* τὸ τῆς ἀγαθότητος ὄντως* ἀνεξιχνίαστον πέλαγος,* τοὺς τελειωθέντας τῆς βασιλείας τῆς σῆς* ἀξίωσον, οἰκτίρμον,* μόνε ἀθάνατε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Ἰσχὺς καὶ ὕμνησις ὁ ἐκ σοῦ,* δέσποινα τοῦ

κόσμου, γεννηθεὶς* καὶ σωτηρία ἐγένετο* τοῖς ἀπολλυμένοις, ἐκ τῶν τοῦ Ἅδου πυλῶν* ῥυόμενος τοὺς πίστει* σὲ μακαρίζοντας.

**Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Σταυρῷ προσηλούμενος,* τῶν μαρτύρων τοὺς χορούς* πρὸς σεαυτὸν συνήγαγες,* μιμουμένους τὸ πάθος σου, ἀγαθέ·* διό σου δεόμεθα,* τοὺς πρὸς σὲ μεταστάντας* διανάπαυσον.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Ἀφράστῳ τῇ δόξῃ σου,* ὅταν ἔλθῃς φοβερὸς* κρῖναι τὸν κόσμον ἅπαντα,* ἐν νεφέλαις εὐδόκησον, λυτρωτά,* φαιδρῶς ὑπαντῆσαί σοι,* οὓς ἐκ γῆς προσελάβου* πιστοὺς δούλους σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Πηγὴ ζωῆς πέφυκας,* ἐν ἀνδρείᾳ θεϊκῇ* πεπεδημένους, δέσποτα,* ὁ ἐξάγων· τοὺς δούλους σου τοὺς πρὸς σὲ* πιστῶς ἐκδημήσαντας* ἐν τρυφῇ παραδείσου* κατασκήνωσον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Εἰς γῆν ἀπεστράφημεν,* παραβάντες τοῦ Θεοῦ* τὴν ἐντολὴν τὴν ἔνθεον·* διὰ σοῦ δέ, παρθένε, πρὸς οὐρανὸν* ἐκ γῆς ἀνυψώθημεν,* τὴν φθορὰν τοῦ θανάτου* ἐκτινάξαντες.

**Καὶ εὐθὺς τὸν εἱρμὸν**

Τοῦ βίου τὴν θάλασσαν* ὑψουμένην καθορῶν*

τῶν πειρασμῶν τῷ κλύδωνι,* τῷ εὐδίῳ λιμένι σου προσδραμών,* βοῶ σοι· Ἀνάγαγε* ἐκ φθορᾶς τὴν ζωήν μου,* πολυέλεε.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

Λ. Κύριε, ἐλέησον.

[ΕΥΧΗ]

**Ι. Τὴν ἐκφώνησιν**

Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Λ. Ἀμήν.

**Τὸ κοντάκιον, ἀργῶς καὶ μετὰ μέλους. Ἦχος πλ. δ΄**

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

**Α. Τὸν οἶκον χύμα**

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος,* ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον·* οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν* καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα,* καθὼς ἐκέλευσας ὁ πλάσας με καὶ εἰπών μοι·* ὅτι γῆ εἶ καὶ εἰς γῆν ἐπελεύσῃ·* ὅπου πάντες βροτοὶ πορευσόμεθα,* ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδήν,* τό· Ἀλληλούϊα.

**Λ. Πάλιν ἀργῶς καὶ μετὰ μέλους τὸ κοντάκιον**

Μετὰ τῶν ἁγίων ἀνάπαυσον...

**Καὶ εὐθύς, ᾠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Λυτρωθέντες τῷ σῷ αἵματι οἱ μάρτυρες* τῆς πρώτης παραβάσεως,* ῥαντισθέντες δὲ* τῷ ἰδίῳ αἵματι, τὴν σὴν* σαφῶς εἰκονίζουσι σφαγήν.* Εὐλογητὸς εἶ, ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Θρασυνόμενον τὸν θάνατον ἐνέκρωσας,* Λόγε ζωαρχικώτατε,* τοὺς ἐν πίστει δὲ* κοιμηθέντας πρόσδεξαι τὰ νῦν,* ὑμνοῦντας καὶ λέγοντας, Χριστέ·* Εὐλογητὸς εἶ, ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ ψυχώσας με τὸν ἄνθρωπον φυσήματι* θείῳ, θεαρχικώτατε,* τοὺς μεταστάντας* βασιλείας, δέσποτα, τῆς σῆς* ἀξίωσον ψάλλειν σοι, Σωτήρ·* Εὐλογητὸς εἶ, ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Ὑπερτέρα πάσης κτίσεως, πανάμωμε,* γέγονας, συλλαβοῦσα Θεόν,* τὸν συντρίψαντα* τοῦ θανάτου πύλας καὶ μοχλοὺς* συνθλάσαντα· ὅθεν σε, ἁγνή,* ὑμνολογοῦμεν οἱ πιστοὶ* ὡς θεομήτορα.

**Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Σταθερῶς τοὺς ἀγῶνας* ἐπιδειξάμενοι,* τῷ τῆς νίκης στεφάνῳ* κατεκοσμήθητε,* μάρτυρες Χριστοῦ* ἀθλοφόροι, κραυγάζοντες·* Σὲ ὑπερυψοῦμεν,* Χριστέ, εἰς τοὺς αἰῶνας.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Ἱερῶς τοὺς τὸν βίον* ἀπολιπόντας πιστούς* καὶ πρὸς σὲ τὸν δεσπότην* μεταχωρήσαντας,* δέξαι προσηνῶς,* ἀναπαύων ὡς εὔσπλαγχνος,* σὲ ὑπερυψοῦντας,* Χριστέ, εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα· τὸν Κύριον ὑμνοῦμεν [καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας].

Νῦν ἐν γῇ τῶν πρᾳέων* πάντας αὐλίζεσθαι* τοὺς προκεκοιμημένους,* Σῶτερ, εὐδόκησον,* πίστει τῇ εἰς σὲ* δικαιώσας καὶ χάριτι,* σὲ ὑπερυψοῦντας* εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Μακαρίζομεν πάντες* σέ, παμμακάριστε,* τὴν τὸν Λόγον τὸν ὄντως* ὄντα μακάριον* σάρκα δι' ἡμᾶς* γεγονότα γεννήσασαν,* ὃν ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

**Καὶ εὐθὺς τὸν εἱρμὸν**

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἐκ φλογὸς τοῖς ὁσίοις* δρόσον ἐπήγασας* καὶ δικαίου θυσίαν* ὕδατι ἔφλεξας·* ἅπαντα γὰρ δρᾷς,* Χριστέ, μόνῳ τῷ βούλεσθαι.* Σὲ ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον**

Πρεσβείαις, Κύριε, τῶν μαρτύρων σου ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Ἐλπὶς* μαρτύρων χοροὺς ἀνεύρωσε* καὶ πρὸς τὴν σὴν* ἀγάπην διαπύρως ἐπτέρωσε,* τῶν μελλόντων τούτοις προτυπώσασα* τὴν μὴ σαλευομένην* ὄντως ἀνάπαυσιν,* ἧς τοὺς μεταστάντας, ἀγαθέ,* τυχεῖν ἀξίωσον.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Λαμπρᾶς* καὶ θείας τυχεῖν ἐλλάμψεως* τῆς σῆς, Χριστέ,* τοὺς πίστει μεταστάντας εὐδόκησον,* τὴν ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσιν* μόνος ὡς ἐλεήμων* τούτοις δωρούμενος* καὶ τῆς αἰωνίου ἀξιῶν* μακαριότητος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ ὢν* τῇ φύσει χρηστὸς καὶ εὔσπλαγχνος* καὶ θελητὴς* ἐλέους, εὐσπλαγχνίας ἡ ἄβυσσος,* οὓς ἐκ τόπου τούτου τῆς κακώσεως* καὶ σκιᾶς τοῦ θανάτου,* Σῶτερ, μετέστησας,* ἔνθα καταλάμπει σου τὸ φῶς* τούτους κατάταξον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Σκηνὴν* ἁγίαν, ἁγνή, γινώσκομεν* καὶ κιβωτὸν* καὶ πλάκα σὲ τοῦ νόμου τῆς χάριτος·* διὰ σοῦ γὰρ ἄφεσις δεδώρηται* τοῖς δεδικαιωμένοις* διὰ τοῦ αἵματος* τοῦ σωματωθέντος ἐκ τῆς σῆς* γαστρός πανάμωμε.

**Καὶ εὐθὺς τὸν εἱρμὸν**

Θεὸν* ἀνθρώποις ἰδεῖν ἀδύνατον,* ὃν οὐ τολμᾷ* ἀγγέλων ἀτενίσαι τὰ τάγματα·* διὰ σοῦ δέ, πάναγνε, ὠράθη βροτοῖς* Λόγος σεσαρκωμένος,*

ὃν μεγαλύνοντες* σὺν ταῖς οὐρανίαις στρατιαῖς* σὲ μακαρίζομεν.

[ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ - ΑΙΝΟΙ]
ΤΡΙΣΑΓΙΟΝ - ΤΡΟΠΑΡΙΑ

Λ. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς (γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Παναγία Τριάς,* ἐλέησον ἡμᾶς.* Κύριε,* ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.* Δέσποτα,* συγχώρησον τὰς ἀνομίας ἡμῖν.* Ἅγιε,* ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,* ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς,* ἁγιασθήτω τὸ ὄνομά σου,* ἐλθέτω ἡ βασιλεία σου,* γενηθήτω τὸ θέλημά σου* ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·* τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον* δὸς ἡμῖν σήμερον* καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,* ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν* καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ι. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λ. Ἀμήν.

**Τὰ τροπάρια. Ἦχος δ'**

Μετὰ πνευμάτων δικαίων* τετελειωμένων* τὰς ψυχὰς τῶν δούλων σου,* Σῶτερ, ἀνάπαυσον,* φυλάττων αὐτὰς* εἰς τὴν μακαρίαν ζωὴν* τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε,* ὅπου πάντες* οἱ ἅγιοί σου ἀναπαύονται,* ἀνάπαυσον,* καὶ τὰς ψυχὰς τῶν δούλων σου,* ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν* ὁ καταβὰς εἰς Ἅδην* καὶ τὰς ὀδύνας λύσας* τῶν πεπεδημένων,* αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου,* Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. **Θεοτοκίον**

Ἡ μόνη ἁγνὴ* καὶ ἄχραντος παρθένος,* ἡ Θεὸν ἀσπόρως κυήσασα,* πρέσβευε ὑπὲρ τοῦ σωθῆναι* τὰς ψυχὰς τῶν δούλων σου.

[ΑΠΟΣΤΟΛΟΣ - ΕΥΑΓΓΕΛΙΟΝ]
ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ - ΕΥΧΗ

Δ. Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Λ. Κύριε, ἐλέησον.

Δ. Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως...

Λ. Κύριε, ἐλέησον.

Δ. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν...

Λ. Κύριε, ἐλέησον.

Δ. Τοῦ Κυρίου δεηθῶμεν.

**Ι. Τὴν εὐχὴν**

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτὸς Κύριε, ἀνάπαυσον τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου **(τῶνδε)** ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια.

**(ἐκφώνως)** Ὅτι σὺ εἶ ἡ ἀνάστασις...

Λ. Ἀμήν.

ΑΠΟΛΥΣΙΣ

Ι. Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν· δόξα σοι,

Α. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Κύριε, ἐλέησον (γ'). Εὐλόγησον.

**Ι. Τὴν ἀπόλυσιν**

Ὁ καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων, ὡς ἀθάνατος βασιλεύς, καὶ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου ἁγίας αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδό-

ξων προπατόρων Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τοῦ ἁγίου καὶ δικαίου φίλου αὐτοῦ Λαζάρου, τοῦ τετραημέρου, καὶ πάντων τῶν ἁγίων, τὴν ψυχὴν τῶν ἐξ ἡμῶν μεταστάντων δούλων αὐτοῦ (**τῶνδε**) ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι καὶ μετὰ δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι καὶ σῶσαι ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Λ. Ἀμήν.

**Εἶτα οἱ ἱερεῖς ποιοῦσι κύκλον περὶ τὸ κόλυβον καὶ ψάλλουσιν ἀργῶς καὶ μετὰ μέλους γεγονωτέρᾳ τῇ φωνῇ** Αἰωνία ἡ μνήμη **τρὶς ἀνὰ τρεῖς· εἰς ἑκάστην δὲ στάσιν εὐλογοῦσι τὸ κόλυβον ἀνὰ τρεῖς, εἰς δὲ τὸ τέλος τῆς τρίτης στάσεως τοῦ «Αἰωνία ἡ μνήμη», λέγουσιν ὅλοι οἱ ἱερεῖς** Αἰωνία ἡ μνήμη αὐτῶν.

Ι. Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Λ. Ἀμήν.

# ΠΑΡΑΡΤΗΜΑ

## Α΄. Ο ΑΜΩΜΟΣ (Ψαλμ. ριη΄)
## κατ' ἐπιτομὴν - ᾀσματικῶς

### Στάσις α΄. Ἦχος πλ. β΄

Ἄμωμοι ἐν ὁδῷ. Ἀλληλούϊα. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἀλληλούϊα.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν. Ἀλληλούϊα.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἀλληλούϊα.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Ἀλληλούϊα.

### Στάσις β΄. Ἦχος πλ. α΄

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με, Κύριε.

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἐλέησόν με, Κύριε.

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με, Κύριε.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ἐλέησόν με, Κύριε.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Ἐλέησόν με, Κύριε.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν νόμον σου. Ἐλέησόν με, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Ἐλέησόν με, Κύριε, Κύριε.

**Στάσις γ'. Ἦχος πλ. δ'**

Καὶ ἐλέησόν με. Ἀλληλούϊα. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Ἀλληλούϊα.

Ἄρχοντες κατεδίωξάν με δωρεὰν καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

## Β'. ΝΕΚΡΩΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ
## (κώδ. Paris. Nat. Gr. 331 καὶ Λειμῶνος 295)

Τῶν ἁγίων ὁ χορὸς* εὗρε πηγὴν τῆς ζωῆς...

Εἰκών εἰμι* τῆς ἀρρήτου δόξης σου...

Οἱ τὸν ἀμνὸν* τοῦ Θεοῦ κηρύξαντες...

Οἱ τὴν ὁδὸν* τὴν στενὴν βαδίσαντες...

Ὁ παλάμῃ* ἐκ μὴ ὄντων πλάσας με...

Ἀνάπαυσον,* ὁ Θεός, τοὺς δούλους σου...

Τῶν προφητῶν,* ἀποστόλων, Κύριε,* καὶ μαρτύρων σου λιταῖς ὡς ἐλεήμων,* κατατρυφᾶν* σὺν αὐτοῖς ἀξίωσον* ὡραιότητος καὶ θείας μετουσίας* καὶ γλυκείας μεθέξεώς σου, δέσποτα,* ἀπολαύειν χαρᾶς ἡμᾶς εὐδόκησον.

Ἱεραρχῶν* καὶ ὁσίων, Κύριε,* ἀσκητῶν καὶ πάντων

σου ἁγίων,* ἔνθα χορός* εὐλαβῶς δοξάζουσι* σὺν χοροῖς τῶν θείων ἀσωμάτων,* μέλος τὸ τρισάγιον μέλπειν σοι* σὺν αὐτοῖς ἡμᾶς* σύνταξον ὡς εὔσπλαγχνος.

Οἱ τὴν στενὴν* ἐν χαρᾷ ὁδεύσαντες,* ἀσκηταί, ὁδὸν καὶ τεθλιμμένην* τὴν φέρουσαν πρὸς τρυφὴν ἀΐδιον* καὶ σαρκὸς καὶ γῆς διαζευχθέντες·* Δεῦτε, ὁ Χριστὸς κράζει, ἀπολαύετε* ἐκ χειρός μου στέφη* καὶ δόξαν αἰωνίζουσαν.

Ἐσπίλωσα* τὴν στολὴν τοῦ Πνεύματος,* ἣν ἐνέδυσας σῇ εὐσπλαγχνίᾳ* τῷ φωτισμῷ τῆς ἀναγεννήσεως* μολυσμοῖς τοῖς ἐκ τῆς ἁμαρτίας·* ἀλλὰ τοῖς ἐμοῖς ἀπόπλυνον δάκρυσι* καὶ τῶν οἰκτιρμῶν σου* ὑσσώπῳ κάθαρον.

Ὁ ἀπὸ γῆς* κατ' ἀρχὰς τὸν ἄνθρωπον* τῇ χειρί σου πλάσας, ἐλεῆμον,* οὓς ἐξ ἡμῶν προσελάβου δούλους σου* ἐν πίστει, πᾶσιν ἐκλεκτοῖς,* Λόγε, συναρίθμησον,* παρορῶν τὰ τούτων,* Σῶτερ, ἐγκλήματα.

Τοὺς ἐξ ἡμῶν* μεταστάντας δούλους σου* ἐν τῇ τρυφῇ τῆς ἀτελευτήτου βασιλείας* τῶν οὐρανῶν κατατάξας, Κύριε,* ἐν φωτὶ ἀνεσπέρῳ σου σκηνῶσαι,* ἐν νεφέλαις ἀέρων ὑπαντῆσαί σε* καταξίωσον, μόνε ὑπεράγαθε.

Χαῖρε, Σταυρέ,* βασιλέων ἔρεισμα* καὶ προπύργιον ἀρχιερέων.* Χαῖρε, Σταυρέ,* τῶν μαρτύρων καύχημα* καὶ ὁσίων ἀκλόνητος βάσις.* Χαῖρε, Σταυρέ,* δαιμόνων κατάπτωσις,* τοῦ λαοῦ Κυρίου* χαῖρε ἡ λύτρωσις.

**Τριαδικὸν**

Τὸ τριλαμπὲς* τῆς μιᾶς Θεότητος...

**Θεοτοκία**

Μήτηρ Θεοῦ,* παναγία δέσποινα,* τῶν πιστῶν ἀντίληψις βεβαία,* ῥῦσαι ἡμᾶς* τοῦ πυρὸς τοῦ μέλλοντος εὐχαῖς σου* τοὺς εἰλικρινεῖ γνώμῃ σε δοξάζοντας,* τὴν τιμιωτέραν πάσης κτίσεως.

Χαῖρε, σεμνή,* ἡ Θεὸν σαρκὶ τεκοῦσα...

## Γ'. ΚΑΝΩΝ ΕΙΣ ΚΟΙΜΗΘΕΝΤΑΣ

**Ἀκροστιχίς· «Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος» Θεοφάνους (Παρακλητική. Ἦχος πλ. δ'. Ὄρθρος Σαββάτου)**

### Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ* καὶ πάθεσι πάθος* μιμησάμενοι τὸ σεπτὸν* οἱ μάρτυρες πάντες, τῆς ἐνθέου* καὶ μακαρίας ζωῆς ἔτυχον.

Νεότητος πταίσματα παρορῶν* καὶ τὰς ἁμαρτίας* ὑπερβαίνων, Χριστὲ Σωτήρ,* τῶν προκοιμηθέντων οἰκετῶν σου,* τοῖς ἐκλεκτοῖς σου συναρίθμησον.

Ἧς ἔτυχον δόξης τε καὶ χαρᾶς* οἱ τὴν μακαρίαν* κεκτημένοι διαγωγήν,* μετάδος πλουσίως τοῖς σοῖς δούλοις,* οὓς προσελάβου, πολυέλεε.

### Θεοτοκίον

Συνέλαβες Λόγον τὸν τοῦ Πατρός,* σαρκὶ ἑνωθέντα* καθ' ὑπόστασιν τῇ ἐκ σοῦ,* πανάμωμε κόρη, καὶ τὸν Ἅδην* θείᾳ δυνάμει καταργήσαντα.

### Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος

Καθαρθέντες τῆς πάλαι,* προγονικῆς πτώσεως,* διὰ τοῦ βαπτίσματος* καὶ τῆς ἀναγεννήσεως,* ῥείθροις αἱμάτων τε* τοῖς ἑαυτῶν ῥαντισθέντες,* τῷ Χριστῷ, μακάριοι,* συμβασιλεύετε.

Ὁ νεκρὸς ἑκουσίως,* κατατεθεὶς μνήματι* καὶ τοὺς κατοικοῦντας ἐν τάφοις* ἀνακαλούμενος,* Σῶτερ, εὐδόκησον,* οὓς ἐξ ἡμῶν προσελάβου,* ἐν σκηναῖς δικαίων σου* τούτους αὐλίζεσθαι.

Ὑπὸ τῆς εὐσπλαγχνίας* τῆς θεϊκῆς, δέσποτα,* καὶ τῆς συμφυῶς νοουμένης* σου ἀγαθότητος* παρακαλούμενος,* ἁμαρτημάτων τὴν λύσιν* παρασχὼν τοῖς δούλοις σου,* Σῶτερ, ἀνάπαυσον.

**Θεοτοκίον**

Σαρκωθεὶς ἐκ γαστρός σου* καὶ γεγονὼς ἄνθρωπος,* ὁ διαφερόντως ὑπάρχων* μόνος φιλάνθρωπος,* σώζει τὸν ἄνθρωπον* ἐκ τῶν πυλῶν τοῦ θανάτου,* Θεομῆτορ ἄχραντε,* μόνη πανύμνητε.

**Ὁ εἱρμὸς**

Οὐρανίας ἀψῖδος* ὀροφουργέ, Κύριε,* καὶ τῆς Ἐκκλησίας δομῆτορ,* σύ με στερέωσον* ἐν τῇ ἀγάπῃ τῇ σῇ,* τῶν ἐφετῶν ἡ ἀκρότης,* τῶν πιστῶν τὸ στήριγμα,* μόνε φιλάνθρωπε.

**Ὠδὴ δ'. Σύ μου ἰσχύς, Κύριε**

Ἵνα τὴν σήν,* δέσποτα, δόξαν θεάσωνται* καὶ τῆς αἴγλης* σοῦ τῆς φωτοδότιδος* ἐν οὐρανοῖς τύχωσι φαιδρῶς,* ἅπασαν βασάνων,* ἰδέαν φέρειν ὑπήνεγκαν* οἱ μάρτυρες οἱ θεῖοι,* σοί, Χριστέ, μελῳδοῦντες·* Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Πολλαὶ μοναὶ* παρὰ σοί, Σῶτερ, πεφύκασι,* κατ' ἀξίαν* πᾶσι μεριζόμεναι* κατὰ τὸ μέτρον τῆς ἀρετῆς·* ταύτας οὖν, οἰκτίρμον,* πληρῶσαι τούτους ἀξίωσον* τοὺς πίστει μεταστάντας,* εὐσεβῶς σοι βοῶντας·* Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Ἴσος ἡμῖν,* ἄνθρωπος ὤφθης, ἀθάνατε,* πᾶσιν ἴσον* θάνατον ὑπέμεινας* καὶ τῆς ζωῆς ἔδειξας ὁδούς·* ἧς τοὺς μεταστάντας* ἀξίωσον ὡς φιλάνθρωπος,* συγχώρησιν πταισμάτων* ὡς δεσπότης παρέχων* καὶ φωτὸς μετουσίαν δωρούμενος.

**Θεοτοκίον**

Σὺ τῶν πιστῶν* καύχημα πέλεις, ἀνύμφευτε,* σὺ προστάτις,* σὺ καὶ καταφύγιον,* χριστιανῶν τεῖχος καὶ λιμήν·* πρὸς γὰρ τὸν υἱόν σου* ἐντεύξεις φέρεις, πανάμωμε,*

καὶ σώζεις ἐκ κινδύνων* τοὺς ἐν πίστει καὶ πόθῳ* Θεοτόκον ἁγνήν σε γινώσκοντας.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω**

Τῆς ἀφράστου σου δόξης* καὶ τῆς ὑπὲρ λόγον σου μακαριότητος,* ἐν σκηναῖς ἁγίων,* ἔνθα ἦχος τερπνὸς ἑορτάζοντος* τοὺς μεταθεμένους* πρὸς ἀπαθῆ ζωὴν οἰκτίρας,* καταξίωσον, μόνε φιλάνθρωπε.

Ὅπου τάξεις ἀγγέλων,* ὅπου τῶν δικαίων οἱ δῆμοι ἀγάλλονται,* Ἀβραὰμ ἐν κόλποις* κατασκήνωσον, Σῶτερ, τοὺς δούλους σου* καὶ σὺν παρρησίᾳ* τῷ φοβερῷ καὶ θείῳ θρόνῳ* παρεστάναι εὐδόκησον, εὔσπλαγχνε.

Ἱλασμὸς ἡμῖν ὤφθης* καὶ δικαιοσύνη τε καὶ ἀπολύτρωσις* καὶ τῷ μώλωπί σου* τὰς ἡμῶν ἀσθενείας ἰάτρευσας·* αὐτὸς οὖν, οἰκτίρμον,* ὡς ἀγαθὸς τοὺς μεταστάντας* ἐν τρυφῇ παραδείσου κατάταξον.

**Θεοτοκίον**

Συμπαθῶς, ἐλεῆμον,* τὸ τῆς ἀνθρωπότητος μέτρον ἀνέλαβες,* ὁ τῆς θείας δόξης* ὑπερτάτοις ἐμπρέπων ὑψώμασιν,* ἐκ παρθένου μήτρας* σάρκα λαβὼν ἐμψυχωμένην,* λογικήν, δι' ἧς θάνατον ὤλεσας.

**Ὠδὴ ς΄. Ἱλάσθητί μοι, Σωτὴρ**

Οἱ μάρτυρές σου, Σωτήρ,* πολλὰς βασάνους ὑπέμειναν,* τῷ πόθῳ σου τὰς ψυχὰς* τρωθέντες οἱ ἅγιοι,* τῆς σῆς ὀρεγόμενοι* ἀϊδίου δόξης* καὶ γλυκείας σου μεθέξεως.

Γαστέρα τοῦ δυσμενοῦς* θανάτου, Σῶτερ, διέρρηξας* καὶ πάντας τοὺς ἐν αὐτῇ* δεσμώτας ἀνέστησας,* ζωὴν χαρισάμενος·* ἧς τοὺς μεταστάντας,* εὐεργέτα, καταξίωσον.

Δακρύων καὶ στεναγμῶν* τῶν ἐν τῷ Ἅδῃ τοὺς δούλους σου* ἐλευθέρωσον, ἀγαθέ·* ὡς μόνος γὰρ εὔσπλαγχνος* ἀφεῖλες πᾶν δάκρυον* ἐκ παντὸς προσώπου* τῶν πιστῶς θεολογούντων σε.

**Θεοτοκίον**

Ὁ φύσει δημιουργὸς* δημιουργεῖται ἐν μήτρᾳ σου·* ὁ πλήρης καθὸ Θεὸς* κενοῦται, πανάμωμε·* ὁ μόνος ἀθάνατος* τὸν ὑπὲρ τῆς πάντων* σωτηρίας θνήσκει θάνατον.

**Ὁ εἱρμὸς**

Ἱλάσθητί μοι, Σωτήρ,* πολλαὶ γὰρ αἱ ἀνομίαι μου* καὶ ἐκ βυθοῦ τῶν κακῶν* ἀνάγαγε, δέομαι·* πρὸς σὲ γὰρ ἐβόησα* καὶ ἐπάκουσόν μου,* ὁ Θεὸς τῆς σωτηρίας μου.

**Ὠδὴ ζ΄. Παῖδες ἑβραίων**

Ὅλος ὁ πόθος τῶν μαρτύρων* ἀνατέταται πρὸς μόνον τὸν δεσπότην,* δι' ἀγάπης αὐτῷ* ἑνούμενος καὶ μέλπων·* Εὐλογητὸς εἶ, Κύριε* ὁ Θεός, εἰς τοὺς αἰῶνας.

Νέμοις τοῖς πίστει μεταστᾶσι* τὴν φαιδρότητα τῆς θείας βασιλείας,* ἀφθαρσίας στολὴν* δωρούμενος, βοῶσιν·* Εὐλογητὸς εἶ, Κύριε* ὁ Θεός, εἰς τοὺς αἰῶνας.

Πλῆσον χαρᾶς καὶ εὐφροσύνης* οὓς μετέστησας οἰκέτας σου, οἰκτίρμον,* ἀξιώσας αὐτοὺς* κραυγάζειν σοι καὶ μέλπειν·* Εὐλογητὸς εἶ, Κύριε* ὁ Θεός, εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον**

Λύων τῆς Εὔας τὴν κατάραν,* τὴν πανάμωμον κατῴκησας παρθένον,* εὐλογίας πηγὴν* βλυστάνων τοῖς βοῶσιν·* Εὐλογημένος, πάναγνε,* ὁ καρπὸς τῆς σῆς κοιλίας.

**Ὠδὴ η΄. Μουσικῶν ὀργάνων συμφωνούντων**

Ἐπιγείους ἄθλους διελθόντες,* οὐρανίους ἔλαβον στεφάνους* οἱ μάρτυρες οἱ ἀληθεῖς,* βοῶντές σοι ἀπαύστως·* Τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Καταβὰς ἐν λάκκῳ κατωτάτῳ,* τοὺς ἐν τοῖς μνημείοις κατοικοῦντας* ἀνέστησας ζωαρχικῇ* παλάμῃ καὶ πα-

ρέσχες* τοῖς δούλοις σου τοῖς πίστει* προκεκοιμημένοις* ἀνάπαυσιν, οἰκτίρμον.

Ὡς πηγὴ ζωῆς τῆς ἀϊδίου,* ὡς τρυφῆς ὑπάρχων ὁ χειμάρρους,* τοὺς δούλους σου τοὺς εὐσεβῶς* πρὸς σὲ μετατεθέντας* ἀξίωσον ὑμνεῖν σε* καὶ δοξολογεῖν σε* εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον**

Μαρία παρθένε Θεοτόκε,* ἡ Θεὸν Σωτῆρα τοῖς ἀνθρώποις* γεννήσασα σωματικῶς,* περίσωζε τοὺς πίστει* ὑμνοῦντάς σου τὸν τόκον* καὶ ὑπερυψοῦντας* εἰς πάντας τοὺς αἰῶνας.

**Ὁ εἱρμὸς**

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Μουσικῶν ὀργάνων συμφωνούντων* καὶ λαῶν ἀπείρων προσκυνούντων* εἰκόνι τῇ ἐν Δεηρᾷ,* τρεῖς παῖδες ἀνεβόων·* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοὴ**

Ἔχοντες, μάρτυρες Χριστοῦ,* τὴν ἀνίκητον ἰσχὺν καὶ ἀήττητον,* ἐξεφαυλίσατε* τὸ τῶν τυράννων ἄθεον πρόσταγμα* καὶ βασιλείας οὐρανῶν* σαφῶς ἠξιώθητε,* καταλαμπόμενοι* τῆς Τριάδος ταῖς αὐγαῖς, ἀξιάγαστοι.

Λέλυται Ἅδης ὁ πικρός,* καταλύσαντος αὐτὸν σοῦ, φιλάνθρωπε,* καὶ ἀναστήσαντος* τοὺς ἀπ' αἰῶνος ἐκεῖ καθεύδοντας·* ἀλλὰ καὶ νῦν, ὡς ἀγαθός,* τοὺς μεταχωρήσαντας* πρὸς σὲ τὸν εὔσπλαγχνον,* ἀνεσπέρου σου φωτὸς καταξίωσον.

Ὅλος εἶ, Σῶτερ, γλυκασμός,* ὅλος εἶ ἐπιθυμία καὶ ἔφεσις* ὄντως ἀκόρεστος,* ὅλος ὑπάρχεις κάλλος ἀμήχανον·* τοὺς μεταστάντας οὖν πρὸς σὲ* τῆς σῆς ὡραιότητος* τρυφᾶν εὐδόκησον* καὶ τῆς θείας καλλονῆς σου ἀξίωσον.

**Θεοτοκίον**

Σῶσόν με, μήτηρ τοῦ Θεοῦ,* ἡ γεννήσασα Χριστὸν τὸν Σωτῆρα μου,* Θεὸν καὶ ἄνθρωπον,* διπλοῦν τὴν φύσιν οὐ τὴν ὑπόστασιν,* μονογενῆ μὲν ἐκ Πατρός,* ἐκ σοῦ δὲ πρωτότοκον* πάσης τῆς κτίσεως·* ὃν ἐν φύσεσι διτταῖς μεγαλύνομεν.

**Ὁ εἱρμὸς**

Ἔφριξε πᾶσα ἀκοὴ* τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν,* ὅπως ὁ Ὕψιστος* ἑκὼν κατῆλθε μέχρι καὶ σώματος,* παρθενικῆς ἀπὸ γαστρὸς* γενόμενος ἄνθρωπος,* διὸ τὴν ἄχραντον* Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

## Δ΄. ΝΕΚΡΩΣΙΜΟΝ ΚΟΝΤΑΚΙΟΝ

**Ἀκροστιχίς: «Ἀναστασίου τοῦ ταπεινοῦ αἶνος» (J. B. Pitra, Analecta sacra, τ. I, Paris 1876, σελ. 242- ἑξ.)**

**Ἦχος πλ. δ΄**

Μετὰ τῶν ἁγίων* ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

α΄. Ὁ τῆς ζωῆς τῶν ἀνθρώπων* καὶ τοῦ θανάτου ἐξουσιάζων,* μεθιστάνων δὲ πάντας* σῷ προστάγματι,* ὅτε θέλεις ἐλεῆσαι,* καὶ τὸν μεταστάντα ἀνάπαυσον,* ὡς μόνος Θεὸς οἰκτίρμων.

β΄. Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος,* ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον·* οἱ βροτοὶ δὲ ἐκ γῆς διεπλάσθημεν* καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα,* καθὼς ἐκέλευσας ὁ πλάσας με* καὶ εἰπών μοι· «Γῆ εἶ καὶ εἰς γῆν πορεύσῃ»,* ὅπου πάντες βροτοὶ πορευσόμεθα,* ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδήν,* τὸ Ἀλληλούϊα.

γ΄. Νουνεχῶς, δυσωπῶ, ἐπακούσατε* μετὰ μόνων γὰρ ταῦτα καὶ φθέγγομαι,* δι᾽ ὑμᾶς γὰρ τὸν θρῆνον ἐποίησα* ἴσως ἔχειν τινὰ προσωφέλειαν·* ἀλλ᾽ ὅτε ταῦτα μελῳδή-

σετε,* μνημονεύσατέ μου, τοῦ ποτὲ γνωρίμου·* πολλάκις γὰρ ὁμοῦ συνεισήλθομεν* καὶ ἐν οἴκῳ Θεοῦ ἐψάλλομεν ᾠδήν,* τὸ Ἀλληλούϊα.

δ'. Ἀναστάντες οὖν πάντες συνάχθητε* καὶ καθίσαντες λόγον ἀκούσατε·* Φοβερόν, ἀδελφοί, τὸ κριτήριον,* ὅπου μέλλομεν πάντες παρίστασθαι·* οὐκ ἔνι δοῦλος οὔτ' ἐλεύθερος,* οὔτε ἔνι ἐκεῖ μικρὸς οὔτε μέγας,* ἀλλ' οἱ πάντες γυμνοὶ παριστάμεθα·* διὰ τοῦτο καλὸν τὸ βοᾶν τῷ Χριστῷ* τὸ Ἀλληλούϊα.

ε'. Συγκαιόμεθα πάντες τοῖς δάκρυσιν,* ὅταν ἴδωμεν λείψανον κείμενον* καὶ ἐγγίζοντες πάντες ἀσπάζονται,* ἴσως δὲ καὶ τοιαῦτα προσφθέγγονται·* Ἰδοὺ ἀφῆκας τοὺς φιλοῦντάς σε·* διατί οὐ λαλεῖς τοῦ λοιποῦ μεθ' ἡμῶν, ὦ φίλε;* οὐ λαλεῖς ὡς ἐλάλεις ἡμῖν,* ἀλλὰ οὕτω σιγᾷς μὴ λαλῶν μεθ' ἡμῶν* τὸ Ἀλληλούϊα;

ς'. Τί πικρὰ τῶν θνησκόντων τὰ ῥήματα,* ἅπερ φθέγγονται, ὅταν πορεύωνται·* Ἀδελφοί, ἀδελφῶν μου χωρίζομαι,* φίλους πάντας ἀφῶ καὶ πορεύομαι.* Ποῦ οὖν ὑπάγω οὐκ ἐπίσταμαι* ἢ πῶς μέλλω ἔχειν οὐδεὶς ὁ γινώσκων,* εἰ μὴ μόνον Θεὸς ὁ καλέσας με·* ἀλλὰ μνείαν ποιεῖτε ἐμοῦ μετ' ᾠδῆς,* τὸ Ἀλληλούϊα.

ζ'. Ἆρα ποῦ αἱ ψυχαὶ νῦν ὑπάρχουσιν;* ἆρα πῶς ἐν τῷ Ἅδῃ διάγουσιν;* ἐπεθύμουν μαθεῖν τὸ μυστήριον,* ἀλλ' οὐδεὶς ἱκανὸς διηγήσασθαι.* Ἆρα κἀκεῖνοι μνημονεύουσι* τῶν ἰδίων αὐτῶν, ὡς ἡμεῖς ἐκείνων;* ἢ ἐκεῖνοι λοιπὸν ἐπελάθοντο* τῶν θρηνούντων αὐτοὺς καὶ ποιούντων ᾠδήν,* τὸ Ἀλληλούϊα.

η'. Συνοδεύσατε, φίλοι, τοῖς θνήσκουσι* καὶ σπουδῇ πρὸς τὸ μνῆμα προφθάσατε* καὶ ἐκεῖ νουνεχῶς ἀτενίσατε* καὶ τὸν τόπον ὑμῶν εὐτρεπίσατε·* πᾶσα νεότης ἐκεῖ διαρρεῖ,* πᾶσα ἡλικία ἐκεῖ ἐμαράνθη·* ἐκεῖ κόνις καὶ τέφρα καὶ σκώληκες,* ἐκεῖ πᾶσα σιγὴ καὶ οὐδεὶς ὁ λαλῶν* τὸ Ἀλληλούϊα.

θ'. Ἰδοὺ δὴ θεωροῦμεν τὸν κείμενον,* ἀλλ' ἡμῖν τοῦ λοιποῦ μὴ προκείμενον·* ἰδοὺ δὴ καὶ ἡ γλῶττα ἡσύχασεν,*

ἰδοὺ δὴ καὶ τὰ χείλη ἐπαύσαντο.* Ἔρρωσθε, φίλοι· τέκνα, σώζεσθε·* σώζεσθε, ἀδελφοί· σώζεσθε, γνώριμοι·* ἐγὼ γὰρ τὴν ὁδόν μου πορεύομαι,* ἀλλὰ μνείαν ποιεῖτε ἐμοῦ μετ' ᾠδῆς,* τὸ Ἀλληλούϊα.

ι'. Οὐδεὶς γὰρ τῶν ἐκεῖθεν ἀνέλυσεν,* ἵνα εἴπῃ ἡμῖν πῶς διάγουσιν* οἵ ποτε ἀδελφοὶ καὶ τὰ ἔγγονα* τὰ ἐκεῖ προλαβόντα πρὸς Κύριον·* διὸ πολλάκις ἀεὶ λέγομεν·* Ἆρα ἔνι ἐκεῖ ἰδέσθαι ἀλλήλους;* ἆρα ἔνι ἐκεῖ ἰδεῖν ἀδελφόν;* ἆρα ἔνι ἐκεῖ ἐν τῷ ἅμα εἰπεῖν* τὸ Ἀλληλούϊα;

ια'. Ὑπομνήσκω ὑμᾶς πρὸς τὸν Κύριον,* ἀδελφοί μου καὶ τέκνα καὶ φίλοι μου·* μὴ μοῦ λάθεσθε, ὅταν προσεύχησθε,* δυσωπῶ, ἱκετεύω καὶ δέομαι·* μάθετε ταῦτα εἰς μνημόσυνον* καὶ θρηνήσατέ με νυκτὸς καὶ ἡμέρας·* ὡς Ἰὼβ πρὸς τοὺς φίλους, ἐρῶ πρὸς ὑμᾶς·* Καθίσατε πάλιν εἰπεῖν* τὸ Ἀλληλούϊα.

ιβ'. Τὰ γὰρ πάντα ἀφέντες ὑπάγομεν* καὶ γυμνοὶ καὶ στυγνοὶ παριστάμεθα·* τὸ γὰρ κάλλος ὡς χλόη μαραίνεται* καὶ ἡ δόξα ὡς ὄναρ παρέρχεται.* Γυμνὸς ἐτέχθης, ὦ ταλαίπωρε,* γυμνὸς μέλλεις ἐκεῖ παρεστάναι πάντως·* μὴ φαντάζου, βροτέ, ἐν τῷ βίῳ ποτέ,* ἀλλὰ στέναζε πάντοτε μετὰ ψαλμοῦ,* τοῦ Ἀλληλούϊα.

ιγ'. Οὐδὲν οὕτως ἐστὶν εὐληθάργητον,* ὡς βροτὸς ἐκ βροτοῦ χωριζόμενος·* κἂν γὰρ χρόνον μικρὸν μνημονεύσωμεν,* ἀλλ' εὐθὺς τοῦ θανόντος λανθάνομεν,* ὡς μὴ φανέντα τοῦτον ἔχοντες·* καὶ γονεῖς γὰρ τέκνων πάντων ληθαργοῦσιν,* ἃ ἐκ σπλάγχνων γεννήσαντες ἔθρεψαν* καὶ προέπεμψαν δάκρυσι μετὰ ᾠδῆς,* τοῦ Ἀλληλούϊα.

ιδ'. Ὑπάγομεν ὁδὸν τὴν αἰώνιον* πρὸς τὸν μόνον Θεὸν τὸν αἰώνιον·* παριστάμεθα, ὥσπερ κατάδικοι,* κάτω νεύοντες ὅλοι τὰ πρόσωπα.* Ποῦ κάλλος τότε; ποῦ τὰ χρήματα;* ποῦ ἡ δόξα τότε, ἡ τοῦ βίου τούτου;* οὐδὲν τούτων ἐκεῖ βοηθήσει σοι,* εἰ μὴ μόνον τὸ λέγειν συχνῶς τὸν ψαλμόν,* τὸ Ἀλληλούϊα.

ιε'. Τί ταράττῃ ἀκαίρως, ὦ ἄνθρωπε;* μία ὥρα καὶ πάντα παρέρχεται·* οὐ γὰρ ἔνι ἐν Ἅδῃ μετάνοια,* οὐδὲ ἔνι ἐκεῖ

λοιπὸν ἄνεσις·* ἐκεῖ σκώληξ ὁ ἀκοίμητος,* ἐκεῖ γῆ σκοτεινὴ καὶ γνοφώδης ὅλη,* ὅπου μέλλω ἐγὼ κατακρίνεσθαι·* οὐ γὰρ ἔσπευσα ὅλως τοῦ λέγειν ψαλμόν,* τὸ Ἀλληλούϊα.

ις'. Ἂν ἠλέησας, ἄνθρωπε, ἄνθρωπον,* αὐτὸς μέλλει ἐκεῖ βοηθῆσαί σοι·* Ἄν τινι ὀρφανῷ συνεπάθησας,* αὐτὸς μέλλει ἐκεῖ ἀπαντῆσαί σοι.* Ἂν ἐξ ἀνάγκης ἔσωσάς τινα,* αὐτὸς ῥύσεταί σε ἐκεῖ τῆς ἀνάγκης.* Ἐὰν γυμνὸν ἐν τῷ βίῳ ἐσκέπασας,* αὐτὸς μέλλει σκεπάσαι σε καὶ ὁ ψαλμός,* τὸ Ἀλληλούϊα.

ιζ'. Πονηρὰ ἡ ὁδὸς ἣν ἀπέρχομαι,* ἣν οὐδέποτε ὄντως ἐβάδισα* καὶ ἡ χώρα ἐκείνη ἀγνώριστος,* ὅπου οὐδεὶς οὐδαμῶς γνωρίζει με.* Φρικτὸν ἰδέσθαι τοὺς ἀπάγοντας,* φοβερώτερον δὲ τὸν καλέσαντά με,* τὸν ζωῆς καὶ θανάτου δεσπόζοντα* καὶ καλοῦντα ἡμᾶς, ὅτε θέλει, ἐκεῖ* τὸ Ἀλληλούϊα.

ιη'. Εἰ γὰρ χώραν ἐκ χώρας βαδίζοντες,* ὁδηγούντων τινῶν προσδεόμεθα,* τί ποιήσομεν, ὅταν ὑπάγωμεν* εἰς τὴν χώραν ἣν οὔ πως γνωρίζομεν;* Πολλῶν σοι τότε χρεία ὁδηγῶν,* πολλῶν σοι τῶν εὐχῶν τῶν συνοδευόντων,* διασῶσαι ψυχὴν τὴν ταλαίπωρον* ἕως φθάσῃς Χριστὸν καὶ εἴπῃς πρὸς αὐτὸν* τὸ Ἀλληλούϊα.

ιθ'. Ἰδοὺ νῦν, ἀδελφοί, ἡσυχάσατε,* τῷ κειμένῳ λοιπὸν μὴ ὀχλήσατε·* ἠρεμήσατε, θορύβου λύσατε* καὶ τὸ μέγα μυστήριον βλέπετε·* φοβερᾷ ὥρᾳ σιωπήσατε,* ἵνα μετ' εἰρήνης ἡ ψυχὴ ἐξέλθῃ·* εἰς ἀγῶνα γὰρ μέγαν συνέρχεται,* καὶ σὺν φόβῳ πολλῷ δυσωπεῖ τὸν Χριστὸν* τῷ Ἀλληλούϊα.

κ'. Νεάνιδες, τοῦ λόγου ἀκούσατε* καὶ μηκέτι κακῶς καλλωπίζεσθε·* οὐκ ἀκούετε πῶς μνημονεύομεν* τῶν ἐκεῖ προλαβόντων καὶ λέγομεν·* Ποῦ ἔνι οὗτος ἀδελφὸς ἡμῶν;* Ἀναπαύσοι Θεὸς τὸν δεῖνα καὶ δεῖνα.* Ἐκ νεότητος γὰρ ἐξεκόπησαν,* ἀλλὰ εὕρωσιν ἔλεος ὅπου εἰσίν,* τὸ Ἀλληλούϊα.

κα'. Οὐχ ὁρᾶτε τὸ πῶς διανεύομεν* ἐν τοῖς μνήμασιν, ὅτι εἰσήλθομεν;* Ἔστιν οὗτος τοῦ δεῖνα ὁ ἔκγονος·* αὕτη

ἐστὶ τοῦ δεῖνα θυγάτριον·* δεῦτε, ἀσπάσασθε τὰ λείψανα·* οὗτός ἐστιν ὁ δεῖνα, ὁ δεῖνα οὗτος.* Ἀναπαύσοι ὑμᾶς ὁ ὑμᾶς καλέσας·* εὕροιτε ἔλεος παρρησίᾳ εἰπεῖν* τὸ Ἀλληλούϊα.

κβ′. Ὑλικοῖς οἱ προσκείμενοι πάθεσιν,* ἐκεῖ ἄνεσιν ὅλως οὐκ ἔχουσιν·* ἐκεῖ γὰρ φοβεροὶ οἱ κατήγοροι,* ἐκεῖ δὲ καὶ αἱ βίβλοι ἀνοίγονται.* Ποῦ περιβλέψῃ τότε, ἄνθρωπε;* ἢ τίς μέλλει ἐκεῖ τότε βοηθεῖν σοι·* εἰ μὴ ζῶν ἀγαθὸν ὃ ἐποίησας* καὶ καλὸν τοὺς πτωχούς, ὑμνήσας τὴν ᾠδὴν* τοῦ Ἀλληλούϊα;

κγ′. Ἆρα πόσοι ἐξαίφνης ἡρπάγησαν* ἐξ αὐτῶν τῶν παστῶν, ἐν τῷ μνήματι* καὶ ἐζεύχθησαν ζεῦξιν αἰώνιον* καὶ ἐποίησαν θρῆνον ἀδάπανον;* ἐκ τοῦ νυμφῶνος οὐκ ἀνέστησαν,* ἀλλ' ὁμοῦ ὁ γάμος, ὁμοῦ καὶ ὁ τάφος·* ὁμοῦ ζεῦξις, ὁμοῦ καὶ διάζευξις·* ὁμοῦ γέλως, ὁμοῦ θρῆνος, ὁμοῦ ψαλμός,* τὸ Ἀλληλούϊα.

κδ′. Ἴδον ἐγὼ καὶ νήπιον θνήσκοντα* καὶ ζωὴν τὴν ἐμὴν ἐταλάνισα·* ἐταράχθη γὰρ ὅλον καὶ ἔτρεμε* καὶ ὡς ἦλθεν ἡ ὥρα, ἐβόησε·* Πάτερ, βοήθει· μῆτερ, σῶσόν με.* Καὶ οὐδεὶς ἱκανὸς τούτῳ βοηθῆσαι,* εἰμὴ μόνον ὁρῶντες μαραίνονται* καὶ ἐν τάφῳ θρηνοῦντες ποιοῦσιν ᾠδὴν* τοῦ Ἀλληλούϊα.

κε′. Νεότης γὰρ καὶ κάλλος τοῦ σώματος* τῷ καιρῷ τοῦ θανάτου μαραίνεται* καὶ ἡ γλῶττα δεινῶς τότε φλέγεται* καὶ ὁ λάρυγξ ψυγεὶς ἀναφλέγεται·* ὀφθαλμῶν κάλλος τότε σβέννυται,* κάλλος τοῦ προσώπου ἀλλοιοῦται ὅλον,* κάλλος τὸ τοῦ τραχήλου συντρίβεται* καὶ λοιπὸν ἡσυχάζει τοῦ λέγειν* τὸ Ἀλληλούϊα.

κς′. Ὅταν ἄρχοντα ἴδωμεν θνήσκοντα,* τότε μέγα μυστήριον βλέπομεν·* πῶς ἀπάγεται ὥσπερ κατάδικος,* ὅνπερ ἔτρεμον πάντες κατάδικοι;* πῶς ἐξετάζεται ὡς δέσμιος,* ὁ τὸ πρῶτον δεσμίους δεσμοῖς δεσμεύων;* ἰδοὺ ὅλος σποδὸς ὁ πρὶν φοβερός,* ἀπαγόμενος ἴσως καὶ δίχα ψαλμοῦ,* τοῦ Ἀλληλούϊα.

κζ′. Στρατιὰς γὰρ ἰδὼν ὅλως ἔφριξεν,* ἑαυτὸν ταλα-

νίζων διέλυξεν·* Ποῦ ἐστιν ἡ ἀρχή μου ἡ πρόσκαιρος;* τί ἐστι βασιλεία ἐπίγειος;* ἰδοὺ στρατεῖαι ἀδιάδοχοι,* ἰδοὺ δὴ ὑπουργοὶ τοῦ μόνου δυνάστου,* τοῦ ζωῆς καὶ θανάτου δεσπόζοντος* καὶ καλοῦντος ἡμᾶς, ὅτε θέλει, ἐκεῖ* τὸ Ἀλληλούϊα.

κη΄. Συγκαιόμεθα μόνον ἀκούοντες* ὅτι ἔνι ἐκεῖ φῶς αἰώνιον* καὶ ἐκεῖ ἡ πηγὴ τῆς ζωῆς ἡμῶν* καὶ ἐκεῖ ἡ τρυφὴ ἡ αἰώνιος·* ἐκεῖ ὑπάρχει ὁ παράδεισος,* ὅπου πᾶσα ψυχὴ τῶν δικαίων χαίρει.* Συνεισέλθωμεν πάντες Χριστῷ ἡμεῖς,* ἵνα οὕτω βοήσωμεν πάντες Θεῷ* τὸ Ἀλληλούϊα.

κθ΄. Παναγία παρθένε ἀνύμφευτε,* ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον,* δυσωπῶ, ἱκετεύω καὶ δέομαι,* δυσωποῦσα μὴ παύσῃ τὸν Κύριον* ὑπὲρ τοῦ κοιμηθέντος δούλου σου,* ἄχραντε, ὅπως εὕρῃ ἐκεῖ ἄφεσιν* πταισμάτων ἐν ἡμέρᾳ τῆς κρίσεως,* ὡς παρρησίαν ἔχεις δυσωπεῖν τὸν υἱόν σου,* τὸ Ἀλληλούϊα.

## Ε΄. ΙΔΙΟΜΕΛΑ ΝΕΚΡΩΣΙΜΑ

### τῶν ὀκτὼ ἤχων
### Ἰωάννου μοναχοῦ (τοῦ Δαμασκηνοῦ)

**Ἦχος α΄**

Ποία τοῦ βίου τρυφὴ διαμένει* λύπης ἀμέτοχος;* ποία δόξα ἕστηκεν* ἐπὶ γῆς ἀμετάθετος;* πάντα σκιᾶς ἀσθενέστερα,* πάντα ὀνείρων ἀπατηλότερα·* μία ῥοπὴ* καὶ ταῦτα πάντα θάνατος διαδέχεται.* Ἀλλ' ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου* καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος,* ὃν ἐξελέξω ἀνάπαυσον, ὡς φιλάνθρωπος.

**Ἦχος β΄**

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ* χωριζομένη ἐκ τοῦ σώματος!* οἴμοι, πόσα δακρύει τότε* καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν!* πρὸς τοὺς ἀγγέλους τὰ ὄμματα ῥέπουσα,* ἄπρακτα καθικετεύει·* πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτεί-

νουσα,* οὐκ ἔχει τὸν βοηθοῦντα.* Διό, ἀγαπητοί μου ἀδελφοί,* ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς,* τῷ μεταστάντι τὴν ἀνάπαυσιν* παρὰ Χριστοῦ αἰτησώμεθα* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Ἦχος γ΄**

Πάντα ματαιότης τὰ ἀνθρώπινα* ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον·* οὐ παραμένει ὁ πλοῦτος,* οὐ συνοδεύει ἡ δόξα·* ἐπελθὼν γὰρ ὁ θάνατος,* ταῦτα πάντα ἐξηφάνισται·* διὸ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν·* Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον* ἔνθα πάντων ἐστὶν* εὐφραινομένων ἡ κατοικία.

**Ἦχος δ΄**

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια;* ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία;* ποῦ ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος;* ποῦ ἐστι τῶν οἰκετῶν ἡ πλημμύρα καὶ ὁ θόρυβος;* πάντα κόνις,* πάντα τέφρα,* πάντα σκιά.* Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ βασιλεῖ·* Κύριε, τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον* τὸν μεταστάντα ἐξ ἡμῶν,* ἀναπαύων αὐτὸν* ἐν τῇ ἀγήρῳ μακαριότητι.

**Ἦχος πλ. α΄**

Ἐμνήσθην τοῦ προφήτου βοῶντος·* «Ἐγώ εἰμι γῆ καὶ σποδός»·* καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι* καὶ εἶδον τὰ ὀστᾶ* τὰ γεγυμνωμένα καὶ εἶπον·* Ἄρα τίς ἐστι* βασιλεὺς ἢ στρατιώτης* ἢ πλούσιος ἢ πένης* ἢ δίκαιος ἢ ἁμαρτωλός;* Ἀλλὰ ἀνάπαυσον, Κύριε,* μετὰ δικαίων τὸν δοῦλόν σου,* ὡς φιλάνθρωπος.

**Ἦχος πλ. β΄**

Ἀρχή μοι καὶ ὑπόστασις* τὸ πλαστουργόν σου γέγονε πρόσταγμα·* βουληθεὶς γὰρ ἐξ ἀοράτου τε* καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως,* γῆθέν μου τὸ σῶμα διέπλασας,* δέδωκας δέ μοι ψυχὴν* τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει.*

Διό, Χριστέ, τὸν δοῦλόν σου* ἐν χώρᾳ ζώντων,* ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

**Ἦχος βαρὺς**

Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν* πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον,* ἐν παραδείσῳ τέθεικας* κατάρχειν σου τῶν κτισμάτων·* φθόνῳ δὲ διαβόλου ἀπατηθείς,* τῆς βρώσεως μετέσχε,* τῶν ἐντολῶν σου παραβάτης γεγονώς·* διὸ πάλιν εἰς γῆν ἐξ ἧς ἐλήφθη* κατεδίκασας ἐπιστρέφειν, Κύριε,* καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

**Ἦχος πλ. δ'**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Θρηνῶ καὶ ὀδύρομαι,* ὅταν ἐννοήσω τὸν θάνατον* καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην* τὴν κατ' εἰκόνα Θεοῦ* πλασθεῖσαν ἡμῖν ὡραιότητα,* ἄμορφον, ἄδοξον,* μὴ ἔχουσαν εἶδος·* Ὢ τοῦ θαύματος!* τί τὸ περὶ ἡμᾶς* τοῦτο γέγονε μυστήριον;* πῶς παρεδόθημεν τῇ φθορᾷ* καὶ συνεζεύχθημεν τῷ θανάτῳ;* ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται,* τοῦ παρέχοντος* τῷ μεταστάντι τὴν ἀνάπαυσιν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Θεοτοκίον**

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων σου* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

## ϛ'. ΕΥΧΑΙ ΝΕΚΡΩΣΙΜΟΙ

### 1. Εὐχὴ ἐπὶ τῶν ἐν Χριστῷ ἀναπαυσαμένων
### Ἀποστολικαὶ Διαταγαὶ Η', 41
### (ΒΕΠ, τ. 2, σελ. 168-169)

Ὁ τῇ φύσει ἀθάνατος καὶ ἀτελεύτητος, παρ' οὗ πᾶν ἀθάνατον καὶ θνητὸν γέγονεν, ὁ τὸ λογικὸν τοῦτο ζῷον, τὸν ἄνθρωπον τὸν κοσμοπολίτην, θνητὸν ἐκ κατασκευῆς ποιήσας καὶ ἀνάστασιν ἐπαγγειλάμενος, ὁ τὸν Ἐνὼχ καὶ

τὸν Ἠλίαν θανάτου πεῖραν μὴ ἐάσας λαβεῖν· ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οὐχ ὡς νεκρῶν, ἀλλ' ὡς ζώντων Θεὸς εἶ· ὅτι πάντων αἱ ψυχαὶ παρὰ σοὶ ζῶσιν καὶ τῶν δικαίων τὰ πνεύματα ἐν τῇ χειρί σού εἰσιν, ὧν οὐ μὴ ἅψηται βάσανος· πάντες γὰρ οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σού εἰσιν· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου **(τόνδε)**, ὃν ἐξελέξω καὶ προσελάβου εἰς ἑτέραν λῆξιν, καὶ συγχώρησον αὐτῷ εἴ τι ἄκων ἢ ἑκὼν ἐξήμαρτεν καὶ ἀγγέλους εὐμενεῖς παράστησον αὐτῷ· καὶ κατάταξον αὐτὸν ἐν τῷ κόλπῳ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ὅπου οὐκ ἔνι λύπη καὶ ὀδύνη καὶ στεναγμός, ἀλλὰ χῶρος εὐσεβῶν ἀνειμένος καὶ γῆ εὐθέων σοὶ ἀνακειμένη καὶ τῶν ἐν αὐτῇ ὁρώντων τὴν δόξαν τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας, εὐχαριστία καὶ προσκύνησις καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

## 2. Εὐχὴ περὶ τεθνεῶτος καὶ ἐκκομιζομένου
## Εὐχολόγιον Σεραπίωνος Θμούεως, 18 (P. Rodopoulos, The Sacramentary of Serapion, Thessaloniki 1967, σελ. 134-135)

Ὁ Θεός, ὁ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχων, ὁ Θεὸς τῶν πνευμάτων καὶ δεσπότης πάσης σαρκός, ὁ Θεὸς ὁ θανατῶν καὶ ζωογονῶν, ὁ κατάγων εἰς πύλας Ἅδου καὶ ἀνάγων, ὁ κτίζων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ καὶ παραλαμβάνων τὰς ψυχὰς τῶν ἁγίων καὶ ἀναπαύων, ὁ ἀλλοιῶν καὶ μεταβάλλων καὶ μετασχηματίζων τὰ κτίσματά σου, καθὼς δίκαιον καὶ σύμφορόν ἐστι, μόνος αὐτὸς ἄφθαρτος καὶ ἀναλλοίωτος καὶ αἰώνιος ὤν· δεόμεθά σου περὶ τῆς κοιμήσεως καὶ ἀναπαύσεως τοῦ δούλου σου τοῦδε (ἢ τῆς δούλης σου τῆσδε)· τὴν ψυχήν, τὸ πνεῦμα αὐτοῦ ἀνάπαυσον ἐν τόποις χλόης, ἐν ταμείοις ἀναπαύσεως, μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντων τῶν ἁγίων σου, τὸ δὲ σῶμα ἀνάστησον ἐν ᾗ ὥρισας ἡμέρᾳ, κατὰ τὰς ἀψευδεῖς σου ἐπαγγελίας, ἵνα καὶ τὰς κατ' ἀξίαν αὐτῷ κληρονομίας ἀποδῷς ἐν ταῖς ἁγίαις σου νομαῖς· τῶν παραπτωμάτων

αὐτοῦ καὶ ἁμαρτημάτων μὴ μνησθῇς, τὴν δὲ ἔξοδον αὐτοῦ εἰρηνικὴν καὶ εὐλογημένην εἶναι ποίησον· τὰς λύπας τῶν διαφερόντων πνεύματι παρακλήσεως ἴασαι καὶ ἡμῖν πᾶσι τέλος ἀγαθὸν δώρησαι διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

### 3. Εὐχὴ ἐπὶ τελευτήσαντος (κῶδ. Barber. 336, φ. 248r)

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταργήσας καὶ τὸν διάβολον καταπατήσας καὶ ζωὴν τῷ κόσμῳ χαρισάμενος, ἀνάπαυσον τὴν ψυχὴν τοῦ δούλου σου **(τοῦδε)** ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. Πᾶν ἁμάρτημα παρ' αὐτοῦ πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος πάσης ἁμαρτίας ἐκτὸς ὑπάρχεις καὶ ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια. Ὅτι σὺ εἶ ἡ ζωὴ καὶ ἡ ἀνάστασις τῶν κεκοιμημένων καὶ σοὶ τὴν δόξαν ⟨ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν⟩.

### 4. Εὐχὴ εἰς πενθοῦντας (κῶδ Barber. 336, φ. 248 rv. Πρβλ. καὶ J. Goar, Εὐχολόγιον, Venetiis 1730², σελ. 453)

Κύριε Κύριε, ἡ τῶν θλιβομένων παραμυθία καὶ τῶν πενθούντων παράκλησις καὶ πάντων τῶν ἐν ὀλιγοψυχίᾳ ἀντίληψις ὑπάρχων, τοὺς τῷ πένθει τοῦ κοιμηθέντος συνεχομένους τῇ σῇ εὐσπλαγχνίᾳ παραμύθησαι· πᾶν ἄλγος λύπης ἐγκείμενον εἰς τὴν καρδίαν αὐτῶν θεράπευσον καὶ τὸν δοῦλόν σου, ἐπ' ἐλπίδι ἀναστάσεως κεκοιμημένον, ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσον. Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τῶν σῶν δούλων καὶ σοὶ τὴν δόξαν ⟨ἀναπέμπομεν, τῷ Πατρὶ

καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν⟩.

### 5. Εὐχὴ ἄλλη ἐπὶ τελευτήσαντος (κῶδ. Barber. 336, φ. 249r. Πρβλ. καὶ Goar, Εὐχολόγιον[2], σελ. 434).

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, ὁ δημιουργὸς καὶ σωτὴρ καὶ κριτὴς ζώντων καὶ νεκρῶν, ὁ κατάγων εἰς Ἅδου πύλας καὶ ἀνάγων, ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παράγων, ὁ ἐκ γῆς πλάσας τὸν ἄνθρωπον καὶ εἰς γῆν δι' ἁμαρτίαν ἀποστρέψας, διὰ δὲ τὴν σὴν φιλανθρωπίαν ἀνακαλούμενος εἰς ζωήν, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, δέσποτα, ἐν ἐλέει διαπαντός, ἐν χώρᾳ φωτός, ἐν τόπῳ ἀναπαύσεως, εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα ⟨καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας· ἀμήν⟩.

### 6. Εὐχὴ ἄλλη ἐπὶ τελευτήσαντος (κῶδ. Barber. 336, φ. 249v)

Ὁ ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, ἀνάπαυσον τὸν δοῦλόν σου ἐν μοναῖς δικαίων καὶ ἡμῶν τὰ τέλη χριστιανὰ καὶ ἀναμάρτητα διατήρησον ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ ⟨τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν⟩.

### 7. Εὐχὴ ἄλλη ἐπιτάφιος καθολικὴ (κῶδ. Barber. 336, φ. 249v-250v. Πρβλ. καὶ Goar, Εὐχολόγιον[2], σελ. 437)

Δέσποτα ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ διδοὺς καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας καὶ τῇ ἀπορρήτῳ σου σοφίᾳ ἑνώσας ψυχὴν σώματι καὶ πάλιν ἀναλύων, τὸν μὲν χοῦν τῷ χοΐ, τὸ δὲ πνεῦμα πρὸς ἑαυτόν,

καθὼς ἔδωκας, ἀφελκόμενος· αὐτός, δέσποτα Χριστέ, πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου **(τοῦδε)** καὶ κατάταξον αὐτὸν μετὰ τῶν ἁγίων σου ἀναπαύεσθαι εἰς τόπον φωτεινόν, εἰς χώραν εὐσεβῶν, εἰς τόπον ἀναψύξεως, ἐκεῖ ὅθεν ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· ὅτι οὐκ ἔστι τοῖς δούλοις σου θάνατος, ὡς ἀληθῶς, ἀλλὰ ψυχῆς μετάστασις· καὶ εἴ τι λόγῳ ἢ ἔργῳ ἢ ἐνθυμήσει ἥμαρτε, πάριδε ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός· τῶν πενθούντων ἀντιλήπτωρ καὶ παραμυθία γενοῦ· κατάλαμψον τὴν ἀχλὺν τῆς ἀθυμίας αὐτῶν τῷ νοερῷ σου φωτί, ἡμᾶς δὲ τοὺς συνελθόντας εἰς τὴν τοῦ λειψάνου τιμὴν παρακράτησον καὶ ἵλεως γενοῦ ταῖς ἀνομίαις ἡμῶν. Ὅτι σὺ εἶ ἡ ἄφεσις τῶν πταισμάτων ἡμῶν καὶ σοὶ πρέπει ἡ δόξα, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ ⟨καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν⟩.

### 8. Εὐχὴ ἐπὶ κολύβων εἰς κοιμηθέντας (κῶδ. Σινᾶ 973. A. Dmitrievskij, Opisanie liturgitseskich rucopisej II, Εὐχολόγια, Κίεβον 1901, σελ. 110-111)

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῷ φωτὶ κατοικῶν καὶ ἐν τῇ γῇ παριών, Σωτὴρ καὶ εὐεργέτης ὑπάρχων, ὁ εἰσαγαγὼν ἐν τοῖς σκηνώμασι τὰς ψυχὰς καὶ ἐξαγαγὼν πάλιν εἰς τὰς αἰωνίους μονάς· αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου σου **(τοῦδε)** ἀνάπαυσον ἐν τόπῳ φωτεινῷ, ἐν χώρᾳ ἁγίων, ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐν μερίδι τῶν ἐκλεκτῶν σου, ἐν τῇ γῇ τῶν πραέων, ἐν τῇ κληρονομίᾳ τῶν ζώντων, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, ἐκεῖ αὐτὸν ἀνάπαυσον καὶ ἡμῖν δὸς πολιτεύεσθαι τὰς ὑπολοίπους ἡμέρας τῆς ζωῆς ἡμῶν κατὰ τὸ σοὶ εὐάρεστον καὶ δραμεῖν τὸ στάδιον τοῦ βίου ἀπρόσκοπτον καὶ τυχεῖν τῶν ἐπαγγελιῶν σου, ὧν ἐπηγγείλω τοῖς ἀγαπῶσί σε· τοὺς συνελθόντας καὶ τῷ ὁμοίῳ πάθει τιμήσαντας εὐλόγησον εὐλογίᾳ τῇ σῇ, ἕκαστον τὴν συνδρομὴν εἰς δικαιοσύνην λογιζόμενος· τοὺς πενθοῦντας παρακάλεσον, τοὺς ὀλιγο-

ψύχους καὶ ἐν θλίψει ὑπάρχοντας παραμύθησαι· εὐλόγησον δὴ καὶ τὰ σπέρματα ταῦτα, τὰ ἐκ τῶν σῶν δωρεῶν προσενεχθέντα καὶ ὅθεν ἐπελήφθησαν ἑκατονταπλασίονα τὸν μισθὸν δώρησαι, πρεσβείαις τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις ‹καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·ἀμήν›.

### 9. Εὐχὴ ἐπὶ κολύβων εἰς κοιμηθέντας εἰς τὰ τρίτα καὶ ἔνατα καὶ τεσσαρακοστὰ

**(κῶδ. Σινᾶ 973. A. Dmitrievskij, Εὐχολόγια, σελ. 111).**

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ πλάσας τὸν ἄνθρωπον καὶ εἰσαγαγὼν αὐτὸν εἰς τὸν κόσμον τοῦ πολιτεύεσθαι ἐπ' ἐλπίδι ζωῆς αἰωνίου· ἁμαρτήσαντος δὲ αὐτοῦ, θάνατον ἑαυτῷ ἐπεισήγαγες, τὸ μὲν σῶμα ἐκ τῆς γῆς εἰς γῆν ἀναλύσας, τὴν δὲ ψυχὴν πρὸς ἑαυτὸν προσκαλεσάμενος. Αὐτὸς οὖν, δέσποτα φιλάνθρωπε Χριστὲ ὁ Θεὸς ἡμῶν, προσερχομένης καὶ τῆς ψυχῆς τοῦ δούλου σου **(τοῦδε)** ἐπὶ τὸν ἅγιόν σου θρόνον, εἴ τι ὡς ἄνθρωπος ἥμαρτεν ἐν σαρκὶ ἔτι ζῶν, ἢ κατ' ἄγνοιαν ἢ ἐν ἔργῳ ἢ ἐν λόγῳ, αὐτὸς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἄνες, ἄφες, συγχώρησον, παρορῶν αὐτοῦ καὶ τὰ ἡμῶν πλημμελήματα καὶ ἀνάπαυσον αὐτὸν ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου· τῶν δὲ πενθούντων, Κύριε, γενοῦ ἀντιλήπτωρ· παῦσον τὴν λύπην, τὴν ἀθυμίαν, τὸν στεναγμὸν διὰ τῶν προκειμένων σου δώρων· καὶ τοὺς κάμνοντας καὶ προσενεγκόντας ταῦτα σὺν αὐτοῖς μισθὸν οὐράνιον παράσχου καὶ τοὺς ἔχοντας μεταλαβεῖν ἐξ αὐτῶν ἐπὶ ὑγείας ψυχῆς καὶ σώματος καταξίωσον, πρεσβείαις καὶ ἱκεσίαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται ‹τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν›.

## 10. Εὐχὴ εἰς κοιμηθέντα
## (J. Goar, Εὐχολόγιον², σελ. 433)

Ὁ ὢν καὶ προὼν καὶ διαμένων εἰς τοὺς αἰῶνας Κύριε, ὁ ὑπὸ πάσης κτίσεως νοητῆς δοξαζόμενος, ὁ εὐδοκήσας παρὰ τῆς ἀνθρωπίνης εὐτελείας εὐχὰς καὶ θυμιάματα προσφέρεσθαι σοῦ τῷ παναγίῳ ὀνόματι· μνήσθητι, ὁ Θεὸς ἡμῶν, τοῦ ἀναπαυσαμένου ἀδελφοῦ ἡμῶν **(δεῖνος)** καὶ λύτρωσαι αὐτὸν τῆς δυσώδους ἁμαρτίας, εὐωδίᾳ τῆς σῆς ἀγαθότητος, καὶ ἐλέους καὶ φιλανθρωπίας ἐν ἡμέρᾳ κρίσεως καταξίωσον. Σὸν γάρ ἐστι τὸ κράτος ⟨καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν⟩.

## 11. Εὐχὴ ἐν τῷ τάφῳ, ἡνίκα βάλῃ μύρον ἢ ἔλαιον σταυροειδῶς τρίτον ἐπάνω τοῦ λειψάνου
## (J. Goar, Εὐχολόγιον² σελ. 437)

Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, τοῦ ἐν πίστει καὶ ἐλπίδι ζωῆς αἰωνίου κοιμηθέντος ἀδελφοῦ ἡμῶν **(τοῦ δεῖνος)** καὶ ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ὑπερβαίνων ἁμαρτίας καὶ ἐξαλείφων ἀδικίας, ἄνες, ἄφες, συγχώρησον πᾶν ἑκούσιον καὶ ἀκούσιον αὐτοῦ πλημμέλημα, ἐξανιστῶν αὐτὸν ἐν τῇ ἁγίᾳ σῇ δευτέρᾳ παρουσίᾳ εἰς μετοχὴν τῶν αἰωνίων ἀγαθῶν, ἀνθ' ὧν μόνον εἰς σὲ ἐπίστευσε τὸν ἀληθῆ Θεὸν καὶ φιλάνθρωπον. Ὅτι σὺ εἶ ἡ ἀνάστασις τοῦ δούλου σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν ⟨δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν⟩.

## 12. Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, εὐχὴ συγχωρητικὴ ὑπὲρ τινων ἀδελφῶν μετὰ θάνατον ὑπ' ἀφορισμὸν εὑρεθέντων
## (Ἰ.Μ. Φουντούλη, Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης, Λειτουργικὰ Συγγράμματα, τ. Ι Εὐχαὶ καὶ Ὕμνοι, Θεσσαλονίκη 1968, σελ. 61-66)

Ὁ ἀγαθὸς καὶ ἐλεήμων Θεός, ὁ τοῦ ἀγαθοῦ καὶ ἐλεή-

μονος Πατρὸς συναΐδιος Λόγος, ὁ φιλάνθρωπος, ὁ ἀνεξίκακος καὶ μακρόθυμος, ὁ τὴν ἡμετέραν κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν δημιουργήσας φύσιν καὶ παράδεισον ἡμῖν ἑτοιμάσας καὶ ἀθανασίαν ἐπαγγειλάμενος· παρακούσαντας δὲ ἡμᾶς τῆς ζωηρᾶς ἐντολῆς σου θανάτῳ δικαίως κατακρίνας, κατὰ καιροὺς δὲ πολλάκις φιλανθρώπως ἐπισκεψάμενος καὶ τελευταῖον διὰ σαυτοῦ ἀναπλάσας καὶ ἀνακαινίσας ἡμᾶς· ἐσαρκώθης γὰρ ὑπὲρ ἡμῶν καὶ συναναστράφης ἡμῖν καὶ σταυρωθεὶς καὶ ἀποθανὼν ἐξανέστης. Καὶ τῷ μὲν αἵματί σου ἡμᾶς ἐλυτρώσω καὶ καθηγίασας, ἀθανασίαν δὲ παρέσχες ἡμῖν τῇ ἐγέρσει σου· ὁ ἀναληφθεὶς εἰς τοὺς οὐρανοὺς καὶ τὴν τοῦ παναγίου Πνεύματος χάριν ἡμῖν χορηγήσας, δι' ἧς ἁμαρτιῶν μὲν λαμβάνομεν ἄφεσιν καὶ τὴν κληρονομίαν δὲ τῶν αἰωνίων ἐλπίζομεν ἀγαθῶν· αὐτός, Κύριε, ὁ ψυχὴν καὶ σῶμα λαβὼν ἀναμαρτήτως ὑπὲρ ἡμῶν καὶ πείρᾳ γνοὺς τὸ τῆς φύσεως ἡμῶν ἀσθενὲς καὶ κατελθὼν μετὰ τῆς θείας σου ψυχῆς εἰς τὸν Ἅδην καὶ τὰς κατεχομένας ἐκεῖσε ἐλευθέρας ἀπεργασάμενος ψυχάς, σὺ πολυέλεε δέσποτα, τῇ ἀνεικάστῳ σου χρηστότητι πρὸς ἔλεον κινούμενος καὶ τῇ πολλῇ σου φιλανθρωπίᾳ πρὸς συμπάθειαν ἐπικαμπτόμενος, ὁ καὶ ἐλαχίστην ἐκζητῶν τινα ἀφορμὴν εἰς τὸ σῶσαι καὶ ἕνα μόνον ἐξ ἡμῶν τῶν παροργισάντων σε, ἐπάκουσόν μου τῇ ὥρᾳ ταύτῃ τοῦ ταπεινοῦ καὶ κατακρίτου καὶ ἐλαχίστου δούλου καὶ ἱερέως σου, τολμῶντος ἱκετεύειν σε ὑπὲρ τοῦ προκεκοιμημένου καὶ ὧδε κειμένου ἀδελφοῦ ἡμῶν καὶ παριδών μου τὰ ἀναρίθμητα πταίσματα, δέξαι με δεόμενον ὑπὲρ αὐτοῦ καὶ ἐνεργῆ ποίησόν μου τὴν δέησιν τῇ παντουργικῇ τοῦ θείου σου Πνεύματος δυνάμει καὶ ἐνεργείᾳ, ἣν παρέσχες τοῖς ἀποστόλοις σου τοῦ λύειν τε καὶ δεσμεῖν, καὶ δι' αὐτῶν τοῖς ἐλαχίστοις ἡμῖν. Διὸ καὶ διὰ τῆς ἐν ἡμῖν μεγάλης σου χάριτος τῆς θείας ἱερωσύνης συγχώρησον αὐτῷ πᾶν ἁμάρτημα πλημμεληθὲν ὑπ' αὐτοῦ ἑκουσίως ἢ ἀκουσίως καὶ ἐκ παντὸς αὐτὸν λῦσον ἐπικειμένου αὐτῷ δεσμοῦ, ὅτι συνέβη κοιμηθῆναι μὲν αὐτὸν καὶ κατατεθῆναι τῷδε τῷ τόπῳ, μετὰ δὲ θανα-

τον ἀποδείκνυται ὑπὸ δεσμὸν εἶναι καὶ βάρος καὶ κεχωρισμένος τῆς Ἐκκλησίας σου. Ἀδιάλυτος γὰρ ὁρᾶται καὶ ἡ γῆ αὐτὸν οὐκ ἐδέξατο, οὐδὲ εἰς τὰ λοιπὰ στοιχεῖα τὸ σῶμα αὐτοῦ διελύθη, μένει δὲ οὕτω τῇ κτίσει σου ἀκοινώνητος, δεικνὺς τὸ μέγα βάρος τῆς ὀργῆς σου καὶ τὸν ἀπὸ σοῦ χωρισμόν. Τοῦτο δὲ γέγονεν αὐτῷ διά τινα πάντως παρακοὴν ἢ παράπτωμα ἀνθρωπίνῃ ἀσθενείᾳ ἢ ῥᾳθυμίᾳ ἐπισυμβάν· ἢ γὰρ πατρικῆς παρήκουσεν ἐντολῆς, ἤ τι τῶν ἀπηγορευμένων χριστιανοῖς τολμηρῶς .ἐνήργησεν, ἢ δεσμὸν ἠθέτησε τεθειμένον ἐπωφελῶς ὑπό τινος τῶν πατέρων, ἢ τῶν κατὰ καιροὺς ἀρχιερέων καὶ ἱερέων ἀπόφασίν τινα μετὰ βάρους ἐκφωνηθεῖσαν παρέβλεψε καὶ τὰ ὑπ' ἐκείνων παρεσάλευσεν ὡρισμένα, ἢ ἑτέρῳ τρόπῳ τινὶ τῷ τοιούτῳ δεσμῷ περιέπεσεν. Ἐπεὶ οὖν δέδωκας ἡμῖν ἐξουσίαν ὑπὲρ ἁπάντων πιστῶν πρεσβεύειν σοι, θαρρῶν καὶ αὐτὸς τοῖς ἀμετρήτοις σου οἰκτιρμοῖς, δέομαί σου καὶ ἀντιβολῶ, Κύριε, ἐπάκουσόν μου τῆς φωνῆς καὶ τῆς εὐτελεστάτης ταύτης δεήσεως καὶ πλέον κινούμενος μᾶλλον εἰς τὸ ἐλεεῖν καὶ οἰκτίρειν ἤπερ εἰς τὸ ὀργίζεσθαι, ἐπίβλεψον ἵλεως εἰς τὸν προκεκοιμημένον τοῦτον ἡμῶν ἀδελφὸν καὶ ἐλέει τοῦ παναγάθου Πατρός σου, φιλανθρωπίᾳ καὶ χάριτι σοῦ τοῦ σαρκωθέντος ὑπὲρ ἡμῶν καὶ ἀγαθότητι τοῦ ζωοποιοῦ σου καὶ θείου Πνεύματος, διὰ τῶν ἐλαχίστων ἡμῶν ἱερέων σου λῦσον τὸν δοῦλόν σου τοῦτον ἐκ τοῦ ἐπικειμένου αὐτῷ δεσμοῦ καὶ παντὸς ἐπιτιμίου, βάρους, ἀφορισμοῦ τε καὶ ἀναθέματος ὑπὸ ἀρχιερέως ἢ ἱερέως ἢ ἑτέρου παντὸς ἐπενεχθέντος αὐτῷ. Ἀλλὰ καὶ εἰς ἑαυτὸν εἰ ἀφ' ἑαυτοῦ τὸ τοιοῦτον εἵλκυσε βάρος, συγχώρησον αὐτῷ, ἀγαθὲ καὶ ἁπλῶς ἀνεξίκακε Κύριε, παντὸς ἁμαρτήματος, ἐν παντὶ τρόπῳ τούτῳ ἐπισυμβάντι, ἐλεύθερον αὐτὸν ἀπόδειξον, καὶ ἐξάγαγε ἐκ φυλακῆς αἰωνίου καὶ τῶν ἐν Ἅδου δεσμῶν ἀπόλυσον. Καὶ τῇ γῇ μὲν καὶ τοῖς στοιχείοις κέλευσον τὸ σῶμα δέξασθαι αὐτοῦ, ὥστε τὴν κατὰ φύσιν ὑπομεῖναι διάλυσιν, τὴν δὲ ψυχὴν τούτου τοῦ Ἅδου ἐξαγαγὼν τῆς σῆς μετάδος ἀνέσεως καὶ μετὰ δικαίων κατατάξας πνευμάτων, τῆς τῶν

σωζομένων μερίδος ἀξίωσον. Δεῖξόν σου τὰ θαυμάσια, Κύριε. Ἐνεργησάτω καὶ νῦν ξένα καὶ θαυμαστὰ ἡ ἀνυπέρβλητός σου χάρις καὶ δύναμις. Ὁ διὰ τοῦ νεκροῦ σώματος τοῦ προφήτου σου Ἐλισσαίου ἐξαναστήσας νεκρόν, καὶ τοῦτον τὸν δοῦλόν σου τοῦ ψυχικοῦ θανάτου καὶ τοῦ δεσμοῦ ἐξανάστησον. Ὁ τῷ σταυρῷ καὶ τῷ θανάτῳ σου σαλεύσας πᾶσαν τὴν γῆν, πολλά τε σώματα τῶν προκεκοιμημένων ἐξαναστήσας, τὰς ψυχὰς αὐτῶν τοῦ Ἅδου ῥυσάμενος, αὐτός, φιλάνθρωπε δέσποτα, καὶ τὴν ψυχὴν τοῦ προκεκοιμημένου τούτου ἀδελφοῦ ἡμῶν τῆς τυραννίδος τοῦ Ἅδου καὶ πάσης θλίψεως καὶ κολάσεως ἐλευθέρωσον, τὸ σῶμα δὲ αὐτοῦ, ὡς καὶ τὰ τῶν ἄλλων εὐσεβῶν, διαλυθῆναι εὐδόκησον. Ὁ διὰ τῶν ἀποστόλων σου πλεῖστα ἐνεργήσας σημεῖα καὶ σώσας πολλοὺς δι' αὐτῶν, καὶ διὰ τῆς δεήσεως ἡμῶν τῆς εὐτελοῦς ταύτης τῷ οἰκέτῃ σου τούτῳ τὴν σωτηρίαν χορήγησον, καὶ μὴ τὸ ἀνάξιον ἐμοῦ τοῦ ταπεινοῦ κώλυμα αὐτῷ γένοιτο. Οὐδὲ γὰρ ἐμαυτῷ θαρρήσας ποιοῦμαι τὴν ἱκεσίαν, ἀλλ' εἰς τὸ ἄπειρον τοῦ ἐλέους σου καὶ τὴν ἀνείκαστον ἀφορῶν ἀγαθότητα τῆς εὐσπλαγχνίας σου, ᾗ καὶ θαρρῶν, συγχώρησιν ἁμαρτιῶν καὶ παντὸς δεσμοῦ λύσιν καὶ αὐτὸς αὐτῷ διὰ τῆς χάριτός σου δίδωμι. Διὸ δέομαί σου, βεβαίαν δεῖξον ἡμῖν τὴν ἀπόφασιν καὶ ἄνες, ἄφες, συγχώρησον αὐτῷ τε καὶ ἡμῖν τὰ ἁμαρτήματα πάντα, τὰ ἑκουσίως ἐπισυμβάντα ἢ ἀκουσίως, τὰ ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ, τὰ κατὰ ῥᾳθυμίαν καὶ λήθην ἢ συναρπαγὴν καὶ μελέτην, τὰ κατὰ πρᾶξιν καὶ λόγον καὶ νοῦν καὶ διάνοιαν, καὶ ἁπλῶς ἅπαντα ὅσα οἱ ἀσθενεῖς ἡμεῖς ἁμαρτάνομεν ἄνθρωποι. Καὶ ἡμᾶς μὲν ἐλέησον καὶ τέλος δώρησαι σωτήριον καὶ εἰρηνικόν, αὐτὸν δὲ τὸν ἐν πίστει τῇ σῇ προκεκοιμημένον κατάταξον ἐν τόποις φωτός, ἐν τόποις εἰρήνης, ἐν τόποις ἀγαλλιάσεως καὶ ἀνέσεως, ὅπου τὰ πνεύματα εὐφραινόμενα ἐπαναπαύονται τῶν δικαίων σου. Τῇ τελευταίᾳ δέ σου ἡμέρᾳ συνάψας καὶ τὰ σώματα ταῖς ψυχαῖς, ἀξίωσον αὐτόν τε καὶ πάντας ἡμᾶς συνταγῆναι τοῖς ἐκλεκτοῖς σου καὶ τῆς ἀνεκφράστου καὶ αἰωνίου χαρᾶς

καὶ τῆς ἀπολαύσεως ἐπιτυχεῖν τῶν ἁγίων σου, πρεσβείαις τῆς παναγίας μητρός σου, τῶν φιλανθρωποτάτων ἀγγέλων σου καὶ πάντων τῶν ἀπ' αἰῶνός σε θεραπευσάντων ἁγίων σου. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Ζ'. ΑΠΟΣΤΟΛΟΕΥΑΓΓΕΛΙΑ ΕΙΣ ΚΟΙΜΗΘΕΝΤΑΣ ΤΑ ΕΠΤΑ

### 1. Προκείμενον. Ἦχος πλ. β'. Ψαλμὸς κδ' (13. κζ' 1)

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

**Στίχ.** Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Θεσσαλονικεῖς Α' ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα **(δ' 13-17).**

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

### Ἀλληλούϊα. Ἦχος πλ. β'. Ψαλμὸς ξδ' (5. ρλδ' 13. 2)

**Στίχ. α'.** Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

**Στίχ. β'.** Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

**Στίχ. γ'.** Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

**Ἐκ τοῦ κατὰ Ἰωάννην (ε' 24-30).**

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· Ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω κρίνω καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν. Ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

**2. Πρὸς Ρωμαίους ἐπιστολῆς Παύλου (ιβ' 1-10).**

Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. Ὁ ἐσθίων, Κυρίῳ ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει καὶ εὐχαριστεῖ τῷ Θεῷ. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

**Ἐκ τοῦ κατὰ Ἰωάννην (ε' 17-24).**

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζο-

μαι. Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Ὁ γὰρ Πατὴρ φιλεῖ τὸν Υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα. Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

### 3. Πρὸς Κορινθίους Α΄ ἐπιστολῆς Παύλου (ιε΄ 20-28).

Ἀδελφοί, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

### Ἐκ τοῦ κατὰ Ἰωάννην (ς´ 48-54).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον· οὗτός ἐστιν ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

### 4. Πρὸς Κορινθίους Α´ ἐπιστολῆς Παύλου (ιε´ 29-38).

Ἀδελφοί, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; Εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Μὴ πλανᾶσθε. Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω. Ἀλλ' ἐρεῖ τις· Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου ἤ τινος τῶν λοιπῶν· ὁ δὲ Θεὸς αὐτῷ δίδωσι σῶμα καθὼς ἠθέλησε καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.

**Ἐκ τοῦ κατὰ Ἰωάννην (ς´ 27-33).**

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν, ὁ Θεός. Εἶπον οὖν πρὸς αὐτόν· Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. Εἶπον οὖν αὐτῷ· Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· «Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν». Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν, ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

**5. Πρὸς Κορινθίους Α´ ἐπιστολῆς Παύλου (ιε´ 39-45).**

Ἀδελφοί, οὐ πᾶσα σάρξ, ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. Καὶ σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. Ἄλλη δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· ἔστι σῶμα ψυχικὸν καὶ ἔστι σῶμα πνευματικόν. Οὕτω καὶ γέγραπται· «Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν»· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.

**Ἐκ τοῦ κατὰ Ἰωάννην (ς´ 35-39).**

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰου-

δαίους· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε. Ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με καὶ οὐ πιστεύετε. Πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ πρὸς ἐμὲ ἥξει καὶ τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω· ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρός, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

### 6. Πρὸς Κορινθίους Α΄ ἐπιστολῆς Παύλου (ιε΄ 47-57).

Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ. Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται· οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. Ἰδού, μυστήριον ὑμῖν λέγω. Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γὰρ καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι καὶ ἡμεῖς ἀλλαγησόμεθα. Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· «Κατεπόθη ὁ θάνατος εἰς νῖκος. Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου, Ἅδη, τὸ νῖκος;» Τὸ δὲ κέντρον θανάτου ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος. Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

### Ἐκ τοῦ κατὰ Ἰωάννην (ς΄ 40-44).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώ-

νιον καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, καὶ ἔλεγον. Οὐχ οὗτός ἐστιν ὁ Ἰησοῦς, ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει οὗτος, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Μὴ γογγύζετε μετ' ἀλλήλων. Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν· καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

## Πρὸς Κορινθίους Β' ἐπιστολῆς Παύλου (ε' 1-10).

Ἀδελφοί, οἴδαμεν ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός, ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ Πνεύματος. Θαρροῦντες οὖν πάντοτε καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου, διὰ πίστεως γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους· θαρροῦμεν δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι. Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ.

## Ἐκ τοῦ κατὰ Ἰωάννην (ς' 56-63).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ κἀγὼ ζῶ διὰ τὸν Πατέρα· καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται δι' ἐμέ. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ

καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα
ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα. Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ. Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· Σκληρός ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν; Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· Τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν οὖν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σάρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστιν.

# ΠΕΡΙΕΧΟΜΕΝΑ

## ΚΕΙΜΕΝΑ ΛΕΙΤΟΥΡΓΙΚΗΣ
## ΤΕΥΧΟΣ Β΄
## ΘΕΜΑΤΑ ΕΥΧΟΛΟΓΙΟΥ


Σελίς

1. ΧΕΙΡΟΤΟΝΙΑ ΠΡΕΣΒΥΤΕΡΟΥ
Εἰσαγωγή 5
Τάξις γινομένη ἐπί χειροτονία πρεσβυτέρου 25
Παράρτημα 32

2. ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΘΕΜΕΛΙΩ ΕΚΚΛΗΣΙΑΣ
Εἰσαγωγή 37
Τάξις γινομένη ἐπί θεμελίῳ ἐκκλησίας 45
Παράρτημα 53

3. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ
Εἰσαγωγή 59
Ἀκολουθία τοῦ Μικροῦ Ἁγιασμοῦ 75
Παράρτημα 102

4. ΑΚΟΛΟΥΘΙΑ ΕΙΣ ΦΟΒΟΝ ΣΕΙΣΜΟΥ
Εἰσαγωγή 115
Ἀκολουθία εἰς φόβον σεισμοῦ 129
Παράρτημα 161

5. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΥΧΕΛΑΙΟΥ
Εἰσαγωγή 183
Ἀκολουθία τοῦ Ἁγίου Εὐχελαίου 205
Παράρτημα 259

6. «ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ» ΤΟΥ ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ
Εἰσαγωγή 271
Τῇ ΙΘ΄ Ὀκτωβρίου («Κυριακή τῶν Βαΐων») 285
Τῇ Κ΄ Ὀκτωβρίου («Μεγ. Δευτέρα») 304
Τῇ ΚΑ΄ Ὀκτωβρίου («Μεγ. Τρίτη») 315
Τῇ ΚΒ΄ Ὀκτωβρίου («Μεγ. Τετάρτη») 325
Τῇ ΚΓ΄ Ὀκτωβρίου («Μεγ. Πέμπτη») 337
Τῇ ΚΔ΄ Ὀκτωβρίου («Μεγ. Παρασκευή») 351
Τῇ ΚΕ΄ Ὀκτωβρίου («Μεγ. Σάββατον») 362
Τῇ Κϛ΄ Ὀκτωβρίου («Πάσχα») 379
Παράρτημα 394

7. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΝΗΜΟΣΥΝΟΥ
Εἰσαγωγή 399
Ἀκολουθία τοῦ μνημοσύνου 413
Παράρτημα 449
Α) Ὁ ἄμωμος 449
Β) Νεκρώσιμα εὐλογητάρια 450
Γ) Κανών εἰς κοιμηθέντας 452
Δ) Νεκρώσιμον Κοντάκιον 457
Ε) Ἰδιόμελα νεκρώσιμα 462
ϛ) Εὐχαί νεκρώσιμοι 464
Ζ΄) Ἀποστολοευαγγέλια εἰς κοιμηθέντας τά ἑπτά 474

*Φωτογραφική ἀνατύπωση - Βιβλιοδεσία*

*«Μέλισσα» Ἀσπροβάλτα (0397) 22 193 - Θεσ/νίκη (031) 731 552*